DEMOSTHENES

[opera]

EX RECENSIONE

GULIELMI DINDORFII.

VOLUMEN III.

OXONII:

E TYPOGRAPHEO ACADEMICO.

MDCCCXLVI.

ΚΖ.

ΚΑΤΑ ΑΦΟΒΟΥ ΕΠΙΤΡΟΠΗΣ.

ΥΠΟΘΕΣΙΣ.

Δημοσθένης ὁ Παιανιεὺς, Δημοσθένους τοῦ ῥήτορος πατὴρ, τελευτῶν ἐπὶ δύο παισὶ, τῷ τε Δημοσθένει καὶ θυγατρὶ, ἐπιτρόπους καθίστησι καὶ τῶν παίδων καὶ τῶν χρημάτων τρεῖς, δύο μὲν συγγενεῖς, Ἄφοβόν τε καὶ Δημοφῶντα, ἕνα δὲ φίλον ἐκ παίδων, Θηριππίδην. καὶ Θηριππίδῃ μὲν δίδωσιν ἑβδομήκοντα καρποῦσθαι μνᾶς, ἄχρις ἂν Δημοσθένης εἰς ἄνδρας ἐγγραφῇ· Δημοφῶντι δὲ ἐγγυᾷ τὴν θυγατέρα, προστάξας αὐτὸν προῖκα δύο τάλαντα λα- 812
βεῖν· Ἀφόβῳ δὲ τὴν ἑαυτοῦ μὲν γυναῖκα, τῶν δὲ παίδων μητέρα, Κλεοβούλην τὴν Γύλωνος, ἀξιοῖ γήμασθαι μνᾶς ἐπιδοὺς ὀγδοήκοντα, καὶ χρῆσθαι κελεύει τῇ τε οἰκίᾳ καὶ τοῖς ἐν αὐτῇ σκεύεσι μέχρι τῆς Δημοσθένους εἰς ἄνδρας ἐγγραφῆς. οὗτοι τὰ μὲν δοθέντα χρήματα αὐτοῖς εὐθὺς λαμβάνουσι, γαμεῖ δὲ οὔτε Ἄφοβος τὴν γυναῖκα τοῦ τελευτήσαντος οὔτε Δημοφῶν τὴν θυγατέρα. διαχειρίσαντες δὲ τὴν οὐσίαν τεττάρων καὶ δέκα ταλάντων, ὡς ὁ ῥήτωρ ἐπιδείκνυσιν, ὀφείλοντες τριάκοντα τάλαντα ἐκτῖσαι ἐπικαρπίας καὶ ἀποδοῦναι, μικρὰ παντελῶς παρέδωκαν εἰς ἄνδρας ἐγγραφέντι τῷ Δημοσθένει. διὸ πρὸς τὸν Ἄφοβον εἰσελήλυθεν ἐπιτροπῆς δέκα ταλάντων τὴν δίκην λαχὼν, ἐπειδὴ τρίτος ὢν ἐπίτροπος τὸ τρίτον ὀφείλει τῶν χρημάτων· ἃ καὶ συντίθησιν ὁ ῥήτωρ ἔκ τε τῶν ἀρχαίων καὶ τῆς ἐπικαρπίας.—Κατὰ Ἀφόβου [a] B. *πρός τινας ἀντιρρήσεις* [b] *λεγομένας ὑπὸ τοῦ Ἀφόβου οὗτος ὁ λόγος ἐπηγώνισται, ἔχει δὲ καὶ τῶν προειρημένων ἐπανάμνησιν.*

ΕΙ *μὲν ἐβούλετο Ἄφοβος, ὦ ἄνδρες δικασταὶ, τὰ δί-* 813
καια ποιεῖν ἢ περὶ ὧν διαφερόμεθα τοῖς οἰκείοις ἐπιτρέπειν, οὐδὲν ἂν ἔδει δικῶν οὐδὲ πραγμάτων· [c] *ἀπέχρη γὰρ ἂν τοῖς ὑπ' ἐκείνων γνωσθεῖσιν ἐμμένειν, ὥστε μηδεμίαν ἡμῖν εἶναι πρὸς* [d] *τοῦτον διαφοράν. ἐπειδὴ δ' οὗτος*

[a] B. addidit Bekkerus. Incipit enim orationis alterius argumentum. Quod jam Wolfius animadverterat. [b] *λεγομένας* Bekkerus. Legebatur *ἀγομένας. εἰσαγομένας* Schæferus. [c] *ἀπέχρη*] *ἀπέχρην* A.r. [d] *τοῦτον*] *τουτονὶ* F.

τοὺς μὲν σαφῶς εἰδότας τὰ ἡμέτερα ἔφυγε μηδὲν διαγνῶναι περὶ αὐτῶν, εἰς δ' ὑμᾶς τοὺς οὐδὲν τῶν ἡμετέρων ἀκριβῶς ἐπισταμένους ἐλήλυθεν, ἀνάγκη ἐστὶν ἐν ὑμῖν
2 παρ' αὐτοῦ [e]πειρᾶσθαι τῶν δικαίων τυγχάνειν. οἶδα μὲν οὖν, ὦ ἄνδρες δικασταί, [f]ὅτι πρὸς ἄνδρας καὶ λέγειν ἱκανοὺς καὶ παρασκευάσασθαι δυναμένους χαλεπόν ἐστιν εἰς ἀγῶνα καθίστασθαι περὶ τῶν ὄντων ἁπάντων, ἄπειρον ὄντα παντάπασι πραγμάτων διὰ τὴν ἡλικίαν· ὅμως δὲ, καίπερ πολὺ τούτων καταδεέστερος ὤν, πολλὰς ἐλπίδας ἔχω καὶ παρ' [g]ὑμῖν τεύξεσθαι τῶν δικαίων καὶ μέχρι γε τοῦ τὰ γεγενημένα διεξελθεῖν καὶ αὐτὸς ἀρκούντως ἐρεῖν, ὥσθ' ὑμᾶς μήτ' ἀπολειφθῆναι τῶν πραγμάτων μηδὲ καθ' ἓν μήτ' ἀγνοῆσαι περὶ ὧν δεήσει τὴν ψῆφον 814
3 [h]ἐνεγκεῖν. δέομαι δ' ὑμῶν, ὦ ἄνδρες δικασταί, μετ' εὐνοίας [i]τέ μου ἀκοῦσαι, κἂν ἠδικῆσθαι δοκῶ, βοηθῆσαί μοι τὰ δίκαια. ποιήσομαι δ' ὡς ἂν δύνωμαι διὰ βραχυτάτων τοὺς λόγους. ὅθεν [k]οὖν ῥᾷστα μαθήσεσθε περὶ αὐτῶν, ἐντεῦθεν ὑμᾶς καὶ ἐγὼ πρῶτον πειράσομαι διδάσκειν.

4 Δημοσθένης γὰρ [l]οὑμὸς πατήρ, ὦ ἄνδρες δικασταί, [m]κατέλιπεν οὐσίαν μὲν σχεδὸν τεττάρων καὶ δέκα ταλάντων, ἐμὲ δ' ἑπτ' ἐτῶν ὄντα καὶ τὴν ἀδελφὴν πέντε, ἔτι δὲ τὴν ἡμετέραν μητέρα πεντήκοντα μνᾶς εἰς τὸν οἶκον εἰσενηνεγμένην. βουλευσάμενος δὲ περὶ ἡμῶν, ὅτ' ἤμελλε
5 τελευτᾶν, ἅπαντα ταῦτα ἐνεχείρισεν Ἀφόβῳ τε τούτῳ καὶ Δημοφῶντι τῷ [n]Δήμωνος υἱεῖ, τούτοιν μὲν [o]ἀδελφιδοῖν ὄντοιν, τῷ μὲν ἐξ ἀδελφοῦ, τῷ δ' ἐξ ἀδελφῆς γεγον-

[e] πειρᾶσθαι a pr. omissum ante παρ' addit manus antiqua S. [f] ὅτι] καὶ addit S., sed punctis notatum. [g] ὑμῖν] ὑμῶν A.r. [h] ἐνεγκεῖν] διενεγκεῖν F.r. [i] τέ μου A.r. τεμου sine accentu S. γ' ἐμοῦ F. γέ μου vulgo. [k] οὖν S. Legebatur δ' οὖν. [l] οὑμὸς] ὁ ἐμὸς vulgo. Mutatum ex A.F.S.r. qui οὐμὸς cum spiritu leni, quæ usitata in codicibus antiquis est crasis exprimendæ ratio. [m] κατέλιπεν] κατέλειπεν S. [n] Δήμωνος] δήμονος A.S.F.r. [o] ἀδελφιδοῖν] ἀδελφοῖν δυοῖν A.r.

ότοιν, ἔτι δὲ Θηριππίδῃ τῷ Παιανιεῖ, γένει μὲν οὐδὲν προσ-
ήκοντι, φίλῳ δ' ἐκ παιδὸς ὑπάρχοντι. κἀκείνῳ μὲν
ἔδωκεν ἐκ τῶν ἐμῶν ἑβδομήκοντα μνᾶς καρπώσασθαι
τοσοῦτον χρόνον, [p]ἕως ἐγὼ ἀνὴρ εἶναι δοκιμασθείην, ὅπως
μὴ δι' ἐπιθυμίαν χρημάτων χεῖρόν τι τῶν ἐμῶν διοικήσειε·
6 Δημοφῶντι δὲ τὴν ἐμὴν ἀδελφὴν καὶ δύο τάλαντα εὐθὺς
ἔδωκεν ἔχειν, αὐτῷ δὲ τούτῳ τὴν μητέρα τὴν [q]ἡμετέραν
καὶ [r]προῖκα [s]ὀγδοήκοντα μνᾶς, καὶ [t]τῇ οἰκίᾳ καὶ σκεύεσι
χρῆσθαι τοῖς ἐμοῖς, ἡγούμενος, καὶ [u]τούτους [x]ἔτι οἰκειο-
τέρους [y]εἰ [z]μοι [a]ποιήσειεν, οὐκ ἂν χεῖρόν [b]με ἐπιτρο-
7 πευθῆναι ταύτης τῆς οἰκειότητός [c]μοι [d]προσγενομένης.
λαβόντες δ' οὗτοι [e]ταῦτα πρῶτον σφίσιν αὐτοῖς ἐκ τῶν
χρημάτων, καὶ τὴν ἄλλην οὐσίαν ἅπασαν διαχειρίσαντες, 815
καὶ δέκα ἔτη ἡμᾶς ἐπιτροπεύσαντες, τὰ μὲν ἄλλα
πάντα ἀπεστερήκασι, τὴν οἰκίαν δὲ καὶ ἀνδράποδα τέτ-
ταρα καὶ δέκα καὶ ἀργυρίου μνᾶς τριάκοντα, μάλιστα
[f]σύμπαντα ταῦτα εἰς ἑβδομήκοντα μνᾶς παραδεδώκα-
8 σιν. καὶ τὸ μὲν κεφάλαιον τῶν ἀδικημάτων, ὡς ἂν συν-
τομώτατ' εἴποι τις, τοῦτ' ἔστιν, ὦ ἄνδρες δικασταί. τὸ
δὲ πλῆθος τῆς οὐσίας ὅτι τοῦτ' ἦν [g]τὸ καταλειφθέν, μέ-
γιστοι μὲν αὐτοὶ μάρτυρές μοι γεγόνασιν· εἰς γὰρ τὴν
συμμορίαν ὑπὲρ ἐμοῦ συνετάξαντο κατὰ τὰς πέντε καὶ
9 εἴκοσι μνᾶς πεντακοσίας δραχμὰς εἰσφέρειν, ὅσονπερ
Τιμόθεος ὁ Κόνωνος καὶ οἱ τὰ μέγιστα κεκτημένοι [h]τι-

[p] ἕως] ἕως ἂν F. [q] ἡμετέραν] ἐμὴν F. [r] προῖκα] προικαθ' S. hoc est προῖκά τ': nam τ' interdum pro θ' scripsit librarius, ut p. 825, 21. 672, 6. ταῦθ' οὐχ scripsit, μάλισθ' οὐχ p. 857, 7. οὐχ ἰσχυρίζομαι p. 901, 9. συμβουλεύονθ' ἴσως p. 1440, 29. οὐκ ἑτέρωθεν 1450, 27. ἕνεχ' ἐλπίδων 1457, 24. Similia interdum etiam in aliis libris inveniuntur ut ταῦθ' οὐχ in B. p. 34, 11. [s] ὀγδοήκοντα] ὀγδομήκοντα, sed μ deleto, S. [t] τῇ οἰκίᾳ Reiskius. τὴν οἰκίαν libri. [u] τούτους] τούτοις r. [x] ἔτι om. S. [y] εἰ ante καὶ τούτους F. [z] μοι] ἐμοὶ F. et, omisso εἰ, pr. S. [a] ποιήσειεν] πείσειεν F. [b] με A.S.r. ἐμὲ vulgo. [c] μοι addidi ex S. [d] προσγενομένης] προσγινομένης pr. S. [e] ταῦτα] ταῦτα (π ν supra scr.) F. [f] συμπάντα ταῦτα] σύμπαντα πάντα r. [g] τὸ om. A.r. [h] τιμήματα A.r. et p. 862, 14. τίμημα S. τιμητὰ F.

μήματα εἰσέφερον· δεῖ δὲ καὶ καθ' ἕκαστον ὑμᾶς ἀκοῦ-
σαι τά τ' ἐνεργὰ αὐτῶν καὶ ὅσα ἦν ἀργὰ καὶ ὅσου ἦν
ἄξια ἕκαστα. ταῦτα γὰρ μαθόντες ἀκριβῶς εἴσεσθε ὅτι
τῶν πώποτ' ἐπιτροπευσάντων οὐδένες ἀναιδέστερον οὐδὲ
10 περιφανέστερον ἢ οὗτοι τὰ ἡμέτερα διηρπάκασιν. πρῶτον
μὲν οὖν ὡς συνετιμήσαντο ὑπὲρ ἐμοῦ ταύτην τὴν εἰσφορὰν
εἰς τὴν συμμορίαν, παρέξομαι τούτων μάρτυρας, ἔπειθ'
ὅτι οὐ πένητα [i] κατέλιπέ με ὁ πατὴρ οὐδ' ἑβδομήκοντα
μνῶν οὐσίαν κεκτημένον, ἀλλὰ τοσαύτην ὅσην οὐδ' αὐτοὶ
οὗτοι ἀποκρύψασθαι διὰ τὸ μέγεθος πρὸς τὴν πόλιν
ἠδυνήθησαν. [k] καί μοι ἀναγίγνωσκε λαβὼν [l] ταύτην τὴν
μαρτυρίαν.

ΜΑΡΤΥΡΙΑ.

11 Δῆλον μὲν τοίνυν καὶ ἐκ τούτων ἐστὶ τὸ πλῆθος τῆς
οὐσίας. πεντεκαίδεκα [m] ταλάντων γὰρ τρία τάλαντα τί- 816
μημα· ταύτην ἠξίουν εἰσφέρειν τὴν εἰσφοράν. ἔτι δ'
ἀκριβέστερον εἴσεσθε τὴν οὐσίαν αὐτὴν ἀκούσαντες. ὁ γὰρ
πατὴρ, ὦ ἄνδρες δικασταὶ, [n] κατέλιπε δύο ἐργαστήρια,
τέχνης οὐ μικρᾶς ἑκάτερον, μαχαιροποιοὺς μὲν τριάκοντα
καὶ δύο ἢ τρεῖς, [o] ἀνὰ πέντε μνᾶς [p] καὶ ἕξ, τοὺς δ' οὐκ
12 ἐλάττονος ἢ τριῶν μνῶν ἀξίους, ἀφ' ὧν τριάκοντα μνᾶς
ἀτελεῖς ἐλάμβανε τοῦ ἐνιαυτοῦ τὴν πρόσοδον, κλινοποιοὺς
δ' εἴκοσι τὸν ἀριθμὸν, τετταράκοντα μνῶν ὑποκειμένους,
οἳ δώδεκα μνᾶς ἀτελεῖς αὐτῷ προσέφερον, ἀργυρίου δ'
εἰς τάλαντον ἐπὶ δραχμῇ [q] δεδανεισμένου, οὗ τόκος ἐγίγ-
13 νετο τοῦ ἐνιαυτοῦ ἑκάστου [r] πλεῖν ἢ ἑπτὰ μναῖ. καὶ
ταῦτα μὲν ἐνεργὰ [s] κατέλιπεν, ὡς καὶ αὐτοὶ οὗτοι ὁμολο-
γήσουσιν· ὧν γίγνεται τοῦ μὲν ἀρχαίου κεφάλαιον τέτ-
ταρα τάλαντα καὶ [t] πεντακισχίλιαι, τὸ δ' ἔργον αὐτῶν

[i] κατέλιπέ] κατέλειπεν S. [k] καί μοι] καίτοι A.r. [l] ταύτην codices. ταυτηνὶ vulgo. [m] ταλάντων γὰρ] γὰρ ταλάντων A.r. [n] κατέλιπε] κατέλειπεν S. [o] ἀνὰ] τοὺς μὲν ἀνὰ A.r. [p] καὶ] ἢ καὶ F. [q] δεδανεισμένου] δεδανεισμένον A.r. [r] πλεῖν] Scribebatur πλεῖον. Vid. ad p. 503, 18. [s] κατέλιπεν] κατελειπεν S. [t] πεντακισχίλιαι] πεντακισχίλια F.r. et pr. S. Idem est in A. de quo non erat cur dubitaret Reiskius.

πεντήκοντα μναῖ τοῦ ἐνιαυτοῦ ἑκάστου. χωρὶς δὲ τούτων ἐλέφαντα μὲν καὶ σίδηρον, ὃν [u]κατειργάζοντο, καὶ ξύλα [x]κλίνεια εἰς ὀγδοήκοντα [y]μνᾶς ἄξια, κηκῖδα [z]δὲ καὶ
14 χαλκὸν ἑβδομήκοντα μνῶν ἐωνημένα, ἔτι δ' οἰκίαν τρισχιλίων, [a]ἔπιπλα δὲ καὶ ἐκπώματα καὶ χρυσία καὶ ἱμάτια [b]καὶ κόσμον τῆς μητρὸς ἄξια σύμπαντα [c]ταῦτα εἰς μυρίας δραχμάς, ἀργυρίου δ' ἔνδον ὀγδοήκοντα μνᾶς. καὶ ταῦτα μὲν οἴκοι κατέλιπε πάντα, ναυτικὰ δ' ἑβδομήκοντα μνᾶς, ἔκδοσιν παρὰ Ξούθῳ, τετρακοσίας δὲ καὶ
15 δισχιλίας ἐπὶ τῇ τραπέζῃ τῇ Πασίωνος, ἑξακοσίας δ' ἐπὶ τῇ Πυλάδου, παρὰ [d]Δημομέλει δὲ τῷ Δήμωνος υἱεῖ χιλίας καὶ ἑξακοσίας, [e]κατὰ διακοσίας δὲ καὶ τριακο- 817
σίας ὁμοῦ τι τάλαντον διακεχρημένον. καὶ τούτων αὖ τῶν χρημάτων τὸ κεφάλαιον πλέον ἢ ὀκτὼ τάλαντα καὶ [f]τριάκοντα μναῖ [g]γίγνονται. [h]συμπάντων δ' εἰς τέτταρα καὶ δέκα τάλαντα εὑρήσετε σκοποῦντες.

16 Καὶ τὸ μὲν πλῆθος τῆς οὐσίας τοῦτ' ἦν τὸ καταλειφθέν, ὦ ἄνδρες δικασταί. ὅσα δ' αὐτῆς διακέκλεπται καὶ ὅσα ἰδίᾳ ἕκαστος εἴληφε καὶ ὁπόσα κοινῇ πάντες ἀποστεροῦσιν, οὐκ ἐνδέχεται πρὸς [i]τὸ αὐτὸ ὕδωρ εἰπεῖν,
17 ἀλλ' ἀνάγκη χωρὶς ἕκαστον διελεῖν ἐστίν. ἃ μὲν οὖν Δημοφῶν [k]ἢ Θηριππίδης ἔχουσι τῶν ἐμῶν, τότ' ἐξαρκέσει περὶ αὐτῶν εἰπεῖν, ὅταν κατ' αὐτῶν τὰς γραφὰς [l]ἀπενέγκωμεν· ἃ δὲ τοῦτον ἔχοντα [m]ἐξελέγχουσιν ἐκεῖνοι καὶ [n]ἐγὼ οἶδα αὐτὸν εἰληφότα, περὶ τούτων ἤδη ποιήσομαι τοὺς λόγους πρὸς ὑμᾶς. πρῶτον μὲν [o]οὖν ὡς ἔχει τὴν προῖκα, τὰς ὀγδοήκοντα μνᾶς, τοῦθ' ὑμῖν ἐπιδείξω,

[u] κατειργάζοντο] κατηργάζοντο S. [x] κλίνεια] κλίνια A.r. [y] μνᾶς] Legebatur μνῶν. [z] δὲ om. A.r. [a] ἔπιπλα] ἐπίπλα S. [b] καὶ κόσμον] τὸν κόσμον A.S.r. [c] ταῦτα om. F. [d] δημομέλει δὲ A.S.r. Legebatur δὲ Δημομέλει. [e] κατὰ] κᾶτα A.r. [f] τριάκοντα] πεντήκοντα Reiskius. [g] γίγνονται] γίγνεται F. [h] συμπάντων] σύμπαντα A.r. [i] τὸ αὐτὸ] ταὐτὸ S. a m. antiqua. [k] ἢ] καὶ F. [l] ἀπενέγκωμεν] ἀπενέγκωμαι A.r. [m] ἐξελέγχουσιν] ἐλέγξουσιν F. [n] ἐγὼ] ἔγωγ' A.r. [o] οὖν om. r.

μετὰ δὲ ταῦτα καὶ περὶ τῶν ἄλλων, ὡς ἂν [p]*ἐγὼ* [q]*δύνωμαι*
διὰ βραχυτάτων.

18 *Οὗτος γὰρ εὐθὺς μετὰ τὸν τοῦ πατρὸς θάνατον ᾤκει*
τὴν οἰκίαν εἰσελθὼν κατὰ τὴν ἐκείνου διαθήκην, καὶ λαμ-
βάνει τά τε χρυσία τῆς μητρὸς καὶ τὰ ἐκπώματα τὰ
καταλειφθέντα. καὶ ταῦτα μὲν ὡς εἰς πεντήκοντα μνᾶς
εἶχεν, ἔτι δὲ τῶν ἀνδραπόδων [r]*πιπρασκομένων παρά*
τε Θηριππίδου καὶ Δημοφῶντος τὰς τιμὰς ἐλάμβανεν,
ἕως ἀνεπληρώσατο τὴν προῖκα, τὰς ὀγδοήκοντα μνᾶς.
19 *καὶ ἐπειδὴ εἶχεν, ἐκπλεῖν μέλλων εἰς* [s]*Κέρκυραν τριήραρ-*
χος [t]*ἀπέγραψε* [u]*ταῦτα πρὸς Θηριππίδην ἔχοντα ἑαυτὸν*
καὶ ὡμολόγει κεκομίσθαι τὴν προῖκα. καὶ [x]*πρῶτον μὲν* 818
τούτων Δημοφῶν καὶ Θηριππίδης, οἱ τούτου συνεπίτροποι,
μάρτυρές εἰσιν· ἔτι δὲ καὶ ὡς αὐτὸς ὡμολόγει ταῦτ᾽ ἔχειν,
Δημοχάρης [y]*τε ὁ Λευκονοεύς, ὁ τὴν τηθίδα τὴν ἐμὴν ἔχων,*
20 *καὶ ἄλλοι πολλοὶ μάρτυρες γεγόνασιν. οὐ γὰρ διδόντος*
τούτου σῖτον τῇ μητρί, [z]*τὴν προῖκα ἔχοντος, οὐδὲ τὸν*
οἶκον μισθοῦν ἐθέλοντος, ἀλλὰ μετὰ τῶν ἄλλων ἐπιτρόπων
διαχειρίζειν ἀξιοῦντος, ἐποιήσατο λόγους περὶ τούτων ὁ
Δημοχάρης. [a]*οὗτος δ᾽ ἀκούσας οὔτ᾽* [b]*ἠμφεσβήτησε μὴ*
[c]*ἔχειν, οὔτε χαλεπῶς ἤνεγκεν ὡς οὐκ εἰληφώς, ἀλλ᾽*
ὡμολόγει [d]*καί τι μικρὸν* [e]*ἔφη πρὸς τὴν ἐμὴν μητέρα περὶ*
[f]*χρυσιδίων ἀντιλέγεσθαι· τοῦτ᾽ οὖν διευκρινησάμενος καὶ*
περὶ τῆς τροφῆς καὶ περὶ τῶν ἄλλων ποιήσειν οὕτως ὥστ᾽
21 *ἔχειν μοι πάντα καλῶς. καίτοι εἰ φανήσεται* [g]*πρός τε*
τὸν [h]*Δημοχάρην ταῦθ᾽ ὡμολογηκὼς καὶ πρὸς τοὺς ἄλλους*

[p] *ἐγὼ* addidi ex S. [q] *δύνωμαι*] *δύναμαι* r. [r] *πιπρασκομένων* S. Legebatur *τῶν πιπρασκομένων*. [s] *Κέρκυραν*] *κόρκυραν* S. [t] *ἀπέγραψε*] *ἀπεγράψατο* F.r. [u] *ταῦτα* om. r. [x] *πρῶτον μὲν τούτων*] *τούτων μὲν πρῶτον* F. [y] *τε* om. pr. F. [z] *τὴν* S. Legebatur *τὴν δέ*. [a] *οὗτος*] *αὐτὸς* F. [b] *ἠμφεσβήτησε*] *ἠμφισβήτησε* A.F.r. [c] *ἔχειν*] *σχεῖν* A.r.

[d] *καί τι*] *καὶ ἔτι* A.S.r. [e] *ἔφη*] *ἔτι* r. [f] *χρυσιδίων*] *χρυσειδίων* S. *ι* a m. rec. scripto. [g] *πρός τε*] *πρός γε* A.r. [h] *δημοχάρην* A.F.r. Scribebatur *Δημοχάρη*.

οἳ παρῆσαν, παρά τε τοῦ Δημοφῶντος καὶ τοῦ Θηριππίδου τῶν ἀνδραπόδων εἰς τὴν προῖκα [i]τὰς τιμὰς εἰληφὼς, αὐτός θ' ἑαυτὸν ἔχειν τὴν προῖκα ἀπογράψας πρὸς τοὺς συνεπιτρόπους, οἰκῶν τε τὴν οἰκίαν ἐπειδὴ τάχιστα ἐτελεύτησεν ὁ πατὴρ, πῶς οὐκ ἐκ πάντων ὁμολογουμένου τοῦ πράγματος εὑρεθήσεται φανερῶς τὴν προῖκα, τὰς ὀγδοήκοντα μνᾶς, κεκομισμένος καὶ λίαν ἀναιδῶς μὴ λαβεῖν ἐξαρνούμενος; ἀλλὰ μὴν ὡς ἀληθῆ λέγω, λαβὲ τὰς μαρτυρίας καὶ ἀνάγνωθι.

ΜΑΡΤΥΡΙΑΙ.

22 Τὴν μὲν τοίνυν προῖκα τοῦτον [k]τὸν τρόπον [l]εἶχε λαβών. μὴ γήμαντος δ' αὐτοῦ τὴν μητέρα τὴν ἐμὴν ὁ μὲν νόμος κελεύει τὴν προῖκα ὀφείλειν ἐπ' ἐννέ' ὀβολοῖς, ἐγὼ δ' ἐπὶ δραχμῇ μόνον τίθημι. γίγνεται δ', ἐάν τις συντιθῇ τό 819
τ' ἀρχαῖον καὶ τὸ [m]πρόσεργον τῶν [n]δέκα ἐτῶν, μάλιστα τρία τάλαντα. καὶ ταῦτα μὲν οὕτως [o]ὑμῖν ἐπιδείκνυμι λαβόντα καὶ ἔχειν ὁμολογήσαντα μαρτύρων ἐναντίον τοσ-
23 ούτων· ἄλλας τοίνυν ἔχει τριάκοντα μνᾶς, τοῦ ἐργαστηρίου λαβὼν τὴν πρόσοδον, [p]καὶ ἀναισχυντότατ' ἀνθρώπων ἀποστερεῖν ἐπικεχείρηκεν. ἐμοὶ δ' ὁ πατὴρ κατέλιπε τριάκοντα μνᾶς [q]ἀπ' αὐτῶν τὴν πρόσοδον· [r]ἀποδομένων δὲ τούτων τὰ ἡμίσεα τῶν ἀνδραπόδων πεντεκαίδεκά [s]μοι
24 μνᾶς [t]γενέσθαι κατὰ [u]λόγον προσῆκεν. Θηριππίδης μὲν οὖν ἑπτὰ ἔτη τῶν ἀνδραπόδων ἐπιμεληθεὶς ἕνδεκα μνᾶς τοῦ ἐνιαυτοῦ ἀπέφηνε, τέτταρσι μναῖς καθ' ἕκαστον ἐνιαυτὸν ἔλαττον ἢ ὅσον προσῆκε λογιζόμενος. οὗτος δὲ δύ' ἔτη τὰ πρῶτα ἐπιμεληθεὶς οὐδ' ὁτιοῦν ἀποδείκνυσιν, ἀλλ' ἐνίοτε μέν [x]φησιν ἀργῆσαι τὸ ἐργαστήριον, ἐνίοτε δ' ὡς

[i] τὰς] καὶ τὰς F. [k] τὸν om. F. [l] εἶχε S. Legebatur ἔχει. [m] πρόσεργον S. ἐνεργὸν γρ. S. Legebatur ἔργον. Conf. ad p. 824, 21. 825, 26. [n] δέκα A.r. δώδεκα vulgo. [o] ὑμῖν om. A.r. [p] καὶ ἀναισχ.—πρόσοδον om. r. [q] ἀπ' αὐτῶν] ἁπάντων F. [r] ἀποδομένων] ἀποδεδομένων S. [s] μοι om. r. [t] γενέσθαι A.S.r. Legebatur γίγνεσθαι. [u] λόγον] τὸν λόγον A.r. [x] φησιν om. r.

αὐτὸς μὲν οὐκ ἐπεμελήθη τούτων, ὁ δ' ἐπίτροπος Μιλύας,
ὁ ἀπελεύθερος ὁ ἡμέτερος, διῴκησεν αὐτά, καὶ παρ' ἐκεί-
25 νου μοι [y]προσήκει λόγον λαβεῖν. ἂν οὖν καὶ νῦν εἴπῃ τινὰ
τούτων τῶν λόγων, ῥᾳδίως [z]ἐλεγχθήσεται ψευδόμενος.
[a]ἂν μὲν οὖν ἀργὸν φῇ γενέσθαι λόγον αὐτὸς ἀπενήνοχεν
ἀναλωμάτων οὐκ εἰς σιτία τοῖς ἀνθρώποις, ἀλλ' εἰς ἔργα,
[b]τὸν εἰς τὴν τέχνην ἐλέφαντα καὶ μαχαιρῶν λαβὰς καὶ
ἄλλας ἐπισκευάς, ὡς ἐργαζομένων τῶν δημιουργῶν. ἔτι
δὲ Θηριππίδῃ τριῶν ἀνδραπόδων, ἃ ἦν αὐτῷ ἐν τῷ ἐμῷ
ἐργαστηρίῳ, μισθὸν ἀποδεδωκέναι λογίζεται. [c]καίτοι μὴ
γενομένης [d]ἐργασίας οὔτ' ἐκείνῳ λαβεῖν μισθὸν οὔτ' ἐμοὶ
26 τὰ ἀναλώματα ταῦτα λογισθῆναι προσῆκεν. εἰ δ' αὖ 820
γενέσθαι μὲν [e]φήσει, τῶν δ' ἔργων [f]ἀπρασίαν εἶναι, δεῖ
δήπου τά [g]γε ἔργα αὐτὸν ἀποδεδωκότα μοι φαίνεσθαι,
καὶ ὧν ἐναντίον [h]ἀπέδωκε, [i]παρασχέσθαι μάρτυρας. εἰ
δὲ μηδὲν τούτων πεποίηκε, πῶς οὐκ ἔχει τὴν πρόσοδον
δυοῖν ἐτοῖν τὴν ἐκ τοῦ ἐργαστηρίου, [k]τὰς τριάκοντα μνᾶς,
27 φανερῶς οὕτω τῶν ἔργων γεγενημένων; εἰ δ' αὖ τούτων
μὲν [l]μηδὲν ἐρεῖ, Μιλύαν δ' αὐτὰ φήσει πάντα διῳκηκέ-
ναι, πῶς χρὴ πιστεύειν, ὅταν φῇ τὰ μὲν ἀναλώματα αὐ-
τὸς ἀνηλωκέναι, πλέον ἢ πεντακοσίας δραχμάς, λῆμμα
δ' εἴ τι γέγονεν, ἐκεῖνον ἔχειν: ἐμοὶ μὲν γὰρ δοκεῖ τοὐναν-
τίον ἂν γενέσθαι τούτων, εἰ καὶ Μιλύας αὐτῶν ἐπεμελεῖτο,
τὰ μὲν ἀναλώματ' ἐκεῖνος ἀναλῶσαι, τὰ δὲ λήμματα
οὗτος λαβεῖν, εἴ τι δεῖ τεκμαίρεσθαι πρὸς τὸν ἄλλον [m]αὐ-
τοῦ τρόπον καὶ τὴν ἀναίδειαν. λαβὲ οὖν τὰς μαρτυρίας
[n]ταύτας, καὶ ἀνάγνωθι [o]αὐτοῖς.

[y] προσήκει] προσῆκε A.r. [z] ἐλεγχθήσεται] ἐξελεγχθήσεται A.r. [a] ἂν S. ἐὰν vulgo. [b] τὸν] τῶν F.S. [c] καίτοι] καίτοι γε F. [d] ἐργασίας om. A.r. [e] φήσει] φησὶν F. [f] ἀπρασίαν] ἀπρασίας S. [g] γε] τε S. om. A.r. [h] ἀπέδωκε S. Legebatur ἀποδέδωκε. [i] παρασχέσθαι] παρέχεσθαι A. παρέχειν μοι r. [k] τὰς om. F. [l] μηδὲν] οὐδὲν A.r. [m] αὐτοῦ om. pr. S.: sed addidit manus antiqua. [n] ταύτας om. r. [o] αὐτοῖς] αὐτὰς F.

28 [p]ΜΑΡΤΥΡΙΑΙ.

Ταύτας τοίνυν [q]ἔχει [r]τριάκοντα μνᾶς ἀπὸ τοῦ ἐργαστηρίου, καὶ τὸ ἔργον αὐτῶν ὀκτὼ ἐτῶν· ὃ [s]ἂν ἐπὶ δραχμῇ [t]τις τιθῇ μόνον, [u]ἄλλας τριάκοντα μνᾶς εὑρήσει. καὶ ταῦτα μὲν ἰδίᾳ μόνος εἴληφεν· ἃ συντεθέντα πρὸς τὴν προῖκα μάλιστα τέτταρα τάλαντα [x]γίγνεται σὺν τοῖς ἀρχαίοις. ἃ δὲ μετὰ τῶν ἄλλων ἐπιτρόπων κοινῇ διήρπακε, καὶ ὅσα ἔνια μηδὲ καταλειφθῆναι παντάπασιν [y]ἠμφεσβήτηκε, ταῦθ' ὑμῖν [z]ἤδη ἐπιδείξω [a]καθ' ἕκαστον.
29 πρῶτον μὲν οὖν περὶ τῶν κλινοποιῶν, οὓς κατέλιπε [b]μὲν ὁ πατὴρ, ἀφανίζουσι δ' οὗτοι, τετταράκοντα μὲν μνῶν ὑποκειμένους, εἴκοσι δ' ὄντας τὸν ἀριθμὸν, ἐπιδείξω ὑμῖν 821 ὡς λίαν ἀναιδῶς καὶ φανερῶς με ἀποστεροῦσιν. τούτους γὰρ καταλειφθῆναι μὲν οἴκοι παρ' ἡμῖν πάντες ὁμολογοῦσι, καὶ τὰς δώδεκα μνᾶς ἑκάστου τοῦ ἐνιαυτοῦ τῷ
30 πατρὶ γίγνεσθαί φασιν· αὐτοὶ δὲ λῆμμα μὲν παρ' αὐτῶν [c]ἐν δέκα ἔτεσιν οὐδὲν ἐμοὶ γεγενημένον ἀποφαίνουσιν ἀλλ' οὐδὲ μικρὸν, ἀναλώματος δὲ κεφάλαιον εἰς αὐτοὺς οὗτος ὀλίγου [d]δεῖν λογίζεται χιλίας· εἰς τοῦτ' ἀναιδείας ἐλήλυθεν. αὐτοὺς δὲ τοὺς ἀνθρώπους, εἰς οὓς ταῦτ' [e]ἀναλωκέναι φησὶν, οὐδαμοῦ μοι [f]παραδεδώκασιν, ἀλλὰ πάντων
31 [g]κενότατον λόγον λέγουσιν, ὡς ὁ ὑποθεὶς τῷ πατρὶ τἀνδράποδα πονηρότατος [h]ἀνθρώπων ἐστὶ καὶ ἐράνους τε λέλοιπε πλείστους καὶ ὑπέρχρεως γέγονε, καὶ τούτων οὐκ ὀλίγους κεκλήκασι κατ' ἐκείνου μάρτυρας. τὰ δ' ἀνδράποδα ὅστις ἐστὶν ὁ λαβὼν ἢ [i]πῶς ἐκ τῆς οἰκίας [k]ἐξῆλθεν

[p] ΜΑΡΤΥΡΙΑΙ] ΜΑΡΤΥΡΙΑ S. [q] ἔχει post μνᾶς A.r. [r] τριάκοντα] τὰς τριάκοντα A.F.r. [s] ἂν S. ἐὰν vulgo. [t] τις τιθῇ] τιθῇ τις A.r. [u] ἄλλας] ἄλλας ὁμοῦ F. [x] γίγνεται] γίνονται r. [y] ἠμφεσβήτηκε] ἠμφισβήτηκε A.F. [z] ἤδη ἐπιδείξω] ἐπιδείξω ἤδη A.r. [a] καθ'] καθ' ἓν F. [b] μὲν ante ὁ om. F.S. ante μνῶν A. om. r. [c] ἐν δέκα] ἕνδεκα F. [d] δεῖν] δεῖ S. [e] ἀναλωκέναι] ἀνηλωκέναι A.F.r. [f] παραδεδώκασιν] παρεδωκασιν S. literis αδ a m. antiqua superscriptis. [g] κενότατον A. καινότατον vulgo. κενώτατον ex cod. Aug. quinto Reiskius. [h] ἀνθρώπων] ἀνθρώπων ἁπάντων F. [i] πῶς] ὅπως F.r. [k] ἐξῆλθεν] ἐξῆλθον A.

ἢ [l] τίς ἀφείλετο ἢ πρὸς τίνα δίκην ἥττηνται περὶ αὐτῶν,
32 οὐκ ἔχουσιν εἰπεῖν. καίτοι εἴ τι ἔλεγον ὑγιὲς, οὐκ ἂν
κατὰ τῆς ἐκείνου πονηρίας παρείχοντο μάρτυρας, ἧς [m] οὐ-
δέν μοι προσήκει φροντίζειν, ἀλλὰ τούτων [n] ἂν ἀντελαμ-
βάνοντο καὶ τοὺς [o] λαβόντας ἀπεδείκνυσαν καὶ [p] οὐδὲν ἂν
αὐτῶν [q] παρέλειπον. νῦν δ' ὠμότατ' ἀνθρώπων ὁμολογοῦν-
τες καταλειφθῆναι καὶ λαβόντες ὡς αὑτοὺς καὶ καρπω-
σάμενοι δέκα ἔτη τοὺς ἀνθρώπους, ἄρδην ὅλον τὸ ἐργα-
στήριον ἀφανίζουσιν. καὶ ταῦθ' ὡς ἀληθῆ λέγω, λαβέ μοι
τὰς μαρτυρίας καὶ ἀναγίγνωσκε.

[r] ΜΑΡΤΥΡΙΑΙ. 822

33 Ὅτι τοίνυν οὐκ ἄπορος ἦν ὁ [s] Μοιριάδης οὐδ' ἦν τῷ
πατρὶ τοῦτο τὸ συμβόλαιον εἰς τἀνδράποδα ἠλιθίως συμ-
βεβλημένον, μεγίστῳ τεκμηρίῳ γνώσεσθε· λαβὼν γὰρ ὡς
ἑαυτὸν Ἄφοβος τοῦτο τὸ ἐργαστήριον, ὡς αὐτοὶ τῶν μαρ-
τύρων ἠκούσατε, καὶ δέον αὐτὸν, εἰ καί τις ἄλλος ἐβού-
λετο εἰς ταῦτα [t] συμβάλλειν, τοῦτον [u] διακωλύειν ἐπίτρο-
πόν γ' ὄντα, αὐτὸς ἐπὶ τούτοις τοῖς ἀνδραπόδοις τῷ Μοι-
ριάδῃ πεντακοσίας δραχμὰς ἐδάνεισεν, ἃς ὀρθῶς καὶ δι-
34 καίως παρ' ἐκείνου κεκομίσθαι ὡμολόγηκεν. καίτοι πῶς
οὐ δεινὸν, εἰ ἡμῖν μὲν πρὸς [x] τῷ [y] λῆμμα ἀπ' αὐτῶν μη-
δὲν [z] γεγονέναι καὶ αὐτὰ τὰ ὑποτεθέντα ἀπόλωλεν, οἳ πρό-
τερον [a] συνεβάλομεν, τῷ δ' εἰς τὰ ἡμέτερα δανείσαντι
καὶ τοσούτῳ [b] χρόνῳ πράξαντι καὶ οἱ τόκοι καὶ τἀρχαῖα
ἐκ τῶν ἡμετέρων [c] ἀποδέδονται καὶ οὐδεμία ἀπορία γέ-
γονεν; ἀλλὰ μὴν ὡς ἀληθῆ λέγω, λαβὲ τὴν μαρτυρίαν
καὶ ἀνάγνωθι.

[l] τίς ἀφείλετο] ὡς ἀφείλετό τις F. [m] οὐδέν μοι] οὐδὲν F. [n] ἂν om. S. [o] λαβόντας] εἰληφότας A.r. [p] οὐδὲν ἂν] οὐδένα S. [q] παρέλειπον] παρέλιπον A.F.S.r. [r] ΜΑΡΤΥΡΙΑΙ] ΜΑΡΤΥΡΙΑ S. [s] Μοιριάδης] μυριάδης A.r. hic et infra. [t] συμβάλλειν] συμβαλεῖν A.r. [u] διακωλύειν] κωλύειν A.r. [x] τῷ] τὸ A.F. et pr. S. [y] λῆμμα] λῆμμά τι A.r. et rec. S. [z] γεγονέναι] αι a m. antiqua deletum in S. [a] συνεβάλομεν] συνεβάλλομεν S. [b] Post χρόνῳ legebatur ὕστερον quod a m. quarta habet supra versum S. In r. ὑπὲρ, quod ex ὕστὲρ ortum, quomodo scriptum in A. [c] ἀποδέδονται] ἀποδέδοται A.r.

ΜΑΡΤΥΡΙΑ.

35 Σκέψασθε τοίνυν ὅσον ἀργύριον οὗτοι παρὰ τοὺς κλινοποιοὺς κλέπτουσι, τετταράκοντα μὲν μνᾶς αὐτὸ τὸ ἀρχαῖον, δέκα δ᾽ ἐτῶν τὸ ἔργον αὐτῶν δύο τάλαντα· δώδεκα [d] γὰρ μνᾶς ἑκάστου τοῦ ἐνιαυτοῦ τὴν πρόσοδον αὐτῶν ἐλάμβανον. ἆρα μικρόν τι καὶ ἐξ ἀφανοῦς ποθεν καὶ παραλογίσασθαι ῥᾴδιον, ἀλλ᾽ οὐ φανερῶς οὑτωσὶ μικροῦ [e] δεῖν τρία τάλαντα ταῦτα ἀνηρπάκασιν; ὧν κοινῇ διαπεφορημένων τὸ τρίτον δήπου μέρος παρὰ τούτου μοι προσήκει κεκομίσθαι.

36 Καὶ μὴν, ὦ ἄνδρες δικασταὶ, καὶ τὰ περὶ τοῦ ἐλέφαντος καὶ σιδήρου τοῦ καταλειφθέντος παραπλήσιά πως τούτοις πεποιήκασιν· οὐδὲ γὰρ [f] ταῦτ᾽ ἀποφαίνουσιν. καίτοι κεκτημένον μὲν τοσούτους κλινοποιοὺς, κεκτημένον δὲ μαχαιροποιοὺς οὐχ οἷόν τε μὴ [g] οὐχὶ καὶ σίδηρον καὶ ἐλέφαντα καταλιπεῖν, ἀλλ᾽ ἀνάγκη ταῦτά γ᾽ ὑπάρχειν·
37 [h] τί γὰρ ἂν [i] εἰργάζοντο τούτων μὴ ὑπαρξάντων; τὸν τοίνυν [k] πλεῖν ἢ πεντήκοντα ἀνδράποδα κεκτημένον καὶ δυοῖν τέχναιν [l] ἐπιμελούμενον, ὧν θάτερον ἐργαστήριον εἰς τὰς [m] κλίνας ῥᾳδίως δύο μνᾶς τοῦ μηνὸς ἀνήλισκεν ἐλέφαντος, τὸ δὲ [n] μαχαιροποιεῖον οὐκ ἔλαττον ἢ τοσοῦτον ἕτερον, σὺν σιδήρῳ, τοῦτον οὔ φασι καταλιπεῖν οὐδὲν τούτων· εἰς τοῦτ᾽
38 ἀναιδείας ἐληλύθασιν. ὅτι μὲν [o] οὖν οὐ πιστὰ λέγουσι, καὶ ἐκ τούτων αὐτῶν ῥᾴδιόν ἐστι μαθεῖν. ὅτι δ᾽ ἐκεῖνος [p] κατέλιπε τοσοῦτον τὸ πλῆθος, ὥστε μὴ μόνον ἱκανὸν εἶναι κατεργάζεσθαι τοῖς ἑαυτοῦ δημιουργοῖς ἀλλὰ καὶ τῷ

[d] γὰρ] δὲ r. [e] δεῖν] δεῖ pr. S.: sed ν addidit manus antiqua. [f] ταῦτ᾽] τοῦτο F. [g] οὐχὶ] οὐ A.r. [h] τί] τίνα F. [i] εἰργάζοντο] ἠργάζοντο S. qui sic non raro; pariterque ἤθισμαι pro εἴθισμαι. Vid. ad p. 301, 16. 805, 26. 816, 19. 833, 26. 974, 29. 1351, 22. 1361, 27. 1405, 22. [k] πλεῖν] Scribebatur πλέον, quod om. pr. S. Vid. ad p. 503, 18. [l] ἐπιμελούμενον] Literas μελου a m. antiqua superscriptas habet S. [m] κλίνας] τέχνας r. [n] μαχαιροποιεῖον] μαχαιροποιεῖν F. et pr. S. [o] οὖν om. r. [p] κατέλιπε] κατέλειπε S.

βουλομένῳ προσωνεῖσθαι τῶν ἄλλων, ἐκεῖθεν φανερὸν, ὅτι αὐτός τ' ἐπώλει ζῶν καὶ Δημοφῶν καὶ οὗτος τοῦ πατρὸς ἤδη τετελευτηκότος ἐκ τῆς οἰκίας τῆς ἐμῆς ἀπεδίδοντο
39 *τοῖς βουλομένοις. καίτοι πόσον τινὰ χρὴ τὸν καταλειφθέντα νομίζειν εἶναι, ὅταν φαίνηται τηλικούτοις τε ἐργαστηρίοις ἐξαρκῶν καὶ χωρὶς ὑπὸ τῶν ἐπιτρόπων πιπρασκόμενος; ἆρ' ὀλίγον, ἀλλ' οὐ πολλῷ πλείω τῶν ἐγκεκλημένων; λαβὲ τοίνυν τὰς μαρτυρίας* [q] *ταυτασὶ, καὶ ἀνάγνωθι αὐτοῖς.*

[r] ΜΑΡΤΥΡΙΑΙ. 824

Τούτου τοίνυν τοῦ ἐλέφαντός ἐστι πλέον ἢ τάλαντον, ὃν οὔτε αὐτὸν οὔτε τὸ ἔργον μοι ἀποφαίνουσιν, ἀλλὰ καὶ τοῦτον ἄρδην [s] *ἀφανίζουσιν ὅλον.*

40 *Ἔτι τοίνυν, ὦ ἄνδρες δικασταὶ, παρὰ τὸν λόγον ὃν ἀποφέρουσιν, ἐξ ὧν αὐτοὶ λαβεῖν ὁμολογοῦσιν, ἐπιδείξω ὑμῖν τρεῖς μὲν ὄντας αὐτοὺς πλέον ἢ ὀκτὼ τάλαντα ἐκ τῶν ἐμῶν ἔχοντας, ἰδίᾳ δ' ἐκ τούτων Ἄφοβον τρία* [t] *τάλαντα καὶ χιλίας εἰληφότα, τά τ'* [u] *ἀναλωμένα χωρὶς τούτων πλείω τιθεὶς καὶ ὅσα ἐκ τούτων ἀπέδοσαν ἀφαιρῶν, ἵν' εἰδῆτε ὅτι οὐ μικρᾶς ἀναιδείας τὰ ἐγχειρήματ'*
41 *αὐτῶν ἐστίν. λαβεῖν γὰρ ἐκ τῶν ἐμῶν ὁμολογοῦσιν οὗτος μὲν ὀκτὼ καὶ ἑκατὸν μνᾶς, χωρὶς ὧν ἔχοντ' αὐτὸν ἐγὼ ἐπιδείξω νῦν, Θηριππίδης δὲ* [x] *δύο τάλαντα, Δημοφῶν δ' ἑπτὰ καὶ ὀγδοήκοντα μνᾶς. τοῦτο δ' ἐστὶ* [y] *πέντε τάλαντα καὶ πεντεκαίδεκα* [z] *μναῖ. τούτου τοίνυν ὃ μὲν οὐκ* [a] *ἄθρουν ἐλήφθη, σχεδόν εἰσιν ἑβδομήκοντα μναῖ καὶ ἑπτὰ, ἡ πρόσοδος* [b] *ἡ ἀπὸ τῶν ἀνδραπόδων. ὃ δ' εὐθὺς ἔλαβον οὗτοι, μικροῦ* [c] *δέοντα τέτταρα τάλαντα· οἷς τὸ* [d] *πρόσεργον*

[q] *ταυτασὶ*] *ταύτας* F. [r] ΜΑΡΤΥΡΙΑΙ] ΜΑΡΤΥΡΙΑ S. [s] *ἀφανίζουσιν ὅλον*] *ὅλον ἀφανίζουσιν* A.r. [t] *τάλαντα* om. A.r. [u] *ἀναλωμένα*] *ἀνηλωμένα* A.r. [x] *δύο τάλαντα*] *δύο τάλαντα καὶ πέντεκαιδέκα μνᾶς* S. [y] *πέντε τάλ. καὶ πεντεκ. μναῖ*] *πεντεκ. μναῖ καὶ πέντε τάλ.* r. Ad *πέντε* in F. adscriptum *γρ. δύο.* [z] *μναῖ*] *μνᾶς γρ.* F. [a] *ἄθρουν*] *ἄθροον* F. *ἀθρόον* B. [b] *ἡ* om. A.S.r. [c] *δέοντα* S. *δέον* vulgo. [d] *πρόσεργον* S. Legebatur *ἔργον*.

ἂν [e]προσθῆτε ἐπὶ [f]δραχμῇ μόνον τῶν δέκα ἐτῶν, ὀκτὼ τάλαντα εὑρήσετε σὺν τοῖς ἀρχαίοις καὶ [g]τετρακισχιλίας
42 γιγνομένας. τὴν μὲν τοίνυν τροφὴν ἀπὸ τῶν ἑβδομήκοντα [h]μνῶν καὶ ἑπτὰ λογιστέον τῶν ἀπὸ τοῦ ἐργαστηρίου [i]γενομένων. Θηριππίδης γὰρ ἑπτὰ μνᾶς ἐδίδου καθ᾽ ἕκαστον [k]τὸν ἐνιαυτὸν εἰς ταῦτα, καὶ ἡμεῖς τοῦτο λαβεῖν ὁμολογοῦμεν. ὥστε ἑβδομήκοντα [l]μνῶν ἐν τοῖς δέκα [m]ἔτεσι τροφὴν τούτων ἡμῖν ἀνηλωκότων τὸ περιὸν τὰς ἑπτακοσίας προσ- 825
43 τίθημι αὐτοῖς, καὶ [n]τούτων πλείω εἰμὶ τεθεικώς. ὃ δ᾽ ἐμοὶ δοκιμασθέντι παρέδοσαν καὶ ὅσον εἰς τὴν πόλιν εἰσενηνόχασι, τοῦτο ἀπὸ τῶν ὀκτὼ ταλάντων καὶ τοῦ προσόντος ἀφαιρετέον ἐστίν. ἀπέδοσαν μὲν τοίνυν οὗτος καὶ Θηριππίδης μίαν καὶ τριάκοντα μνᾶς, εἰσφορὰς δ᾽ εἰσενηνοχέναι [o]λογίζονται δυοῖν δεούσας εἴκοσι μνᾶς. ἐγὼ δ᾽ ὑπερβαλὼν [p]τοῦτο ποιήσω τριάκοντα μνᾶς, ἵνα πρὸς ταῦτα
44 μηδ᾽ ἀντειπεῖν ἔχωσιν. οὐκοῦν ἂν [q]ἀφέλητε τὸ τάλαντον ἀπὸ τῶν ὀκτὼ ταλάντων, ἑπτὰ τὰ λειπόμενά ἐστι, [r]καὶ ταῦτ᾽, ἐξ ὧν αὐτοὶ [s]λαβεῖν ὁμολογοῦσι, τούτους ἔχειν ἐστὶν ἀναγκαῖον. τοῦτο τοίνυν, εἰ καὶ τἄλλα πάντα ἀποστεροῦσιν ἀρνούμενοι μὴ ἔχειν, ἀποδοῦναι προσῆκεν ὁμολο-
45 γοῦντάς γε λαβεῖν ταῦτα ἐκ τῶν ἐμῶν. νῦν δὲ τί ποιοῦσιν; ἔργον μὲν οὐδὲν ἀποφαίνουσι τοῖς χρήμασιν, αὐτὰ δὲ τὰ ἀρχαῖα πάντα [t]ἀναλωκέναι φασὶ σὺν ταῖς ἑπτὰ καὶ ἑβδομήκοντα μναῖς· Δημοφῶν δὲ καὶ προσοφείλον-

[e] προσθῆτε] πρόσθηται F. [f] δραχμῇ] δραχμὴν S. [g] τετρακισχιλίας] Legebatur χιλίας. Correxi præeunte Reiskio, qui recte monuit quattuor talenta cum decem annorum usuris summam efficere octo talentorum et 5600 drachmarum, de quibus si detrahantur duæ minæ, quas quattuor talentis defuisse supra dixit Demosthenes, earumque usuræ decennes, i. e. 240 drachmæ, reliqua sunt octo talenta et drachmæ 4160. Ex quo manifestum est Demosthenem τετρακισχιλίας scripsisse. [h] μνῶν καὶ ἑπτὰ] καὶ ἑπτὰ μνῶν F. [i] γενομένων A.S.r. Legebatur γιγνομένων. [k] τὸν om. A.F. [l] μνῶν] μνᾶς A.r. [m] ἔτεσι τροφὴν] ἔτεσιν εἰς τροφὴν A.r. [n] τούτων S. Legebatur τούτῳ. [o] λογίζονται] νομίζονται A.r. [p] τοῦτο] καὶ τοῦτο F. [q] ἀφέλητε] ἀφέλῆται F. [r] καὶ om. r. [s] λαβεῖν ὁμολογοῦσι] ὁμολογοῦσι λαβεῖν F. [t] ἀναλωκέναι] ἀνηλωκέναι A.r.

τας ἡμᾶς [u] ἐνέγραψεν. ταῦτ᾽ οὐ μεγάλη καὶ περιφανὴς ἀναισχυντία; ταῦτ᾽ οὐχ ὑπερβολὴ δεινῆς [x] αἰσχροκερδείας; τί οὖν ποτ᾽ ἐστὶ τὸ δεινὸν, εἰ μὴ ταῦτα δόξει τηλικαύτας
46 ὑπερβολὰς ἔχοντα; οὗτος τοίνυν τὸ καθ᾽ αὑτὸν ὀκτὼ καὶ ἑκατὸν μνᾶς λαβεῖν ὁμολογῶν, ἔχει καὶ αὐτὰς καὶ τὸ [y] πρόσεργον [z] δέκα ἐτῶν, μάλιστα τρία τάλαντα καὶ χιλίας. καὶ ταῦθ᾽ ὡς ἀληθῆ λέγω, καὶ ἐν τοῖς λόγοις [a] τοῖς τῆς ἐπιτροπῆς τὸ λῆμμα [b] ἕκαστος τοῦθ᾽ ὁμολογῶν λαβεῖν ἅπαν ἀναλωκέναι λογίζεται, λαβὲ τὰς μαρτυρίας καὶ 826
ἀνάγνωθι.

ΜΑΡΤΥΡΙΑΙ.

47 Νομίζω τοίνυν, ὦ ἄνδρες δικασταὶ, περὶ τούτων ἱκανῶς μὲν ὑμᾶς μεμαθηκέναι, [c] ὅσα καὶ κλέπτουσι καὶ κακουργοῦσιν ἕκαστος αὐτῶν· ἔτι δ᾽ ἀκριβέστερον ἔγνωτ᾽ ἂν, εἴ μοι τὰς διαθήκας, ἃς ὁ πατὴρ κατέλιπεν, οὗτοι ἀποδοῦναι ἠθέλησαν. ἐν γὰρ ἐκείναις ἐγέγραπτο, ὥς φησιν ἡ μήτηρ, ἃ κατέλιπεν ὁ πατὴρ [d] πάντα, καὶ ἐξ ὧν ἔδει τούτους λαβεῖν τὰ δοθέντα, καὶ τὸν οἶκον ὅπως [e] μισθώσουσι.
48 νῦν δ᾽ ἀπαιτοῦντος [f] ἐμοῦ καταλειφθῆναι μὲν ὁμολογοῦσιν, αὐτὰς δ᾽ οὐκ ἀποφαίνουσιν. ταῦτα δὲ ποιοῦσι τό τε πλῆθος οὐ βουλόμενοι καταφανὲς ποιῆσαι τῆς οὐσίας τὸ καταλειφθὲν, ὃ διηρπάκασιν οὗτοι, τάς τε δωρεὰς ἵνα μὴ δοκῶσιν ἔχειν, ὥσπερ [g] οὐκ ἐξ αὐτοῦ τοῦ πράγματος [h] ἐξελεγχθησόμενοι ῥᾳδίως. λαβὲ δ᾽ [i] αὐτοῖς τὰς μαρτυρίας [k] ὧν ἀπεκρίναντο, καὶ ἀνάγνωθι.

ΜΑΡΤΥΡΙΑΙ.

49 Οὗτος διαθήκην μὲν γενέσθαι φησὶ, καὶ τὰ δύο τάλαντα Δημοφῶντι καὶ τὰς ὀγδοήκοντα μνᾶς τούτῳ δοθῆ-

[u] ἐνέγραψε] ἔγραψε r. [x] αἰσχροκερδείας] αἰσχροκερδίας S. [y] πρόσεργον S. Legebatur ἔργον. [z] δέκα] τῶν δέκα A.r. [a] τοῖς om. A.S.r. [b] ἕκαστος τοῦθ᾽] τοῦθ᾽ ἕκαστος F. [c] ὅσα καὶ] Legebatur καὶ ὅσα. [d] πάντα] ἅπαντα A.r. [e] μισθώσουσι Reiskius. Legebatur μισθώσοιτο. Conf. l. 26. et p. 857, 4. [f] ἐμοῦ] μου F. [g] οὐκ om. F. [h] ἐξελεγχθησόμενοι S. ἐλεγχθησόμενοι vulgo. [i] αὐτοῖς] αὐτὰς A.r. [k] ὧν] ὡς F. ὧν ἐναντίον A.r.

*ναι μαρτυρεῖ· τὰς δ' ἑβδομήκοντα μνᾶς, ἃς Θηριππίδης
ἔλαβεν, οὐ προσγραφῆναί φησιν, οὐδὲ τὸ πλῆθος τῆς οὐ-
σίας τὸ καταλειφθὲν, οὐδὲ τὸν οἶκον ὅπως [l] μισθώσουσιν·
οὐ γὰρ αὐτῷ συμφέρει προσομολογῆσαι ταῦτα. λαβὲ
[m] δὴ τὴν [n] τούτου [o] ἀπόκρισιν.*

[p] ΜΑΡΤΥΡΙΑ. 827

50 *Οὗτος [q] αὖ τὴν μὲν διαθήκην γενέσθαι φησὶ [r] καὶ τὸ ἀρ-
γύριον ἐκ τοῦ χαλκοῦ καὶ τῆς κηκῖδος ἀποδοθῆναι τῷ Θη-
ριππίδῃ, ὃ ἐκεῖνος οὔ φησι, καὶ τὰ δύο τάλαντα τῷ Δη-
μοφῶντι· περὶ δὲ τῶν αὐτῷ δοθέντων γραφῆναι μέν φησιν,
οὐχ ὁμολογῆσαι δ' αὐτὸς, ἵνα μὴ δοκῇ λαβεῖν. τὸ δὲ
πλῆθος τῆς οὐσίας οὐδ' [s] οὗτος ἀποφαίνει [t] καθόλου, οὐδὲ
τὸ μισθοῦν τὸν οἶκον· οὐδὲ γὰρ [u] οὐδὲ τούτῳ συμφέρει*
51 *προσομολογῆσαι ταῦτα. δῆλον τοίνυν ἐστὶν οὐδὲν ἧττον
τὸ πλῆθος τῶν καταλειφθέντων, καίπερ ἀφανιζόντων τού-
των τὴν οὐσίαν, ἐκ τῶν διαθηκῶν, ἐξ ὧν τοσαῦτα χρήματα
ἀλλήλοις [x] φασὶ δοθῆναι. ὅστις γὰρ ἐκ τεττάρων ταλάν-
των καὶ τρισχιλίων τοῖς μὲν τρία τάλαντα καὶ δισχιλίας
προῖκα δέδωκε, τῷ δ' ἑβδομήκοντα μνᾶς καρποῦσθαι,
φανερὸν δήπου πᾶσιν ὅτι οὐκ ἀπὸ μικρᾶς οὐσίας, ἀλλὰ
πλέον ἢ διπλασίας ἧς ἐμοὶ [y] κατέλιπε ταῦτ' ἀφεῖλεν.*
52 *οὐ γὰρ δήπου τὸν μὲν υἱὸν ἐμὲ πένητα ἐβούλετο καταλι-
πεῖν, τούτους δὲ πλουσίους ὄντας ἔτι πλουσιωτέρους ποιῆ-
σαι ἐπεθύμησεν, ἀλλ' ἕνεκα τοῦ πλήθους τῶν ἐμοὶ [z] κα-
ταλειπομένων Θηριππίδῃ [a] τε τοσοῦτον ἀργύριον καὶ Δη-
μοφῶντι τὰ δύο τάλαντα, οὔπω μέλλοντι τῇ ἀδελφῇ τῇ
ἐμῇ συνοικήσειν, καρποῦσθαι ἔδωκεν, ἵνα δυοῖν θάτερον
διαπράξαιτο, ἢ διὰ τὰ διδόμενα βελτίους αὐτοὺς εἶναι*

[l] *μισθώσουσιν*] *μισθώσωσιν* A.r. [m] *δὴ* om. A.r. [n] *τούτου*] *τούτων* r. [o] *ἀπόκρισιν*] *μαρτυρίαν* F.S. [p] ΜΑΡΤΥΡΙΑ] *ἀπόκρισις* r. [q] *αὖ τὴν*] *αὐτὴν* F. [r] *καὶ* om. F. [s] *οὗτος*] *αὐτὸς* A. [t] *καθόλου*] *καθόλου τὸ καταλειφθέν* A.r. [u] *οὐδὲ τούτῳ*] *τούτοις* A.r. [x] *φασὶ*] *φῆσὶ* (α supra) F. [y] *κατέλιπε*] *καταλιπεῖν* pr. S.: sed correxit manus antiqua. [z] *καταλειπομένων*] *καταλιπομένων* A.r. [a] *τε* om. A.r. Legitur p. 857, 29.

[b]τὰ περὶ τὴν ἐπιτροπὴν [c]προτρέψειεν, ἢ εἰ κακοὶ γίγνοιντο,
μηδεμιᾶς συγγνώμης παρ' ὑμῶν τυγχάνοιεν, εἰ τοσούτων
53 ἀξιωθέντες τοιαῦτ' εἰς ἡμᾶς ἐξαμαρτάνοιεν. οὗτος τοίνυν 828
[d]καὶ αὐτὸς πρὸς τῇ προικὶ καὶ [e]τὰς θεραπαίνας λαβὼν καὶ
τὴν οἰκίαν οἰκῶν, ἐπειδὴ δεῖ λόγον [f]αὐτὸν δοῦναι [g]τούτων,
τά [h]τε αὑτοῦ πράττειν φησὶ καὶ εἰς τοσοῦτον [i]αἰσχροκερ-
δείας ἦλθεν, ὥστε καὶ τοὺς διδασκάλους τοὺς μισθοὺς
ἀπεστέρηκε καὶ τῶν εἰσφορῶν ἔστιν ἃς οὐ κατέθηκεν, ἐμοὶ
δὲ λογίζεται. λαβὲ δὴ καὶ ταύτας αὐτοῖς τὰς μαρτυρίας,
καὶ ἀνάγνωθι.

[k]ΜΑΡΤΥΡΙΑΙ.

54 Πῶς οὖν ἄν τις σαφέστερον ἐπιδείξειε πάντα διηρπα-
κότα καὶ μηδὲ τῶν μικρῶν ἀπεσχημένον, ἢ τοῦτον τὸν
τρόπον ἐπιδεικνὺς μετὰ τοσούτων μαρτύρων καὶ τεκμηρίων
[l]τὴν μὲν προῖκα λαβεῖν ὁμολογήσαντα καὶ ἔχειν αὐτὸν
πρὸς τοὺς ἐπιτρόπους ἀπογράψαντα, τὸ δ' ἐργαστήριον
κεκαρπωμένον αὐτὸν καὶ τὴν πρόσοδον οὐκ ἀποφαίνοντα,
55 τῶν δ' ἄλλων τὰ μὲν πεπρακότα καὶ [m]τας τιμὰς οὐκ
ἀποδεδωκότα, τὰ δ' ὡς ἑαυτὸν [n]λαβόντα καὶ ταῦτ' ἠφα-
νικότα, ἔτι δὲ παρὰ τὸν λόγον ὃν αὐτὸς [o]ἀπέδωκε τοσ-
αῦτα κλέπτοντα, πρὸς δὲ τούτοις τὴν διαθήκην [p]ἠφανι-
κότα, [q]τἄλλα οὕτω πάντα διῳκηκότα ὡς οὐδ' ἂν οἱ ἔχθιστοι
[r]διοικήσειαν; ἐγὼ [s]μὲν οὐκ οἶδ' ὅπως ἄν τις σαφέστερον
ἐπιδείξειεν.

56 Ἐτόλμα τοίνυν πρὸς τῷ διαιτητῇ λέγειν ὡς ἀπὸ τῶν
χρημάτων χρέα τε [t]πάμπολλα ἐκτέτικεν [u]ὑπὲρ ἐμοῦ Δη-
μοφῶντι καὶ Θηριππίδῃ τοῖς συνεπιτρόποις, καὶ ὡς πολλὰ

[b] τὰ addidi ex S. [c] προτρέψειεν] τρέψειεν A.r. [d] καὶ om. r. [e] τὰς om. A.S.r. [f] αὐτὸν] αὐτῶν S. [g] τούτων] τοῦτον r. [h] τε addidi ex S. [i] αἰσχροκερδείας] αἰσχροκερδίας S. [k] ΜΑΡΤΥΡΙΑΙ] ΜΑΡΤΥΡΙΑ S. [l] τὴν μὲν] καὶ τὴν μὲν F. [m] τὰς om. r. [n] λαβόντα] λαμβάνοντα A.r. [o] ἀπέδωκε] ἐπέδωκε F.S. [p] ἠφανικότα] Addebatur τὰ ἀνδράποδα πεπρακότα. Delevit Dobræus. [q] τἄλλα] καὶ τἄλλα F. [r] διοικήσειαν] διοικήσαιεν A.F.r. [s] μὲν] μὲν γὰρ r. [t] πάμπολλα] πολλὰ F. [u] ὑπὲρ] ὑπ' pr. S. ερ superscr. a m. antiqua.

τῶν ἐμῶν λάβοιεν, [x] οὐδέτερα ἔχων ἐπιδεικνύναι τούτων.
οὔτε γὰρ ὡς ὀφείλοντά με [y] κατέλιπεν ὁ πατὴρ ἐν τοῖς 829
γράμμασιν ἀπέφηνεν, [z] οὐδ' οἷς ἀποδεδωκέναι ταῦτ' ἔφη
[a] παρέσχηται μάρτυρας, οὔτ' αὖ τὸν ἀριθμὸν τῶν χρημάτων
εἰς τοὺς συνεπιτρόπους ἐπανέφερεν [b] ὅσον αὐτὸς φαίνεται
57 λαβὼν, ἀλλὰ πολλοῖς ἐλάττω χρήμασιν. ἐρωτηθεὶς δ'
ὑπὸ τοῦ διαιτητοῦ ταῦτά τε καθ' ἕκαστον, καὶ τὴν οὐσίαν
τὴν αὑτοῦ πότερον ἐκ τῶν ἐπικαρπιῶν ἢ τἀρχαῖα ἀναλί-
σκων διῴκηκε, καὶ πότερον [c] οὕτως ἐπιτροπευθεὶς ἀπεδέξατ'
ἂν τοῦτον τὸν λόγον παρὰ τῶν ἐπιτρόπων ἢ τἀρχαῖ'
[d] ἂν ἀπολαβεῖν [e] ἠξίου σὺν τοῖς ἔργοις τοῖς γεγενημένοις,
πρὸς μὲν ταῦτ' ἀπεκρίνατο οὐδὲν, προὐκαλεῖτο δ' ἐθέλειν
ἐπιδεῖξαί μοι τὴν οὐσίαν δέκα ταλάντων οὖσαν· εἰ δέ τι
58 [f] ἐλλίποι, αὐτὸς ἔφη προσθήσειν. κελεύοντος δ' ἐμοῦ πρὸς
τὸν διαιτητὴν ἐπιδεικνύναι ταῦτα οὐκ [g] ἐπέδειξεν, [h] οὐδ' ὡς
οἱ συνεπίτροποι παρέδοσαν· οὐ γὰρ ἂν αὐτοῦ κατεδιῄτησε·
μαρτυρίαν δ' ἐνεβάλετο τοιαύτην, περὶ ἧς πειράσεταί τι
λέγειν. [i] ἂν μὲν οὖν καὶ νῦν ἔχειν με φῇ, τίνος παραδόν-
τος ἐρωτᾶτε αὐτὸν, καὶ καθ' ἕκαστον παρασχέσθαι μάρ-
59 τυρας ἀξιοῦτε. ἐὰν δ' εἶναί [k] μοι φῇ τοῦτον τὸν τρόπον,
[l] λογιζόμενος τὰ παρ' [m] ἑκατέρῳ τῶν ἐπιτρόπων, [n] διπλα-
σίοις ἐλάττω φανήσεται λέγων, ἔχοντα δ' οὐδὲν μᾶλλον
ἀποφαίνων. ἐγὼ γὰρ ὥσπερ καὶ τοῦτον τοσαῦτ' ἔχοντ'
ἐξήλεγξα, [o] οὕτω κἀκείνων ἑκάτερον οὐκ ἐλάττω [p] τούτων
ἔχοντα ἐπιδείξω. ὥστ' οὐ [q] τοῦτ' αὐτῷ λεκτέον, ἀλλ' ὡς

[x] οὐδέτερα F.S. Legebatur οὐδέτερον. Conf. p. 1039, 6. [y] κατέλιπεν] κατέλειπεν S. καταλιπεῖν F. [z] οὐδ' S. Legebatur οὔθ'. [a] παρέσχηται] παράσχηται A. [b] ὅσον] ὅσονπερ F. [c] οὕτως] οὗτος F. om. S. [d] ἂν ἀπολαβεῖν S. ἀπολαβεῖν ἂν vulgo. [e] ἠξίου om. r. [f] ἐλλίποι S. ἐλλείπει r. Legebatur ἐλλείποι. [g] ἐπέδειξεν] ἔδειξεν F. [h] οὐδ'] οὔθ' A.r. [i] ἂν S. ἐὰν vulgo. [k] μοι inter versus habet S. a m. antiqua. [l] λογιζόμενος] καταλογιζόμενος F. [m] ἑκατέρῳ] ἑκάτερα (ων superscr.) F. [n] διπλασίοις] διπλασίως A.r. [o] οὕτω] οὕτως S. [p] τούτων] τοῦτον A. et pr. S. τοῦτον (ου superscr.) r. [q] τοῦτ'] ταῦτ' A.r.

ἢ αὐτὸς ἢ οἱ συνεπίτροποι παρέδοσαν. εἰ δὲ μὴ [r] τοῦτ᾽ ἐπι-
δείξει, πῶς χρὴ ταύτῃ τῇ προκλήσει προσέχειν ὑμᾶς τὸν
νοῦν; οὐδὲν γὰρ μᾶλλον ἔχοντά με ἐπιδείκνυσιν. 830
60 Πολλὰ τοίνυν ἀπορηθεὶς πρὸς τῷ διαιτητῇ περὶ πάν-
των τούτων, [s] καὶ καθ᾽ ἕκαστον ἐξελεγχόμενος ὥσπερ
[t] νυνὶ παρ᾽ ὑμῖν, ἐτόλμησε ψεύσασθαι πάντων δεινότατον,
ὡς τέτταρά μοι τάλαντα ὁ πατὴρ κατέλιπε [u] κατορωρυ-
61 γμένα καὶ τούτων κυρίαν τὴν μητέρα ἐποίησεν. ταῦτα δ᾽
εἶπεν, ἵν᾽ εἰ μὲν καὶ νῦν [x] προσδοκήσαιμι αὐτὸν ἐρεῖν,
ἀπολογούμενος περὶ αὐτῶν διατρίβοιμι, δέον ἕτερά [y] με
αὐτοῦ κατηγορεῖν πρὸς ὑμᾶς· εἰ δ᾽ ὡς [z] οὐ [a] ῥηθησομένων
[b] παραλίποιμι, νῦν αὐτὸς εἴποι, ἵνα δοκῶν εἶναι πλούσιος
ἧττον ὑφ᾽ ὑμῶν ἐλεοίμην. καὶ μαρτυρίαν μὲν οὐδεμίαν
ἐνεβάλετο τούτων ὁ ταῦτ᾽ εἰπεῖν ἀξιώσας, ψιλῷ δὲ λόγῳ
62 χρησάμενος ὡς πιστευθησόμενος [c] δι᾽ [d] ἐκείνων. καὶ ὅταν
μὲν [e] ἔρηταί τις αὐτὸν [f] εἰς τί τῶν ἐμῶν τοσαῦτα χρήματ᾽
ἀνήλωκε, χρέα φησὶν ὑπὲρ ἐμοῦ ἐκτετικέναι καὶ πένητα
[g] ἐνταυθὶ ζητεῖ ποιεῖν· ὅταν δὲ βούληται, πλούσιον, ὡς
ἔοικεν, εἴπερ [h] γε καὶ τοσοῦτον [i] ἐκεῖνος ἀργύριον οἴκοι
κατέλιπεν. ὡς δ᾽ οὐκ ἀληθῆ λέγειν [k] οἷόν τε αὐτὸν, ἀλλ᾽
ἀδύνατόν τι γενέσθαι τούτων, ἐκ πολλῶν ῥᾴδιον μαθεῖν.
63 εἰ μὲν γὰρ ὁ πατὴρ ἠπίστει τούτοις, δῆλον ὅτι οὔτ᾽ ἂν
τἄλλα ἐπέτρεπεν οὔτ᾽ ἂν ταῦθ᾽ οὕτω καταλιπὼν αὐτοῖς
ἔφραζε· μανία γὰρ δεινὴ τὰ κεκρυμμένα εἰπεῖν, μηδὲ τῶν
φανερῶν μέλλοντα ἐπιτρόπους καταστήσειν. εἰ δ᾽ ἐπί-
στευεν, οὐκ ἂν δήπου τὰ μὲν πλεῖστ᾽ αὐτοῖς τῶν χρημά-

[r] τοῦτ᾽] τουγ S., τ᾽ a m. antiqua. [s] καὶ a m. antiqua insertum in S. [t] νυνὶ] νῦν A.F.r. [u] κατορωρυγμένα] κατωρυγμένα pr. S., sed superscripto ορ ab eadem, ut videtur, manu. [x] προσδοκήσαιμι αὐτὸν S. Legebatur αὐτὸν προσδοκήσαιμι. [y] με αὐτοῦ A.S.r. αὐτοῦ με vulgo. [z] οὐ A.S. Legebatur μή. [a] ῥηθησομένων] ῥηθησόμενον correctus S. [b] παραλίποιμι] παραλείποιμι A.F.r. [c] δι᾽ S. Legebatur ὑπ᾽. [d] ἐκείνων] ἐκείνου A.r. [e] ἔρηται] ἐρῆταί A.r. [f] εἰς τί] εἴτι r. [g] ἐνταυθὶ] Scribebatur ἐνταυθοῖ. [h] γε om. A.F.r. [i] ἐκεῖνος ἀργύριον] ἀργύριον ἐκεῖνος F. [k] οἷόν τε αὐτὸν] αὐτὸν οἷόν τε A.r. οἴονται αὐτὸν pr. S.

των ἐνεχείρισε, [l] τῶν δ' οὐκ ἂν κυρίους ἐποίησεν. οὐδ' ἂν τῇ μὲν μητρί μου ταῦτα φυλάττειν ἔδωκεν, αὐτὴν δ' [m] ἐκείνην ἑνὶ τῶν ἐπιτρόπων [n] τούτῳ γυναῖκ' [o] ἔδωκεν· οὐ 831 γὰρ ἔχει λόγον σώζειν μὲν τὰ χρήματα διὰ τῆς ἐμῆς μητρὸς ζητεῖν, ἕνα δὲ τῶν ἀπιστουμένων καὶ αὐτῆς καὶ
64 τῶν χρημάτων κύριον ποιεῖν. ἔτι δὲ, τούτων εἴ τι ἦν ἀληθὲς, οἴεσθ' οὐκ ἂν αὐτὴν λαβεῖν δοθεῖσαν ὑπὸ τοῦ πατρὸς, ὃς τὴν μὲν προῖκα αὐτῆς ἤδη, τὰς ὀγδοήκοντα μνᾶς, ἔχων ὡς συνοικήσων αὐτῇ τὴν Φιλωνίδου τοῦ [p] Μελιτέως θυγατέρ' ἔγημε· τεττάρων δὲ ταλάντων ἔνδον ὄντων, καὶ ταῦτ' ἐκείνης ἐχούσης, [q] ὡς οὗτός φησιν, οὐκ ἂν ἡγεῖσθ' αὐτὸν [r] κἂν ἐπιδραμεῖν, ὥστε γενέσθαι μετ' ἐκείνης [s] αὐτῶν κύ-
65 ριον; ἢ τὴν μὲν φανερὰν οὐσίαν, ἣν καὶ ὑμῶν [t] οἱ πολλοὶ συνῄδεσαν ὅτι κατελείφθη, μετὰ τῶν συνεπιτρόπων οὕτως αἰσχρῶς διήρπασεν, [u] ὧν δ' οὐκ [x] ἐμέλλεθ' ὑμεῖς ἔσεσθαι μάρτυρες, [y] ἀπέσχετ' ἂν ἐξὸν αὐτῷ λαβεῖν; καὶ τίς ἂν πιστεύσειεν; οὐκ ἔστι ταῦτ', ὦ ἄνδρες δικασταὶ, οὐκ ἔστιν, ἀλλὰ τὰ μὲν χρήμαθ', ὅσα κατέλιπεν ὁ πατὴρ, [z] πάντα τούτοις παρέδωκεν, οὗτος [a] δ', ἵν' ἧττον [b] ἐλεηθῶ παρ' ὑμῖν, τούτοις τοῖς λόγοις χρήσεται.

66 Πολλὰ μὲν οὖν ἔγωγ' ἔχω καὶ ἄλλα τούτου κατηγορεῖν· ἓν δὲ περὶ πάντων κεφάλαιον εἰπὼν πάσας αὐτοῦ διαλύσω τὰς ἀπολογίας. τούτῳ γὰρ ἐξῆν μηδὲν ἔχειν τούτων τῶν πραγμάτων μισθώσαντι τὸν οἶκον κατὰ τουτουσὶ τοὺς νόμους. λαβὲ τοὺς νόμους καὶ ἀνάγνωθι.

[c] ΝΟΜΟΙ.

67 Κατὰ τούτους [d] τοὺς νόμους [e] Ἀντιδώρῳ μὲν ἐκ τριῶν

[l] τῶν δ'] τούτων δ' F. [m] ἐκείνην om. F. [n] τούτῳ] τούτων F. et pr. S. [o] ἔδωκεν] ἐξέδωκεν γρ. S. [p] Μελιτέως] μελιτιέως A. [q] ὡς om. pr. S. [r] κἂν] καὶ F. [s] αὐτῶν] αὐτὸν A.F.r. [t] οἱ om. A.F.r. et p. 859, 3. [u] ὧν] ἧς A.r. [x] ἐμέλλεθ'] ἠμέλλεθ' vulgo. [y] ἀπέσχετ'] ἀπέσχητ' F. [z] πάντα] ταῦτα S. [a] δ' supra versum habet S. a pr. manu. [b] ἐλεηθῶ] ἐλεοίμην γρ. S. [c] ΝΟΜΟΙ] ΝΟΜΟΣ A. [d] τοὺς νόμους om. S. [e] Ἀντιδώρῳ] ἀντιδώρων A.

ταλάντων καὶ τρισχιλίων ἐν ἓξ ἔτεσιν ἓξ τάλαντα καὶ 832 [f]πλέον ἐκ τοῦ μισθωθῆναι παρεδόθη, καὶ ταῦθ' ὑμῶν τινὲς [g]εἶδον· Θεογένης γὰρ ὁ Προβαλίσιος, ὁ μισθωσάμενος αὐτοῦ τὸν οἶκον, ἐν τῇ ἀγορᾷ ταῦτα τὰ χρήματα ἐξηρίθμησεν. ἐμοὶ δ' ἐκ τεττάρων καὶ δέκα ταλάντων [h]ἐν δέκα ἔτεσι πρὸς τὸν χρόνον τε καὶ τὴν ἐκείνου μίσθωσιν [i]πλέον ἢ τριπλάσια κατὰ τὸ εἰκὸς [k]προσῆκον γενέσθαι, τοῦτο [l]διὰ
68 τί οὐκ ἐποίησεν, ἐρωτᾶτ' αὐτόν. εἰ μὲν γάρ [m]φησι βέλτιόν εἶναι μὴ μισθωθῆναι τὸν οἶκον, δειξάτω μὴ διπλάσια μηδὲ τριπλάσιά μοι γεγενημένα, ἀλλ' αὐτὰ τὰ ἀρχαῖα [n]ἐμοὶ [o]πάντα ἀποδεδομένα. εἰ δ' ἐκ τεττάρων καὶ δέκα ταλάντων ἐμοὶ μὲν μηδ' ἑβδομήκοντα μνᾶς παραδεδώκασιν, ὁ δὲ καὶ προσοφείλοντά με αὐτῷ ἀπέγραψε, πῶς ἀποδέξασθαί τι προσήκει τούτων λεγόντων; οὐδαμῶς δήπουθεν.

69 Τοσαύτης τοίνυν οὐσίας μοι καταλειφθείσης ὅσην ἐξ ἀρχῆς ἠκούσατε, καὶ τοῦ τρίτου μέρους πρόσοδον αὐτῆς φερούσης πεντήκοντα μνᾶς, [p]ἐξὸν τούτοις [q]ἀπληστοτάτοις οὖσι χρημάτων, καὶ εἰ μὴ μισθοῦν τὸν οἶκον ἠβούλοντο, ἀπὸ μὲν τούτων τῶν προσιόντων, ἐῶντας ὥσπερ εἶχε κατὰ χώραν, ἡμᾶς τε τρέφειν καὶ τὰ πρὸς τὴν πόλιν διοικεῖν, καὶ ὅσα ἐξ αὐτῶν [r]περιεγίγνετο, ταῦτα [s]προσπεριποιεῖν,
70 τὴν [t]δ' ἄλλην οὐσίαν ἐνεργὸν ποιήσασιν, οὖσαν ταύτης [u]διπλασίαν, [x]αὐτοῖς τε, εἰ χρημάτων ἐπεθύμουν, μέτρια ἐξ αὐτῶν λαβεῖν ἐμοί τε σὺν τοῖς ἀρχαίοις [y]τὸν οἶκον ἐκ

[f] πλέον A.r. hic et paullo post. Scribebatur utrobique πλεῖον. [g] εἶδον] ἴδον A.S. [h] ἐν δέκα] ἕνδεκα pr. A. [i] πλέον] ει superscr. in S. [k] προσῆκον] προσῆκε F. [l] διὰ] δὲ διὰ F. [m] φησι βέλτιον] βελτιόν φησιν A.r. [n] ἐμοὶ S. Scribebatur μοι. [o] πάντα ἀποδεδομένα] ἀποδεδομένα πάντα A.r. [p] ἐξὸν] ἐξῆν A. [q] ἀπληστοτάτοις οὖσι Reiskius. τοῖς ἀπληστοτάτοις οὖσι S. τοῖς ἀπληστοτάτοις B.F.r. οὖσιν in marg. habet B. [r] περιεγίγνετο] περιεγένετο A.r. [s] προσπεριποιεῖν] προσποιεῖν F. [t] δ' inter versus a pr. m. habet S. [u] διπλασίαν] διπλασίονα r. [x] αὐτοῖς] αὐτούς F. [y] τὸν οἶκον ἐκ τῶν προσόδων S. Legebatur ἐκ τῶν προσόδων τὸν οἶκον.

τῶν προσόδων [z] μείζω ποιῆσαι, τούτων μὲν οὐδὲν ἐποίη-
σαν, ἀποδόμενοι δ' ἀλλήλοις τὰ πλείστου ἄξια τῶν ἀν-
δραπόδων, τὰ δὲ [a] παντάπασιν ἀφανίσαντες, ἐμοῦ μὲν 833
ἀνεῖλον καὶ τὴν ὑπάρχουσαν πρόσοδον, σφίσι δ' αὐτοῖς
71 οὐ μικρὰν ἐκ τῶν ἐμῶν κατεσκευάσαντο. λαβόντες δὲ
καὶ τἄλλα αἰσχρῶς [b] οὑτωσὶ πάντα, πλέον ἢ τὰ [c] ἡμίση
τῶν χρημάτων μηδὲ καταλειφθῆναι κοινῇ πάντες ἀμ-
φισβητοῦσιν, ὡς πεντεταλάντου δὲ μόνου τῆς οὐσίας οὔσης
ἐκ τοσαύτης τοὺς λόγους ἀπενηνόχασιν, [d] οὐ πρόσοδον μὲν
ἐξ αὐτῶν οὐκ ἀποφαίνοντες, τὰ δὲ κεφάλαια φανερὰ
ἀποδεικνύντες, ἀλλ' [e] αὐτὰ τὰ ἀρχαῖα οὕτως ἀναιδῶς
ἀνηλῶσθαι φάσκοντες. καὶ οὐδ' αἰσχύνονται ταῦτα τολ-
72 μῶντες. καίτοι τί ποτ' ἂν ἔπαθον ὑπ' αὐτῶν, εἰ πλείω
χρόνον ἐπετροπεύθην; [f] οὐκ ἂν ἔχοιεν εἰπεῖν. ὅπου γὰρ
δέκα ἐτῶν διαγενομένων παρὰ μὲν τῶν οὕτω μικρὰ [g] κε-
κόμισμαι, τῷ δὲ καὶ προσοφείλων ἐγγέγραμμαι, πῶς
73 οὐκ ἄξιον [h] διαγανακτεῖν; δῆλον δὲ παντάπασιν· [i] εἰ
κατελείφθην μὲν ἐνιαύσιος, ἓξ ἔτη δὲ προσεπετροπεύθην
ὑπ' αὐτῶν, οὐδ' ἂν τὰ μικρὰ ταῦτα παρ' αὐτῶν ἀπέλα-
βον. εἰ γὰρ ἐκεῖνα ἀνήλωται ὀρθῶς, οὐδὲν ἂν τῶν νῦν
παραδοθέντων ἐξήρκεσεν εἰς ἕκτον ἔτος, ἀλλ' ἢ παρ' αὐτῶν
74 ἄν με ἔτρεφον ἢ τῷ λιμῷ [k] περιεῖδον [l] ἀπολόμενον. καίτοι
πῶς οὐ δεινόν, εἰ ἕτεροι μὲν οἶκοι ταλαντιαῖοι καὶ διτά-
λαντοι καταλειφθέντες ἐκ τοῦ μισθωθῆναι διπλάσιοι καὶ
τριπλάσιοι γεγόνασιν, ὥστε [m] ἀξιοῦσθαι λειτουργεῖν, ὁ δ'
ἐμὸς τριηραρχεῖν [n] εἰθισμένος καὶ μεγάλας εἰσφορὰς εἰσ-

[z] μείζω] μείζονα A.r. [a] παντάπασιν] καὶ παντάπασιν A.r. [b] οὑτωσὶ S. Scribebatur οὕτως. [c] ἡμίση S. Legebatur ἡμίσεα. Formam Atticistis improbatam pariter servavit S. p. 956, 3. 1325, 28. [d] οὐ additum ex S. [e] αὐτὰ] ταῦτα S. [f] οὐκ ἂν ἔχοιεν] οὐκ ἂν ἔχοιμ' ἂν A.r. (Falsum est quod prius ἂν ab A. abesse dixit Reiskius.) οὐκ ἔχοιμ' αν margo ed. Paris. a. 1570. [g] κεκόμισμαι] κεκομίσθαι S. [h] διαγανακτεῖν S. Legebatur ἀγανακτεῖν. [i] εἰ] εἰ γὰρ A.r. [k] περιεῖδον] παρεῖδον r. παρίδον A. [l] ἀπολόμενον] ἀπολλύμενον A.r. [m] ἀξιοῦσθαι] ἀξιοῦσι r. [n] εἰθισμένος] ἠθισμένος S.

φέρειν μηδὲ μικρὰς δυνήσεται διὰ τὰς τούτων ἀναισχυν-
75 τίας; τίνας δ' οὗτοι λελοίπασιν ὑπερβολὰς εἰπεῖν; οἳ
καὶ τὴν διαθήκην ἠφανίκασιν ὡς λήσοντες, καὶ τὰς μὲν 834
σφετέρας αὐτῶν οὐσίας ἐκ τῶν ἐπικαρπιῶν διῳκήκασι,
καὶ τἀρχαῖα τῶν ὑπαρχόντων ἐκ τῶν ἐμῶν πολλῷ μείζω
πεποιήκασι, τῆς δ' ἐμῆς οὐσίας, ὥσπερ τὰ μέγιστα ὑφ'
76 ἡμῶν ἀδικηθέντες, ὅλον τὸ κεφάλαιον ἀνῃρήκασιν; καὶ
ὑμεῖς μὲν οὐδὲ τῶν εἰς ὑμᾶς ἁμαρτανόντων ὅταν τινὸς
καταψηφίσησθε, οὐ πάντα τὰ ὄντα [o] ἀφείλεσθε, ἀλλ' ἢ
[p] γυναῖκας ἢ παιδί' αὐτῶν ἐλεήσαντες μέρος τι κἀκείνοις
[q] ὑπελίπετε· οὗτοι δὲ [r] τοσοῦτον διαφέρουσιν ὑμῶν, ὥστε
καὶ δωρεὰς παρ' ἡμῶν προσλαβόντες, ἵνα δικαίως ἐπι-
77 τροπεύσωσι, τοιαῦτ' εἰς ἡμᾶς ὑβρίκασι. καὶ οὐδ' ᾐσχύν-
θησαν εἰ μὴ [s] ἠλέησαν τὴν ἐμὴν ἀδελφήν, εἰ δυοῖν ταλάν-
τοιν ὑπὸ τοῦ πατρὸς ἀξιωθεῖσα μηδενὸς τεύξεται τῶν
προσηκόντων, ἀλλ' ὥσπερ ἔχθιστοί τινες, ἀλλ' οὐ φίλοι
καὶ συγγενεῖς καταλειφθέντες [t] οὐδὲν τῆς οἰκειότητος
78 ἐφρόντισαν. ἀλλ' ἐγὼ μὲν ὁ πάντων ταλαιπωρότατος
πρὸς ἀμφότερα ἀπορῶ, ταύτην θ' ὅπως ἐκδῶ καὶ [u] τἄλλ'
ὁπόθεν διοικῶ. προσεπίκειται δ' ἡ πόλις [x] ἀξιοῦσα εἰσ-
φέρειν, δικαίως· οὐσίαν γὰρ ἱκανὴν πρὸς ταῦτα κατέλιπέ
μοι ὁ πατήρ. τὰ δὲ χρήματα [y] τὰ καταλειφθέντα οὗτοι
79 πάντ' εἰλήφασι. καὶ νῦν κομίσασθαι τἀμαυτοῦ ζητῶν εἰς
κίνδυνον καθέστηκα τὸν μέγιστον. [z] ἂν γὰρ ἀποφύγῃ με
οὗτος, ὃ μὴ γένοιτο, τὴν ἐπωβελίαν ὀφλήσω μνᾶς ἑκατόν.
καὶ τούτῳ μέν, ἐὰν καταψηφίσησθε, τιμητόν, [a] κοὐκ ἐκ
τῶν ἑαυτοῦ χρημάτων, ἀλλ' ἐκ τῶν ἐμῶν [b] ποιήσεται τὴν
ἔκτισιν· ἐμοὶ δ' ἀτίμητον τοῦτ' ἔστιν, ὥστ' οὐ μόνον ἔσο-

[o] ἀφείλεσθε] ἀφείλασθε A.r. [p] γυναῖκας] γυναῖκα A.r. [q] ὑπελίπετε Schæferus. Legebatur ὑπελείπετε. ὑπολείπετε A.r. [r] τοσοῦτον] $\text{τοσοῦτο}^{\text{ον}}$ F. [s] ἠλέησαν] ᾔδεισαν οὐδὲ ἠλέησαν F.S. ἔδεισαν οὐδ' ἠλέησαν A.r. [t] οὐδὲν] οὐδὲ S. [u] τἄλλ'] τὰ ἄλλα S. [x] ἀξιοῦσα] ἀξιοῦσά τ' A.r. [y] τὰ om. A.r. [z] ἂν S. ἐὰν vulgo. [a] κοὐκ S. οὐκ F. καὶ οὐκ A.r. [b] ποιήσεται] ποιήσετε F.

μαι τῶν πατρῴων [c] ἀπεστερημένος, ἀλλὰ καὶ [d] πρὸς ἠτι-
80 μωμένος, [e] ἂν μὴ [f] νῦν [g] ὑμεῖς μ' ἐλεήσητε. δέομαι οὖν 835
ὑμῶν, ὦ ἄνδρες δικασταί, καὶ ἱκετεύω καὶ ἀντιβολῶ,
μνησθέντας [h] καὶ τῶν νόμων καὶ τῶν ὅρκων, οὓς ὀμόσαντες
δικάζετε, βοηθῆσαι ἡμῖν τὰ δίκαια, καὶ μὴ περὶ πλεί-
81 ονος τὰς τούτου δεήσεις ἢ τὰς ἡμετέρας ποιήσασθαι. δί-
καιοι δ' ἔστ' ἐλεεῖν οὐ τοὺς ἀδίκους τῶν ἀνθρώπων, ἀλλὰ
τοὺς παραλόγως δυστυχοῦντας, οὐδὲ τοὺς ὠμῶς οὕτως
τἀλλότρια ἀποστεροῦντας, ἀλλ' ἡμᾶς τοὺς πολὺν χρόνον
ὧν ὁ πατὴρ ἡμῖν κατέλιπε [i] στερομένους καὶ πρὸς ὑπὸ
τούτων ὑβριζομένους καὶ νῦν περὶ ἀτιμίας κινδυνεύοντας.
82 [k] μέγα δ' ἂν οἶμαι στενάξαι τὸν πατέρ' ἡμῶν, εἰ αἴσθοιτο
τῶν [l] προικῶν καὶ τῶν δωρεῶν ὧν αὐτὸς τούτοις ἔδωκεν,
ὑπὲρ τούτων τῆς ἐπωβελίας τὸν [m] αὑτοῦ υἱὸν ἐμὲ κινδυνεύ-
οντα, καὶ ἄλλους μέν τινας ἤδη τῶν πολιτῶν οὐ μόνον
[n] συγγενῶν, ἀλλὰ καὶ φίλων ἀνδρῶν [o] ἀπορούντων θυγα-
τέρας παρὰ σφῶν αὐτῶν ἐκδόντας, Ἄφοβον δὲ μηδ' ἣν
ἔλαβε προῖκ' ἐθέλοντα ἀποδοῦναι, καὶ ταῦτ' ἔτει δεκάτῳ[p].

ΚΗ.

ΚΑΤΑ [q] ΑΦΟΒΟΥ Β.

ΠΟΛΛΑ καὶ μεγάλ' [r] ἐψευσμένου πρὸς ὑμᾶς Ἀφόβου
τοῦτ' αὐτὸν [s] ἐλέγξαι πειράσομαι πρῶτον, ἐφ' ᾧ μάλιστα

[c] ἀπεστερημένος S. ἐστερημένος vulgo. [d] πρὸς ἠτιμωμένος] Scribebatur προσητιμωμένος. [e] ἂν S. ἐὰν vulgo. [f] νῦν om. A.r. [g] ὑμεῖς μ'] ἡμᾶς ὑμεῖς S. [h] καὶ τῶν νόμων A.r. [i] στερομένους] στερουμένους A.r. [k] μέγα] μεγάλα A.r. [l] προικῶν καὶ τῶν δωρεῶν] δωρεῶν καὶ τῶν προικῶν A.r. [m] αὑτοῦ] αὐτὸν F. [n] συγγενῶν] συγγενεῖς pr. S. [o] ἀπορούντων] ἀποστερούντων r. [p] In B.S. subscriptum κατὰ ἀφόβου ἐπιτροπῆς α. |Η|ΗΠΔΔΔ. Literam tertiam manifestum est ex |Δ| vel Η corruptam esse monuitque Sauppius. Præterea in S. additum Δῶ. [q] ΑΦΟΒΟΥ] του αυτοῦ S. [r] ἐψευσμένου] ψευσαμένου F. [s] ἐλέγξαι] ἐξελέγξαι A.F.r.

ἠγανάκτησα τῶν ῥηθέντων. εἶπε γὰρ ὡς ὁ πάππος ὤφει-
λε τῷ δημοσίῳ, καὶ διὰ ταῦθ' ὁ πατὴρ οὐκ ἐβούλετο 836
2 μισθωθῆναι τὸν οἶκον, ἵνα μὴ [t] κινδυνεύσῃ. καὶ τὴν μὲν
πρόφασιν ποιεῖται ταύτην. ὡς δ' ὀφείλων ἐτελεύτησεν
ἐκεῖνος, οὐδεμίαν παρέσχετο μαρτυρίαν· ἀλλ' ὡς μὲν
[u] ὦφλεν, ἐνεβάλετο τηρήσας τὴν τελευταίαν ἡμέραν, ταύ-
την δ' εἰς τὸν ὕστερον λόγον [x] ὑπελίπετο ὡς [y] διαβαλεῖν
τὸ πρᾶγμα ἐξ αὐτῆς δυνησόμενος. ἐὰν οὖν ἀναγνῷ, προσ-
έχετ' αὐτῇ τὸν νοῦν· εὑρήσετε γὰρ οὐχ ὡς ὀφείλει μεμαρ-
τυρημένην, ἀλλ' ὡς ὦφλεν. τοῦτ' οὖν [z] ἐλέγξαι πειράσο-
μαι πρῶτον, ἐφ' ᾧ φρονεῖ μάλιστα· ὃ καὶ ἡμεῖς ἀμ-
3 φισβητοῦμεν. εἰ μὲν οὖν τότ' ἐξεγένετο καὶ μὴ τῷ χρόνῳ
τοῦτ' ἐνηδρεύθημεν, παρεσχόμεθ' ἂν μάρτυρας ὡς ἐξετίσθη
τὰ χρήματα καὶ πάντ' αὐτῷ [a] διελέλυτο τὰ πρὸς τὴν
πόλιν. νῦν δὲ τεκμηρίοις μεγάλοις [b] ἐπιδείξομεν ὡς οὔτ'
ὤφειλεν οὔτ' ἦν κίνδυνος [c] οὐδεὶς ἡμῖν φανερὰ κεκτημένοις
4 τὰ ὄντα. πρῶτον μὲν γὰρ Δημοχάρης, ἔχων ἀδελφὴν τῆς
ἐμῆς μητρός, θυγατέρα δὲ Γύλωνος, οὐκ ἀποκέκρυπται
τὴν οὐσίαν, ἀλλὰ χορηγεῖ καὶ τριηραρχεῖ καὶ τὰς ἄλλας
λειτουργίας λειτουργεῖ καὶ οὐδὲν τῶν τοιούτων δέδοικεν.
ἔπειτ' αὐτὸς ὁ πατὴρ τήν τ' ἄλλην οὐσίαν καὶ τέτταρα
τάλαντα καὶ τρισχιλίας φανερὰς ἐποίησεν, ἃς οὗτοι
γραφῆναί [d] τε ἐν ταῖς διαθήκαις καὶ λαβεῖν σφᾶς αὐτοὺς
5 κατ' ἀλλήλων καταμαρτυροῦσιν. ἔτι δὲ καὶ αὐτὸς Ἄφο-
βος μετὰ τῶν [e] συνεπιτρόπων τῇ πόλει τὸ πλῆθος τῶν
καταλειφθέντων χρημάτων ἐμφανὲς ἐποίησεν, ἡγεμόνα
με τῆς συμμορίας καταστήσας [f] οὐκ ἐπὶ μικροῖς τιμή-
μασιν, ἀλλ' ἐπὶ τηλικούτοις ὥστε κατὰ τὰς πέντε καὶ 837

[t] κινδυνεύσῃ] κινδυνεύσῃ πρὸς τὸ δημόσιον margo S. [u] ὦφλεν] ὤφειλεν A.r. [x] ὑπελίπετο S. ὑπελείπετο vulgo. [y] διαβαλεῖν] διαβάλλειν A.r. [z] ἐλέγξαι S. ἐξελέγξαι vulgo. [a] διελέλυτο] διαλέλυτο A.r. [b] ἐπιδείξομεν] ἐπιδείξωμεν pr. S. [c] οὐδεὶς ἡμῖν A.S.r. ἡμῖν οὐδεὶς vulgo. [d] τε om. F. [e] συνεπιτρόπων] ἐπιτρόπων pr. F. [f] οὐκ] μ̈ε οὐκ S. Puncta sunt a m. rec.

εἴκοσι μνᾶς πεντακοσίας εἰσφέρειν. καίτοι [g]εἴ τι τούτων [h]ἦν ἀληθές, οὐδὲν ἂν αὐτῶν ἐποίησεν, ἀλλὰ [i]πάντ' ἂν εὐλαβήθη. νῦν δὲ καὶ Δημοχάρης καὶ ὁ πατὴρ καὶ αὐτοὶ οὗτοι φαίνονται φανερὰ ποιοῦντες, καὶ οὐδένα τοιοῦτον κίνδυνον δεδιότες.

6 Πάντων δ' ἀτοπώτατόν ἐστι, λέγοντας ὡς ὁ πατὴρ οὐκ εἴα μισθοῦν τὸν οἶκον τὴν μὲν διαθήκην μηδαμοῦ ταύτην ἀποφαίνειν, ἐξ ἧς ἦν εἰδέναι τἀκριβές, τηλικαύτην δ' [k]ἀνελόντας μαρτυρίαν οὕτως οἴεσθαι [l]δεῖν [m]εἰκῇ πιστεύεσθαι παρ' ὑμῖν. ἀλλ' ἐχρῆν, ἐπειδὴ τάχιστ' ἐτελεύτησεν ὁ πατήρ, εἰσκαλέσαντας μάρτυρας πολλοὺς παρασημήνασθαι κελεῦσαι τὰς διαθήκας, ἵν' εἴ τι [n]ἐγίγνετο ἀμφισβητήσιμον, ἦν εἰς τὰ γράμματα ταῦτ' ἐπανελθεῖν καὶ
7 τὴν ἀλήθειαν πάντων εὑρεῖν. νῦν δ' ἕτερα μὲν παρασημήνασθαι ἠξίωσαν, ἐν οἷς πολλὰ τῶν [o]καταλειπομένων οὐκ ἐγέγραπτο, ὑπομνήματα δ' ἦν· αὐτὴν δὲ τὴν διαθήκην, δι' ἧς τούτων [p]ὧν ἐσημήναντο γραμμάτων καὶ τῶν ἄλλων [q]ἁπάντων [r]χρημάτων ἐγίγνοντο κύριοι, καὶ τοῦ μὴ μισθοῦν τὸν οἶκον τῆς αἰτίας [s]ἀπελέλυντο, ταύτην δ' οὐκ ἐσημήναντο, οὐδ' αὐτὴν ἀπέδοσαν. ἄξιόν γε πιστεύειν αὐτοῖς, ὅ τι ἂν περὶ τούτων λέγωσιν.

8 Ἀλλ' [t]ἐγὼ οὐκ οἶδ' ὅ τι τοῦτ' ἔστιν. οὐκ εἴα μισθοῦν τὸν οἶκον οὐδ' ἐμφανῆ τὰ χρήματα ποιεῖν ὁ πατήρ. πότερον [u]ἐμοὶ ἢ τῇ πόλει; [x]φαίνεσθε γὰρ τοὐναντίον ἐκείνῃ μὲν φανερὰ ποιήσαντες, ἐμοὶ δὲ παντάπασιν ἀφανῆ πεποιηκότες, καὶ οὐδὲ ταῦτα ἀποφαίνοντες ἐξ ὧν τιμησά-
9 μενοι τὰς εἰσφορὰς εἰσεφέρετε. δείξατε γὰρ ταύτην τὴν 838

g εἴ τι τούτων] τούτων εἴ τι F. h ἦν om. A.r. i πάντ' ἂν] πάντα ταῦτα F. k ἀνελόντας] ἀνελόντες S.: alterum in γρ. l δεῖν om. F. m εἰκῇ supra versum habet A. n ἐγίγνετο] ἐγίνετο S. ἐγένετο A.F.r. o καταλειπομένων] καταλιπομένων S. p ὧν ἐσημήναντο] ἐνεσημήνατο F. q ἁπάντων] πάντων A.r. r χρημάτων] χρημάτων ὧν F.S. s ἀπελέλυντο] ἀπολέλυντο F. t ἐγὼ S. ἔγωγε vulgo. u ἐμοὶ S. Legebatur ἐμοὶ ταῦτα. ταῦτα post πόλει ponit r. x φαίνεσθε S. φαίνεσθε μὲν vulgo.

οὐσίαν, τίς ἦν καὶ ποῦ παρέδοτέ μοι καὶ τίνος ἐναντίον. τὰ μὲν γὰρ δύο τάλαντα καὶ τὰς ὀγδοήκοντα μνᾶς ἀπὸ τῶν τεττάρων ταλάντων καὶ τρισχιλίων ἐλάβετε, ὥστ' οὐδὲ [y] ταύτας ὑπὲρ ἐμοῦ εἰς τὸ δημόσιον ἐτιμήσασθε· ὑμέτεραι γὰρ ἦσαν ἐν ἐκείνοις τοῖς χρόνοις. ἀλλὰ μὴν [z] ἔκ γε τῆς οἰκίας καὶ τῶν τεττάρων καὶ δέκα ἀνδραπόδων καὶ τῶν τριάκοντα μνῶν, ἅ μοι παρεδώκατε, τὴν εἰσφορὰν οὐχ οἷόν τε γενέσθαι τοσαύτην, ὅσην ὑμεῖς συνετάξασθε πρὸς τὴν συμμορίαν. ἀλλ' ἀνάγκη μεγάλη τὰ καταλειφθέντα, πολλῷ πλείον' ὄντα τούτων, [a] πάνθ' ὑμᾶς ἔχειν ἐστὶν, ἃ φανερῶς ὅτι διηρπάκατε ἐξελεγχόμενοι τοιαῦτα πλάττεσθαι τολμᾶτε. καὶ [b] τοτὲ μὲν εἰς ἀλλήλους ἀναφέρετε, πάλιν δ' εἰληφέναι [c] κατ' ἀλλήλων μαρτυρεῖτε. φάσκοντες δ' οὐ πολλὰ λαβεῖν μεγάλων ἀνα-
11 λωμάτων λόγους ἀπενηνόχατε. πάντες δὲ κοινῇ με ἐπιτροπεύσαντες ἰδίᾳ μετὰ ταῦτα ἕκαστοι μηχανᾶσθε. καὶ τὴν [d] μὲν διαθήκην ἠφανίκατε, ἐξ ἧς ἦν εἰδέναι περὶ πάντων τὴν ἀλήθειαν, φαίνεσθε δ' οὐδέποτε [e] ταὐτὰ περὶ ἀλλήλων λέγοντες.

Λαβὲ δὴ τὰς μαρτυρίας, καὶ ἀνάγνωθι αὐτοῖς [f] πάσας ἐφεξῆς, ἵνα μνησθέντες καὶ τῶν [g] μεμαρτυρημένων ἀκριβέστερον [h] διαγνῶσι περὶ αὐτῶν.

12 ΜΑΡΤΥΡΙΑΙ.

Ταῦθ' οὗτοι πρὸς [i] πεντεκαιδεκαταλάντους οἴκους συνετιμήσαντο ὑπὲρ ἐμοῦ· μνῶν δ' οὐδ' ἑβδομήκοντα ἀξίαν μοι παραδεδώκασι τὴν οὐσίαν τρεῖς ὄντες. λέγε τὰς ἐφεξῆς.

[y] ταύτας] ταῦθ' A.r. [z] ἔκ γε] ἔκ τε A.S.r. [a] πάνθ' S. πάντα vulgo. πάντας A. [b] τοτὲ] ποτὲ A.r. [c] κατ' ἀλλήλων om. S. (in quo nova pagina a verbo μαρτυρεῖτε incipit.) Conf. p. 839, 27. [d] μὲν om. r. [e] ταὐτὰ om. A.r. [f] πάσας] ἃς S. [g] μεμαρτυρημένων] καὶ τῶν εἰρημένων addit S. [h] διαγνῶσι A. γινώσκωσι F. διαγινώσκουσι S, υ super ο posito. [i] πεντεκαιδεκαταλάντους] πέντε καὶ δέκα τάλαντα τοὺς S. πεντεκαίδεκα τάλαντα τοὺς B. et correctus F.

[k]ΜΑΡΤΥΡΙΑΙ. 839

Ταύτην τὴν προῖκα, [l]ἣν οἵ τε [m]ἐπίτροποι καταμαρτυροῦσιν αὐτὸν λαβεῖν, ἄλλοι τε πρὸς οὓς ἔχειν ὡμολόγησε, [n]ταύτην οὔτε αὐτὴν οὔτε τὸν σῖτον ἀποδέδωκεν. λαβὲ [o]τὰς ἄλλας καὶ ἀναγίγνωσκε.

13 ΜΑΡΤΥΡΙΑΙ.

Δύο ἔτη τὸ ἐργαστήριον διοικήσας Θηριππίδῃ μὲν ἀποδέδωκε τὴν μίσθωσιν· ἐμοὶ δὲ, δυοῖν ἐτοῖν λαβὼν τὴν πρόσοδον, τριάκοντα μνᾶς, οὔτε αὐτὰς οὔτε τὸ ἔργον ἀποδέδωκεν. λαβ' ἑτέραν καὶ ἀνάγνωθι.

ΜΑΡΤΥΡΙΑ.

14 Ταῦτα τἀνδράποδα ὡς [p]αὐτὸν λαβὼν [q]οὗτος, καὶ τἄλλα τὰ μετὰ τούτων ὑποτεθέντα ἡμῖν, ἀνάλωμα μὲν εἰς αὐτὰ [r]τοσοῦτο λελόγισται, λῆμμα δ' ἀπ' αὐτῶν οὐδ' ὁτιοῦν, καὶ αὐτοὺς δὲ τοὺς ἀνθρώπους ἠφάνικεν, οἳ δώδεκα μνᾶς ἀτελεῖς ἑκάστου τοῦ ἐνιαυτοῦ προσέφερον. [s]λέγ' ἑτέραν.

ΜΑΡΤΥΡΙΑ.

15 Τοῦτον τὸν ἐλέφαντα καὶ τὸν σίδηρον πεπρακὼς οὐδὲ καταλειφθῆναί φησιν, ἀλλὰ καὶ τούτων τὴν τιμὴν ἀποστερεῖ με, μάλιστα τάλαντον. λέγε ταυτασί.

ΜΑΡΤΥΡΙΑΙ.

Ταῦθ' οὗτος τρία τάλαντα καὶ χιλίας ἔχει χωρὶς τῶν ἄλλων, τοῦ μὲν ἀρχαίου [t]πέντε τάλαντα, ἃ εἴληφε· σὺν δὲ τοῖς ἔργοις, [u]ἂν ἐπὶ [x]δραχμῇ τις τιθῇ μόνον, πλέον ἢ δέκα τάλαντα ἔχει. λέγε τὰς ἐφεξῆς.

16 ΜΑΡΤΥΡΙΑΙ.

Ταῦθ' οὗτοι γραφῆναι μὲν ἐν ταῖς διαθήκαις καὶ λα-

[k] ΜΑΡΤΥΡΙΑΙ] ΜΑΡΤΥΡΙΑ S. [l] ἣν om. A.S.r. [m] ἐπίτροποι] συνεπίτροποι A.r. [n] ταύτην] ταύτην καὶ A.r. [o] τὰς additum ex S. [p] αὐτὸν] αὐτὸς F. [q] οὗτος] οὕτως S. [r] τοσοῦτο] τοσοῦτ^(ον) B.F. τοσοῦτο^(ν) S., ν a m. antiqua. [s] λέγ'] λαβὲ A.r. [t] πέντε] τρία S. [u] ἂν S. ἐὰν vulgo. [x] δραχμῇ] δραχμὴν S.

βεῖν σφᾶς αὐτοὺς κατ' ἀλλήλων μαρτυροῦσιν. οὗτος δὲ
καὶ μεταπεμφθῆναι φάσκων ὑπὸ τοῦ πατρὸς, καὶ ἐλθὼν
εἰς τὴν οἰκίαν εἰσελθεῖν μὲν οὔ φησιν ὡς τὸν μεταπεμψά- 840
μενον, οὐδ' ὁμολογῆσαι περὶ τούτων [y] οὐδὲν, Δημοφῶντος
δ' ἀκοῦσαι γραμματεῖον ἀναγιγνώσκοντος καὶ Θηριππί-
δου λέγοντος ὡς ἐκεῖνος ταῦτα διέθετο, καὶ [z] προεισελη-
λυθὼς καὶ ἅπαντα διωμολογημένος πρὸς τὸν πατέρα,
17 [a] ὅσαπερ ἐκεῖνος γράψας κατέλιπεν. ὁ γὰρ πατὴρ, ὦ
ἄνδρες δικασταὶ, ὡς ᾔσθετο τὴν νόσον οὐκ [b] ἀποφευξό-
μενος, συγκαλέσας τούτους [c] τρεῖς ὄντας, καὶ συμπαρα-
καθισάμενος Δήμωνα τὸν ἀδελφὸν, τὰ σώματα ἡμῶν εἰς
τὰς χεῖρας ἐνέθηκε παρακαταθήκην ἐπονομάζων, τὴν μὲν
ἀδελφὴν Δημοφῶντι καὶ δύο τάλαντα προῖκα διδοὺς εὐ-
18 θὺς, καὶ γυναῖκ' αὐτῷ ταύτην ἐγγυῶν, ἐμὲ δὲ πᾶσι κοινῇ
μετὰ τῶν χρημάτων παρακατατιθέμενος, καὶ ἐπισκή-
πτων μισθῶσαί τε τὸν οἶκον καὶ [d] συνδιασῶσαί μοι τὴν
οὐσίαν, διδοὺς ἅμα [e] τε Θηριππίδῃ τὰς [f] ἑβδομήκοντα
μνᾶς, καὶ τούτῳ τήν τ' ἐμὴν μητέρα ἐγγυῶν ἐπὶ ταῖς
ὀγδοήκοντα μναῖς, [g] κἀμὲ εἰς τὰ τούτου γόνατα [h] τι-
19 θείς· [i] ὧν οὗτος [k] ὁ πάντων ἀνθρώπων ἀνοσιώτατος [l] οὐ-
δένα λόγον ἐποιήσατο, κύριος τῶν ἐμῶν γενόμενος ἐπὶ
τούτοις, ἀλλὰ τὰ χρήματά [m] με [n] πάντα ἀπεστερηκὼς
μετὰ τῶν συνεπιτρόπων [o] ἐλεεῖσθαι νῦν ὑφ' ὑμῶν ἀξιώσει,
μνῶν οὐδ' ἑβδομήκοντα ἄξια τρίτος αὐτὸς ἀποδεδωκὼς,
20 εἶτα καὶ τούτοις [p] αὐτοῖς πάλιν ἐπιβεβουλευκώς. ὡς γὰρ

[y] οὐδὲν S. οὐδενὸς vulgo. [z] προεισεληλυθὼς] προσεισεληλυθὼς A.r. et S. in quo σ puncto notatum. [a] ὅσαπερ] ἅπερ A.r. [b] ἀποφευξόμενος] ἀναφευξόμενος S. ἀποφευξούμενος A.r. [c] τρεῖς] τοὺς τρεῖς r. [d] συνδιασῶσαί] διασῶσαι A. superscripto συν. [e] τε θηριππίδηι S. Legebatur Θηριππίδῃ τε. [f] ἑβδομήκοντα] ὀγδοήκοντα F.S. [g] κἀμὲ] καὶ ἐμὲ S. [h] τιθεὶς S. Legebatur ἐντιθείς. [i] ὧν] οὐδὲν addidit manus antiquissima in S. [k] ὁ inter versus habet S. a pr. ut videtur, manu. [l] οὐδένα λόγον ἐποιήσατο S. οὐδενὸς λόγον δέδωκε (ἔδωκεν A.) vulgo. [m] με] μὲν pr. S. om. F. [n] πάντα] ἅπαντα A r. [o] ἐλεεῖσθαι] ελεσθαι (sine accentu) A., in quo pagina literis ελε finitur, proxima a σθαι incipit. [p] αὐτοῖς Reiskius. αὐτὸς A.F.S. αὐτοὺς r.

τὰς δίκας ταύτας ἔμελλον εἰσιέναι [q]κατ' αὐτῶν, ἀντίδο-
σιν ἐπ' ἐμὲ [r]παρεσκεύασαν, ἵν' εἰ μὲν [s]ἀντιδοίην, μὴ [t]ἐξείη
μοι πρὸς αὐτοὺς [u]ἀντιδικεῖν ὡς καὶ τῶν δικῶν τούτων τοῦ
[x]ἀντιδόντος γιγνομένων, εἰ δὲ μηδὲν τούτων ποιοίην, ἵν' ἐκ 841
βραχείας οὐσίας λειτουργῶν παντάπασιν ἀναιρεθείην. καὶ
21 τοῦτ' αὐτοῖς ὑπηρέτησε Θρασύλοχος ὁ Ἀναγυράσιος· [y]ᾧ
τούτων οὐδὲν ἐνθυμηθεὶς ἀντέδωκα μέν, [z]ἀπέκλεισα δὲ ὡς
διαδικασίας τευξόμενος· οὐ τυχὼν δὲ ταύτης, τῶν χρόνων
ὑπογύων ὄντων, ἵνα μὴ στερηθῶ τῶν δικῶν, ἀπέτισα τὴν
λειτουργίαν ὑποθεὶς τὴν οἰκίαν καὶ τἀμαυτοῦ πάντα, βου-
λόμενος εἰς ὑμᾶς [a]εἰσελθεῖν τὰς πρὸς τουτουσὶ δίκας.
22 Ἆρ' [b]οὐ μεγάλα μὲν ἐξ ἀρχῆς ἠδίκημαι, μεγάλα [c]δ',
ὅτι [d]δίκην [e]ζητῶ λαβεῖν, νῦν ὑπ' αὐτῶν βλάπτομαι; τίς
δ' οὐκ ἂν ὑμῶν τούτῳ μὲν φθονήσειε δικαίως, ἡμᾶς δ'
ἐλεήσειεν, ὁρῶν τῷ μὲν πρὸς [f]τῇ οὐσίᾳ τῇ παραδοθείσῃ
[g]πλεῖν ἢ δέκα ταλάντων τὴν [h]ἐμὴν τοσαύτην οὖσαν προσ-
γεγενημένην, ἡμᾶς δὲ [i]μὴ μόνον τῶν πατρῴων διημαρτη-
κότας, ἀλλὰ καὶ τῶν νῦν παραδοθέντων διὰ τὴν τούτων
πονηρίαν ἀπεστερημένους; ποῖ δ' ἂν τραποίμεθα, εἴ τι
[k]ἄλλο [l]ψηφίσαισθ' ὑμεῖς περὶ αὐτῶν; εἰς τὰ ὑποκεί-
μενα τοῖς δανείσασιν; ἀλλὰ τῶν ὑποθεμένων ἐστίν. ἀλλ'
εἰς τὰ περιόντ' αὐτῶν; ἀλλὰ τούτου γίγνεται, τὴν ἐπω-
23 βελίαν ἐὰν ὄφλωμεν. [m]μηδαμῶς, ὦ ἄνδρες δικασταί,
[n]γένησθε ἡμῖν [o]τοσούτων αἴτιοι κακῶν· μηδὲ τὴν μητέρα

[q] *κατ' αὐτῶν ἀντι* in rasura quattuor literarum habet S. [r] *παρεσκεύασαν*] *παρεσκεύασεν* A. [s] *ἀντιδοίην* Schæferus. Scribebatur *ἀντιδῴην*. *ἀντιδώην* B. [t] *ἐξείη*] *ἐξῆν* F. [u] *ἀντιδικεῖν*] *ἀδικεῖν* F. [x] *ἀντιδόντος*] *ἀντιδιδόντος* A.r. [y] *ᾧ* S. Legebatur *ἐγὼ δέ*. [z] *ἀπέκλεισα*] *ἀπέκλισα* A. [a] *εἰσελθεῖν*] *ἐλθεῖν* F. [b] *οὐ*] *οὖν* F. [c] *δ'* primo omissum inseruit librarius in S. [d] *δίκην ζητῶ*] *ζητῶν δίκην* A.r. [e] *ζητῶ*] *ζητῶν* correctus a m. antiqua S. [f] *τῇ οὐσίᾳ*] *τὴν οὐσίαν* pr. S. [g] *πλεῖν*] Scribebatur *πλεῖον*. Vid. ad p. 503, 18. [h] *ἐμὴν* om. r. [i] *μὴ μόνον* om. pr. S. errore quem librarius ipse correxit. Nam *μὴ μόνον* hoc loco non magis omitti poterat quam p. 842, 15. Similiter omittendo *οὐ μόνον* peccatum in S. p. 635, 20. [k] *ἄλλο*] *ἂν ἄλλο* A.r. [l] *ψηφίσαισθε*] *ψηφίσεσθε* F. *ψηφίσησθε* A.r. [m] *μηδαμῶς*] *μηδαμῶς μηδαμῶς* F. [n] *γένησθε*] *μὴ γένησθε* A.r. [o] *τοσούτων αἴτιοι*] *αἴτιοι τοσούτων* A.r.

κἀμὲ καὶ τὴν ἀδελφὴν ἀνάξια παθόντας [p]περιίδητε, οὓς ὁ
πατὴρ [q]οὐκ ἐπὶ ταύταις ταῖς ἐλπίσι κατέλιπεν, ἀλλὰ τὴν
μὲν ὡς Δημοφῶντι συνοικήσουσαν ἐπὶ δυοῖν ταλάντοιν
προικὶ, τὴν δ' ἐπὶ ὀγδοήκοντα μναῖς τούτῳ τῷ σχετλιω- 842
τάτῳ πάντων ἀνθρώπων, ἐμὲ δ' ὑμῖν διάδοχον ἀνθ' αὑτοῦ
24 τῶν λειτουργιῶν ἐσόμενον. βοηθήσατε οὖν ἡμῖν, βοηθήσατε,
καὶ τοῦ δικαίου καὶ ὑμῶν αὐτῶν ἕνεκα καὶ ἡμῶν καὶ τοῦ
πατρὸς τοῦ [r]τετελευτηκότος. [s]σώσατε, ἐλεήσατε, ἐπειδή
[t]με οὗτοι συγγενεῖς ὄντες οὐκ ἠλέησαν. εἰς ὑμᾶς καταπε-
φεύγαμεν. ἱκετεύω, ἀντιβολῶ πρὸς παίδων, πρὸς γυναι-
κῶν, πρὸς τῶν ὄντων [u]ἀγαθῶν ὑμῖν. οὕτως ὄναισθε τού-
των, μὴ περιίδητέ με, μηδὲ ποιήσητε τὴν μητέρα καὶ τῶν
ἐπιλοίπων ἐλπίδων εἰς τὸν βίον στερηθεῖσαν ἀνάξιον αὑτῆς
25 τι παθεῖν· ἣ νῦν [x]μὲν οἴεται [y]τυχόντα με τῶν δικαίων παρ'
ὑμῖν [z]ὑποδέξεσθαι καὶ τὴν ἀδελφὴν ἐκδώσειν· εἰ δ' ὑμεῖς
[a]ἄλλο τι γνώσεσθε, ὃ μὴ γένοιτο, τίνα οἴεσθε αὐτὴν ψυ-
χὴν [b]ἕξειν, ὅταν ἐμὲ μὲν ἴδῃ μὴ μόνον τῶν πατρῴων ἀπε-
στερημένον, ἀλλὰ καὶ [c]πρὸς ἠτιμωμένον, περὶ δὲ τῆς ἀδελ-
φῆς μηδ' ἐλπίδα ἔχουσαν ὡς τεύξεταί τινος τῶν προση-
26 κόντων διὰ τὴν ἐσομένην ἀπορίαν; οὐκ ἄξιος, ὦ ἄνδρες
δικασταὶ, οὔτ' ἐγὼ δίκης ἐν ὑμῖν μὴ τυχεῖν, οὔθ' οὗτος
τοσαῦτα χρήματ' ἀδίκως κατασχεῖν. ἐμοῦ μὲν γὰρ εἰ
καὶ μήπω πεῖραν εἰλήφατε, ποῖός τις ἂν εἰς ὑμᾶς εἴην,
ἐλπίζειν προσήκει μὴ χείρω τοῦ πατρὸς ἔσεσθαι. τούτου
δὲ πεῖραν ἔχετε, [d]καὶ σαφῶς ἴστε ὅτι πολλὴν οὐσίαν
παραλαβὼν οὐ μόνον οὐδὲν πεφιλοτίμηται πρὸς ὑμᾶς,
27 ἀλλὰ καὶ τἀλλότρια ἀποστερῶν [e]ἀποδέδεικται. ταῦτ' οὖν

[p] περιίδητε] περιείδητε A. hic et p. 842, 9. et εἴδῃ p. 842, 15. [q] οὐκ a m. antiqua insertum habet S. [r] τετελευτηκότος] τελευτήσαντος r. [s] σώσατε, ἐλεήσατε] σώσατέ με, ἐλεήσατέ με F. [t] με addidi ex A.S.r. [u] ἀγαθῶν ὑμῖν A.F.S.r. ὑμῖν ἀγαθῶν vulgo. [x] μὲν om. F. [y] τυχόντα a m. antiqua supra versum habet S. [z] ὑποδέξεσθαι Schæferus. Legebatur ὑποδέξασθαι. [a] ἄλλο om. pr. S.: sed supplevit m. antiqua. [b] ἕξειν] εχειν pr. S. [c] πρὸς ἠτιμωμένον] Scribebatur προσητιμωμένον. [d] καὶ σαφῶς] ὥστε σαφῶς F. [e] ἀποδέδεικται S. Legebatur ἐπιδέδεικται.

σκοποῦντες καὶ τἄλλα μνησθέντες, ᾗ δίκαιόν ἐστι, ταύτῃ [f] διαψηφίσασθε. πίστεις δ' ἔχεθ' ἱκανὰς ἐκ μαρτύρων, 843
ἐκ τεκμηρίων, ἐκ τῶν εἰκότων, [g] ἐξ ὧν [h] οὗτοι λαβεῖν [i] ὁμολογοῦσιν [k] ἀθρόα τἀμά. [l] ταῦτα δ' ἀνηλωκέναι φασὶν οὐκ
28 ἀνηλωκότες, ἀλλ' αὐτοὶ πάντ' ἔχοντες. ὧν ἐνθυμουμένους χρὴ ποιήσασθαί τινα ἡμῶν πρόνοιαν, εἰδότας ὅτι ἐγὼ μὲν τἀμαυτοῦ δι' ὑμῶν κομισάμενος εἰκότως λειτουργεῖν ἐθελήσω, χάριτας [m] ὀφείλων ὅτι [n] μοι δικαίως ἀπέδοτε τὴν οὐσίαν, οὗτος δ', ἐὰν αὐτὸν ποιήσητε τῶν ἐμῶν κύριον, οὐδὲν ποιήσει τοιοῦτον. μὴ γὰρ οἴεσθε αὐτὸν, ὑπὲρ ὧν ἤρνηται [o] μὴ λαβεῖν, ὑπὲρ τούτων ὑμῖν λειτουργεῖν ἐθελήσειν, ἀλλ' [p] ἀποκρύψεσθαι μᾶλλον, ἵνα δικαίως ἀποπεφευγέναι δοκῇ [q].

ΚΘ.

[r] ΠΡΟΣ ΑΦΟΒΟΝ ΨΕΥΔΟΜΑΡΤΥΡΙΩΝ.

ΥΠΟΘΕΣΙΣ.

Κρινόμενος τῆς ἐπιτροπῆς Ἄφοβος ἐξήτει παρὰ Δημοσθένους Μιλύαν εἰς βάσανον, εἰδὼς οὐ δοθησόμενον. οὐ γὰρ ἐδίδου Δημοσθένης, φάσκων οὐκ οἰκέτην, ἀλλ' ἐλεύθερον εἶναι τὸν Μιλύαν, ἐλευθερωθέντα ὑπὸ τοῦ πατρὸς, ὅτε ἐτελεύτα, καὶ εἰς τούτου πίστιν ἄλλα τε παρεχόμενος καὶ δὴ καὶ μαρτυρίαν [s] Φάνου, ὡς ἐμαρτύρησε πρὸς τοὺς δικαστὰς, φάσκων ὡμολογηκέναι Ἄφοβον

[f] διαψηφίσασθε] ψηφίσησθε S. [g] ἐξ] τῶν ἐξ S., sed τῶν punctis notato. [h] οὗτοι] μὲν addidit manus antiqua in S. [i] ὁμολογοῦσιν] ὁμολογοῦντες S. [k] ἁθρόα A. ἀθρόα vulgo. [l] ταῦτα δ' ἀνηλωκέναι] ταῦτ' ἀνηλωκέναι S. [m] ὀφείλων] ὄφλων A.r. [n] μοι] μου A. [o] μὴ om. A.r. [p] ἀποκρύψεσθαι Reiskius. ἀποκρύψασθαι libri. [q] In S. subscriptum πρὸς ἄφοβον ὁ ὕστερος. ΗΗΔΔΔΔ. Δ (i. e. Διώρθωται.) In B. κατὰ ἀφόβου β, omisso numero versuum. [r] ΠΡΟΣ ΑΦΟΒΟΝ] Titulum om. S. ΥΠΕΡ ΦΑΝΟΥ A. Vulgata scriptura est in B. quem quod post ψευδομαρτυριῶν verba περὶ στεφάνου addere ait Reiskius, duobus modis erravit. Primum enim duo verba illa non in inscriptione orationis, sed in inscriptione ὑποθέσεως leguntur, deinde non περὶ, sed ὑπὲρ scriptum est. [s] Φάνου post lituram F. Στεφάνου vulgo.

ἐπὶ τοῦ διαιτητοῦ ἐλεύθερον εἶναι Μιλύαν. ἁλοὺς δὴ τῆς ἐπιτροπῆς Ἄφοβος ψευδομαρτυριῶν [c] Φάνῳ δικάζεται, ὑπὲρ οὗ τοῦτον τὸν λόγον ὁ Δημοσθένης λέγει, καὶ τἀληθῆ φάσκων αὐτὸν μεμαρτυρηκέναι, καὶ πρὸς τούτῳ δεικνὺς ὡς 844
οὐδὲν ἐκ ταύτης τῆς μαρτυρίας Ἄφοβος ἐβλάβη, ἀλλὰ δι' ἑτέρους ἥλω μάρτυρας, οἷς οὐκ [d] ἐπισκηψάμενος δῆλός ἐστιν ἠδικηκώς.

ΕΙ [e] μὴ πρότερόν μοι δίκης γενομένης πρὸς Ἄφοβον, ὦ ἄνδρες δικασταί, [f] συνῄδειν πολλῷ τούτων μείζω καὶ δεινότερ' αὐτοῦ ψευσαμένου ῥᾳδίως ἐξελέγξας διὰ τὴν περιφάνειαν τῶν ἀδικημάτων, [g] θαυμασίως ἂν [h] ὡς εὐλαβούμην μὴ καὶ νῦν οὐ δυνηθῶ δεῖξαι, πῇ [i] παρακρούεταί ποθ' [k] ἕκαστα ὑμᾶς [l] αὐτῶν. νῦν δὲ σὺν θεοῖς εἰπεῖν, [m] ἄνπερ ἴσοι καὶ κοινοὶ [n] γένησθ' [o] ἡμῶν ἀκροαταί, πολλὰς ἐλπίδας ἔχω μηδὲν ἧττον ὑμᾶς τὴν ἀναίδειαν τὴν τούτου γνώ-
2 σεσθαι τῶν [p] πρότερον δικασάντων. καὶ ταῦτ' εἰ μὲν ἐδεῖτο λόγου τινὸς ἢ ποικιλίας, ἔγωγε κατώκνουν ἂν τὴν ἐμαυτοῦ καταμεμφόμενος ἡλικίαν· νῦν δ' ἁπλῶς [q] δεῖ [r] διδάξαι καὶ διηγήσασθαι τὰ τούτῳ πεπραγμένα περὶ ἡμῶν. ἐκ δὲ τούτων [s] οἶμαι πᾶσιν ὑμῖν εὔγνωστον ἔσεσθαι πότερός ποθ' ἡμῶν ἔσθ' ὁ πονηρός.
3 Οἶδα μὲν οὖν ὅτι τὴν δίκην οὗτος εἴληχε ταύτην οὐχὶ τῷ [t] τὰ ψευδῆ τιν' αὐτοῦ καταμεμαρτυρηκέναι [u] ἐξελέγξειν πιστεύων, ἀλλ' ἡγούμενος διὰ τὸ μέγεθος τοῦ τιμήματος τῆς δίκης, ἣν ὦφλεν, ἐμοὶ μὲν ἂν γενέσθαι τινὰ 845
φθόνον, αὐτῷ δ' ἔλεον. καὶ διὰ ταῦτα περὶ τῆς γεγενημένης δίκης νῦν ἀπολογεῖται, περὶ ἧς τότ' οὐδὲν ἔσχε
4 δίκαιον εἰπεῖν. ἐγὼ δ', ὦ ἄνδρες δικασταί, εἰ μὲν ἐπεπράγμην [x] τοῦτον τὴν δίκην ἢ μηδὲν ἤθελον μέτριον συγ-

[c] *φάνω* F. *Στεφάνῳ* vulgo. [d] *ἐπισκηψάμενος*] *ἐπισκεψάμενος* F. [e] *μὴ*] *καὶ μὴ* A.r. [f] *συνήιδειν* codices. *συνῄδη* vulgo. [g] *θαυμασίως* S. Legebatur *θαυμαστῶς*. [h] *ὡς*] *ἴσως* A.r. om. F. [i] *παρακρούεταί*] *παρακρούσεται* F. quod fortasse superscriptum fuit in S. in quo erasa litera super *ου* posita. [k] *ἕκαστα*] *ἑκαστάθ'* A. Hoc est *ἕκασθ'*. [l] *αὐτῶν*] *αὐτούς* S. [m] *ἄνπερ*] *ἐάνπερ* A.r. [n] *γένησθε*] *γενήσεσθε* F. [o] *ἡμῶν* om. S. [p] *πρότερον*] *προτέρων* pr. S. [q] *δεῖ* om. S.r. [r] *διδάξαι* in margine habet S. ab eadem manu, sed atramento alio. [s] *οἶμαι* om. A.r. [t] *τὰ* om. r. [u] *ἐξελέγξειν*] *ἐξελέγχειν* pr. S. [x] *τοῦτον*] *ἄφοβον τοῦτον* A.r.

χωρεῖν, ἠδίκουν μὲν οὐδ' ἂν οὕτως, τὰ παρ' [y] ὑμῖν γνω-
σθέντα πραττόμενος αὐτὸν, ὅμως δ' ἂν εἶχέ τις εἰπεῖν ὡς
λίαν [z] ὠμῶς καὶ πικρῶς ὄντα συγγενῆ τοῦτον ἐκ τῆς οὐ-
5 σίας [a] ἁπάσης ἐκβέβληκα. νῦν δὲ τοὐναντίον ἐστίν. [b] οὗ-
τος ἐμὲ τῶν πατρῴων ἁπάντων μετὰ τῶν συνεπιτρόπων
ἀπεστέρηκε, καὶ [c] οὐδ' ἐν ὑμῖν φανερῶς ἐξελεγχθεὶς οἴ-
εται δεῖν οὐδὲν τῶν μετρίων ποιεῖν, ἀλλὰ διασκευασά-
μενος τὴν οὐσίαν, καὶ παραδοὺς τὴν μὲν [d] συνοικίαν [e] Αἰσίῳ
τὸν δ' ἀγρὸν Ὀνήτορι, πρὸς [f] μὲν ἐκείνους δίκην καὶ
6 πράγματ' ἔχειν ἐμὲ πεποίηκεν, ἐκ δὲ τῆς οἰκίας αὐτὸς
τὰ σκεύη λαβὼν καὶ τἀνδράποδα ἐξαγαγὼν καὶ τὸν
λάκκον συντρίψας καὶ τὰ θυρώματ' ἀποσπάσας καὶ
μόνον οὐκ αὐτὴν τὴν οἰκίαν ἐμπρήσας Μέγαράδ' ἐξῴκηκε
κἀκεῖ μετοίκιον τέθεικεν. ὥστε πολὺ ἂν δικαιότερον διὰ
ταῦτα τὰ ἔργα τοῦτον [g] μισήσαιτε ἢ ἐμοῦ τινὰ [h] ἀνεπιεί-
κειαν [i] καταγνοίητε.
7 Περὶ μὲν οὖν τῆς [k] αἰσχροκερδείας τῆς τούτου καὶ μια-
ρίας ὕστερόν μοι δοκεῖ διεξελθεῖν πρὸς ὑμᾶς. καὶ νῦν δ'
ὡς ἐν κεφαλαίοις ἀκηκόατε· περὶ δὲ τῶν [l] μεμαρτυρη-
μένων, ὡς ἔστιν ἀληθῆ, περὶ ὧνπερ οἴσετε τὴν ψῆφον, ἤδη
πειράσομαι διδάσκειν ὑμᾶς. δέομαι δ' ὑμῶν, ὦ ἄνδρες
δικασταὶ, δικαίαν δέησιν, ἐξ ἴσου ἡμῶν ἀμφοτέρων ἀκοῦ-
σαι. τοῦτο δ' ἐστὶ καὶ ὑπὲρ ὑμῶν ὁμοίως· ὅσῳ γὰρ ἂν 846
ἀκριβέστερον τὰ πεπραγμένα μάθητε, τοσούτῳ δικαιοτέ-
ραν καὶ εὐορκοτέραν [m] θήσεσθε [n] τὴν ψῆφον περὶ αὐτῶν.
8 ἐπιδείξω δὲ τοῦτον οὐ μόνον ὡμολογηκότα εἶναι τὸν Μι-

[y] ὑμῖν] ὑμῶν A.r. [z] ὠμῶς καὶ πικρῶς] ὠμὸς καὶ πικρός S. qui interpungit post πικρός. [a] ἁπάσης in γρ. F. Super ης aliquid erasum in S. [b] οὗτος] οὗτος μὲν F. [c] οὐδ' ἐν] οὐδὲν A.S.r. [d] συνοικίαν A.r. et ex correctione manus primæ S. Legebatur οἰκίαν. [e] Αἰσίῳ Wolfius. Legebatur Ἀφόβῳ. [f] μὲν om. A.r. [g] μισήσετε] μισήσαιτε S. [h] ἀνεπιείκειαν] ἂν ἐπιείκειαν F. ἐπιεικειαν[αν] S. αν a m. antiqua. [i] καταγνοίητε] καταγνωίητε[οι] F. καταγνώητε S. καταγνῶτε A.r. [k] αἰσχροκερδείας] αἰσχροκερδίας S. [l] μεμαρτυρημένων] ὦ[δ] addit A. ὦ ἄνδρες δικασταί r. [m] θήσεσθε] θήσετε r. [n] τὴν ψῆφον περὶ αὐτῶν] περὶ αὐτῶν τὴν ψῆφον F.

λύαν ἐλεύθερον, ἀλλὰ καὶ φανερὸν τοῦτ' ἔργῳ πεποιηκότα. καὶ πρὸς τούτοις ἐκ βασάνου περὶ [o] αὐτῶν πεφευγότα τοῦτον τοὺς ἀκριβεστάτους ἐλέγχους, καὶ οὐκ ἐθελήσαντ' ἐκ τούτων ἐπιδεῖξαι τὴν ἀλήθειαν, [p] ἀλλὰ πανουργοῦντα
9 καὶ μάρτυρας ψευδεῖς παρεχόμενον καὶ διακλέπτοντα τοῖς [q] ἑαυτοῦ λόγοις τὴν ἀλήθειαν τῶν πεπραγμένων, οὕτω μεγάλοις καὶ φανεροῖς ἐλέγχοις, ὥσθ' ὑμᾶς πάντας εἴσεσθαι σαφῶς ὅτι ἡμεῖς μὲν ἀληθῆ λέγομεν, οὗτος δ' οὐδὲν ὑγιὲς εἴρηκεν. ἄρξομαι δ' ἐντεῦθεν, ὅθεν καὶ ὑμεῖς ῥᾷστ' ἂν μάθοιτε [r] κἀγὼ τάχιστ' ἂν διδάξαιμι.

10 Ἐγὼ γάρ, ὦ ἄνδρες δικασταί, [s] Δημοφῶντι καὶ Θηριππίδῃ καὶ τούτῳ δίκας [t] ἔλαχον ἐπιτροπῆς ἀποστερηθεὶς ἁπάντων τῶν [u] ὄντων. γενομένης δέ μοι τῆς δίκης πρὸς τοῦτον πρῶτον ἐπέδειξα σαφῶς τοῖς δικάζουσιν, ὥσπερ ὑμῖν ἐπιδείξω, πάνθ' ὅσα ἡμῖν κατελείφθη χρήματα [x] ἀπεστερηκότα τοῦτον μετ' ἐκείνων, οὐ καταψευδο-
11 μαρτυρησάμενος. τεκμήριον δὲ μέγιστον· μαρτυριῶν γὰρ πλέον ἢ πάνυ πολλῶν τῶν ἁπασῶν ἀναγνωσθεισῶν [y] ἐπὶ τῇ δίκῃ, καὶ τούτων τῶν μὲν ὡς ἔδοσάν τι [z] τούτῳ τῶν ἐμῶν καταμαρτυρουσῶν, τῶν δ' ὡς παρῆσαν κομιζομένῳ, τῶν δ' ὡς πριάμενοι [a] παρὰ τούτου τούτῳ τὰς τιμὰς διέλυσαν, [b] οὐδ' ᾗ τινὶ [c] τούτων τῶν ψευδομαρτυριῶν ἐπεσκήψατο, οὐδὲ τετόλμηκε διώκειν [d] ἀλλ' ἢ ταύτην 847
μίαν οὖσαν, ἐν ᾗ δραχμὴν οὐκ ἂν ἔχοι δεῖξαι μεμαρτυρη-
12 μένην. καίτοι τό γε τίμημα τῶν χρημάτων, ὧν [e] ἀπεστερήμην, οὐκ ἐκ ταύτης [f] συντιθεὶς ἐλογιζόμην τοσοῦτον (οὐ γὰρ ἔνεστ' ἀργύριον), ἀλλ' ἐξ ἐκείνων καθ' ἕκαστα τιθείς,

[o] αὐτῶν] αὐτὸν F. [p] ἀλλὰ] ἀλλ' ἀεὶ A.r. [q] ἑαυτοῦ S. αὑτοῦ vulgo. [r] κἀγὼ] καὶ ἐγὼ S. [s] Δημοφῶντι] δήμωνι καὶ δημοφῶντι F. [t] ἔλαχον] ἔλαβον A.r. [u] ὄντων. γενομένης] γενομένων. γινομένης A.r. [x] ἀπεστερηκότα in marg. a m. correctoris habet S. [y] ἐπὶ τῇ δίκῃ καὶ τούτων in γρ. F. [z] τούτῳ τῶν] τούτων τῶν F. [a] παρὰ τούτου] παρά του F. [b] οὐδ' ᾗ τινὶ] οὐδ' ἡτινιοῦν Dobræus. [c] τούτων om. A.r. [d] ἀλλ' ἢ] ἀλλὰ F. [e] ἀπεστερήμην] ἀπεστερούμην A.r. [f] συντιθεὶς] συντεθεὶς pr. S.

αἷς οὗτος οὐκ ἐπεσκήψατο. ὅθεν οἱ [g] τότ᾽ ἀκούσαντες οὐ
μόνον αὐτοῦ κατέγνωσαν, ἀλλὰ καὶ τῶν ἐπιγεγραμμένων
13 ἐτίμησαν. τίνος οὖν ἕνεκ᾽ ἐκείνας μὲν εἴασε, τῇδε δὲ ἐπε-
σκήψατο; ἐγὼ καὶ τοῦτο διδάξω. τῶν μαρτυριῶν ὅσαι
μὲν [h] αὐτοῦ χρήματ᾽ ἔχειν κατεμαρτύρουν, ᾔδει σαφῶς ὅτι
τοσούτῳ μᾶλλον [i] ἐξελεγχθήσεται ταῦτ᾽ ἔχων, ὅσῳ [k] πλείων
λόγος δοθήσεται καθ᾽ ἓν περὶ ἑκάστου. τοῦτο δ᾽ ἤμελ-
λεν ἐν τῇ τῶν ψευδομαρτυριῶν ἔσεσθαι [l] κρίσει· ὃ γὰρ
τότ᾽ ἐν μικρῷ μέρει τινὶ τοῦ παντὸς ὕδατος μετὰ τῶν
ἄλλων κατηγορήσαμεν, νῦν πρὸς ἅπαν τὸ ὕδωρ αὐτὸ καθ᾽
14 αὑτὸ διδάξειν ἠμέλλομεν. ἀποκρίσει δ᾽ ἐπισκηψάμενος
ἐνόμιζεν, ὥσπερ τόθ᾽ ὡμολόγησεν, οὕτω πάλιν ἔξαρνος
γενέσθαι [m] ταῦτα ἐφ᾽ ἑαυτῷ γενήσεσθαι. διὰ ταῦτα τήνδε
διώκει. βούλομαι δὴ ταύτην, ὡς ἔστιν ἀληθής, ἐπιδεῖξαι
σαφῶς πᾶσιν ὑμῖν, οὐκ ἐξ [n] εἰκότων οὐδὲ λόγων πρὸς τὸ
παρὸν μεμηχανημένων, ἀλλ᾽ ἐκ τοῦ παρὰ πᾶσιν ὑμῖν
[o] δόξοντος, ὡς ἐγὼ νομίζω, δικαίου. σκοπεῖτε δ᾽ [p] ἀκού-
σαντες.
15 Ἐγὼ γὰρ, ὦ ἄνδρες δικασταὶ, περὶ τῆς μαρτυρίας
τῆς ἐν τῷ γραμματείῳ γεγραμμένης εἰδὼς ὄντα μοι τὸν
ἀγῶνα, καὶ περὶ τούτου τὴν ψῆφον ὑμᾶς οἴσοντας ἐπι-
στάμενος, ᾤήθην δεῖν [q] μηδὲν ἄλλο τούτου πρότερον ἢ τοῦ-
16 τον [r] προκαλούμενος [s] ἐλέγξαι. καὶ τί ποιῶ; παραδοῦναι 848
παῖδα ἤθελον αὐτῷ γράμματ᾽ ἐπιστάμενον βασανίζειν,
ὃς παρῆν ὅθ᾽ ὡμολόγει ταῦθ᾽ οὗτος, καὶ τὴν μαρτυρίαν
ἔγραφεν, οὐδὲν ὑφ᾽ ἡμῶν κελευσθεὶς κακοτεχνεῖν, οὐδὲ τὸ
μὲν γράφειν, τὸ δ᾽ [t] ἀφαιρεῖν ὧν οὗτος εἰρήκει περὶ τούτων,

[g] τότ᾽] τοῦτ᾽ A.r. [h] αὐτοῦ post ἔχειν F. [i] ἐξελεγχθήσεται] ἐλεγχθήσεται A.r. [k] πλείων] πλεῖον r. [l] κρίσει om. F.S. [m] ταῦτα] ταῦτα δ᾽ F. et a m. antiqua S. [n] εἰκότων] εἰκότος (ων superscr.) F. εἰκότος A.r. [o] δόξοντος S. δόξαντος vulgo. [p] ἀκούσαντες] ἀκούοντες A.r. [q] μηδὲν] μηθὲν S. [r] προκαλούμενος] προκαλούμενοῦ (σ superscr.) S., litera σ a pr. ut videtur manu superscripta et ν puncto notato. [s] ἐλέγξαι] ἐξελέγξαι F. [t] ἀφαιρεῖν] ἀφερεῖν pr. S.

ἀλλ' ἁπλῶς ὑπὲρ τοῦ [u] πάντ' ἀληθῆ καὶ τὰ τούτῳ ῥη-
17 θέντα γράψαι. καίτοι τί κάλλιον ἦν τοῦ τὸν παῖδα
στρεβλοῦντα [x] ἐλέγξαι ψευδομένους ἡμᾶς; ἀλλὰ συνῄδει
πάντων μάλιστ' ἀνθρώπων ὅτι τἀληθῆ μεμαρτύρηται· διό-
περ [y] ἔφευγε τὴν βάσανον. ἀλλὰ μὴν οὐχ εἷς οὐδὲ δύο
ταῦτ' ἴσασιν, οὐδ' ὑπὸ μάλης ἡ πρόκλησις γέγονεν, ἀλλ'
ἐν τῇ ἀγορᾷ μέσῃ πολλῶν παρόντων. καί μοι κάλει
τούτων τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

18 Οὕτω τοίνυν οὗτός ἐστι σοφιστὴς καὶ σφόδρ' ἑκὼν τὰ
δίκαι' ἀγνοεῖν προσποιούμενος, ὥστε ψευδομαρτυριῶν διώ-
κων, καὶ περὶ τούτου τὴν ψῆφον ὑμῶν μελλόντων οἴσειν
καὶ ὀμωμοκότων, περὶ τῆς μαρτυρίας μὲν [z] ἔφευγε τὴν
βάσανον, περὶ οὗ μάλιστα προσῆκεν αὐτῷ τὸν λόγον
ποιεῖσθαι, περὶ δ' ἄλλων φησὶν ἐξαιτεῖν, ψευδόμενος.
19 καίτοι πῶς οὐχ ὑπερφυὲς [a] αὐτὸν μὲν δεινὰ πεπονθέναι
φάσκειν, εἰ τὸν ἐλεύθερον ἐξαιτῶν, ὡς ἐγὼ σαφῶς ὑμῖν
ἐπιδείξω, μὴ παρέλαβε, τοὺς δὲ μάρτυρας [b] οὐ δεινὰ
πάσχειν νομίζειν, τὸν [c] ὁμολογουμένως δοῦλον περὶ ὧν
[d] ἐμαρτύρησαν ἐκδιδόντος, οὐκ ἐθέλοντος τούτου παραλα-
βεῖν; [e] οὐ γὰρ δὴ τοῦτό γ' ἔνεστιν εἰπεῖν, ὡς περὶ μὲν
τινῶν, ὧν αὐτὸς βούλεται, σαφὴς ἡ βάσανος, περὶ δ' αὖ
τινῶν οὐ σαφής.
20 Ἔτι τοίνυν, ὦ ἄνδρες δικασταί, ταύτην τὴν μαρτυρίαν 849
ἐμαρτύρησεν [f] ὁ ἀδελφὸς ὁ [g] τούτου πρῶτος [h] Αἴσιος, ὃς νῦν
μὲν ἔξαρνός ἐστι τούτῳ συναγωνιζόμενος, τότε δ' ἐμαρτύ-
ρησε ταῦτα μετὰ τῶν ἄλλων, οὔτ' ἐπιορκεῖν οὔτ' εὐθὺς
21 παραχρῆμα δίκην ὀφλισκάνειν βουλόμενος. ὃν οὐκ ἂν

[u] πάντ' ἀληθῆ S. Legebatur πάντα τἀληθῆ. [x] ἐλέγξαι] ἐξελέγξαι A.r. [y] ἔφευγε S. Legebatur ἔφυγε. πέφευγε A. (cui Reiskius male ἔφευγε tribuit.) r. [z] ἔφευγε] ἔφυγε A.r. [a] αὐτὸν] αὑτὸν S. [b] οὐ om. A.r. [c] ὁμολογουμένως] ὁμολογούμενον ὡς F. [d] ἐμαρτύρησαν] ἐμαρτύρησεν A.r. [e] οὐ γὰρ δὴ] οὐδὲ γὰρ F. [f] ὁ addidi ex S. [g] τούτου] τουτουῒ A.r. [h] Αἴσιος] αἴτιος A.r.

δήπου, ψευδῆ μαρτυρίαν εἰ παρεσκευαζόμην, [i]ἐνέγραψα
ἂν εἰς τοὺς μάρτυρας, ὁρῶν μὲν Ἀφόβῳ χρώμενον μά-
λιστ' ἀνθρώπων ἁπάντων, εἰδὼς δὲ συνεροῦντ' αὐτῷ τὴν
δίκην, ἔτι δ' ἐμαυτοῦ ὄντ' ἀντίδικον· οὐ γὰρ ἔχει λόγον
τὸν ἑαυτοῦ διάφορον [k]καὶ τούτου ἀδελφὸν μὴ ἀληθινῆς
22 μαρτυρίας ἐγγράψαι μάρτυρα. τούτων τοίνυν εἰσὶ μὲν
πολλοὶ μάρτυρες, ἔτι δ' οὐκ ἐλάττω τεκμήρια τῶν μαρ-
τύρων. πρῶτον μὲν γάρ, εἴπερ ὡς ἀληθῶς ταῦτα μὴ
ἐμαρτύρησεν, οὐκ ἂν νῦν ἔξαρνος ἦν, ἀλλὰ τότ' εὐθὺς ἐπὶ
τοῦ δικαστηρίου τῆς μαρτυρίας ἀναγιγνωσκομένης, ἡνίκα
μᾶλλον ἂν αὐτὸν ἢ νῦν ὠφέλει. δεύτερον δ' οὐκ ἂν ἡσυ-
χίαν ἦγεν, ἀλλὰ δίκην ἄν μοι βλάβης ἔλαχεν, εἰ ψευδο-
μαρτυριῶν ὑπόδικον αὐτὸν ἐποίουν [l]κατὰ τἀδελφοῦ οὐ
προσῆκον, ἐν ᾗ καὶ περὶ χρημάτων καὶ [m]περὶ ἀτιμίας ἄν-
23 θρωποι κινδυνεύουσιν. ἔτι δὲ τὸ πρᾶγμ' ἂν ἐξελέγξαι ζη-
τῶν [n]ἐξῄτησεν ἄν με τὸν παῖδα τὸν γράφοντα τὰς μαρ-
τυρίας, ἵν' εἰ [o]μὴ παρεδίδουν, [p]μηδὲν δίκαιον [q]λέγειν
ἐδόκουν. νῦν δὲ [r]τοσοῦτο τοῦ ποιῆσαί τι [s]τούτων ἐδέησεν,
ὥστ' οὐδ' ἐμοῦ παραδιδόντος, ἐπειδὴ ταῦτ' ἔξαρνος ἐγένεθ',
οὗτος παραλαβεῖν ἠθέλησεν, ἀλλ' ὁμοίως φαίνονται καὶ
24 περὶ τούτων φεύγοντες τὰς βασάνους. καὶ ταῦθ' ὡς ἀληθῆ
λέγω, καὶ ἔν τε τοῖς μάρτυσι μεμαρτυρηκὼς [t]Αἴσιος οὐκ 850
[u]ἠρνήθη ταῦτα ἐπὶ τοῦ δικαστηρίου [x]τούτῳ [y]παρεστηκὼς
τῆς μαρτυρίας ἀναγιγνωσκομένης, ἐμοῦ τ' ἐκδιδόντος
τὸν παῖδα περὶ [z]ἁπάντων [a]τούτων βασανίζειν [b]αὐτοῖς
οὐκ ἠθέλησε παραλαβεῖν, [c]καθ' ἕκαστον ὑμῖν παρέξομαι
τοὺς μάρτυρας. καί μοι κάλει δεῦρ' αὐτούς.

[i] ἐνέγραψα] ἔγραψα F. [k] καὶ τούτου ἀδελφὸν om. A.r. [l] κατὰ τἀδελφοῦ] κατὰ τοῦ ἀδελφοῦ F. κατ' ἀδελφοῦ A.r. [m] περὶ om. A. [n] ἐξῄτησεν] ἐζήτησεν A.S.r. [o] μὴ om. F. [p] μηδὲν] μηδὲν ἂν A.r. [q] λέγειν ἐδόκουν] ἐδόκουν λέγειν A.r. [r] τοσοῦτο] τοσοῦτο [ν] B. τοσοῦτον r. [s] τούτων] τοῦ[οι]τον F. [t] Αἴσιος om. A.r. et pr. S. in γρ. habet F. [u] ἠρνήθη] ἠρνήθη τε S. [x] τούτῳ] τούτῳ [ου] F. τούτου γρ. S. [y] παρεστηκὼς] παρεστηκως [εν] F. [z] ἁπάντων om. F. [a] τούτων] τοῦ r. [b] αὐτοῖς] αὐτὸς correctus S. [c] καθ'] καὶ καθ' F.

ΜΑΡΤΥΡΕΣ.

25 Ὃ τοίνυν, ὦ ἄνδρες δικασταί, πάντων τῶν εἰρημένων
οἶμαι μέγιστον ὑμῖν ἐρεῖν σημεῖον τοῦ ταῦτ' [d] ἀποκρί-
νασθαι τοῦτον, βούλομαι [e] διελθεῖν. ἐπειδὴ γὰρ ἐξήτει με
τὸν ἄνθρωπον ταῦθ' ὡμολογηκὼς ἃ μεμαρτύρηται, βουλό-
μενος καὶ [f] τοῦτ' αὐτὸν ἐξελέγξαι τεχνάζοντα τί ποιῶ;
26 [g] προκαλοῦμαι κατὰ [h] Δήμωνος εἰς μαρτυρίαν, ὄντος αὐτῷ
[i] θείου καὶ κοινωνοῦ τῶν ἀδικημάτων, καὶ συγγράψας
ταῦτ' ἐκέλευον μαρτυρεῖν, ἃ νῦν διώκει τῶν ψευδομαρτυ-
ριῶν. οὗτος δὲ τὸ μὲν πρῶτον ἀπηναισχύντει, τοῦ δὲ διαι-
τητοῦ κελεύοντος μαρτυρεῖν ἢ ἐξομνύειν ἐμαρτύρησε πάνυ
[k] μόλις. καίτοι εἴ γ' ἦν δοῦλος [l] ἄνθρωπος καὶ μὴ [m] προ-
ωμολόγητο πρὸς τοῦδ' ἐλεύθερος εἶναι, τί [n] μαθὼν ἐμαρ-
τύρησεν, ἀλλ' οὐκ ἐξομόσας ἀπηλλάγη τοῦ πράγματος;
27 ἀλλὰ μὴν καὶ περὶ τούτων ἤθελον παραδοῦναι τὸν παῖδα
τὸν γράφοντα τὴν μαρτυρίαν, ὃς τά τε γράμματ' ἔμελλε
γνώσεσθαι τὰ ἑαυτοῦ, καὶ τοῦτον [o] ἐμνημόνευεν ἀκριβῶς
μαρτυρήσαντα ταῦτα. καὶ ταῦτ' ἤθελον οὐχὶ μαρτύρων
ἀπορῶν οἳ παρῆσαν· ἦσαν γάρ· ἀλλ' ἵνα μὴ τούτους αἰ-
τιῷτο [p] τὰ ψευδῆ μαρτυρεῖν, ἀλλὰ τὸ πιστὸν ἐκ τῆς βα-
28 σάνου τούτοις [q] ὑπάρχοι. καίτοι πῶς ἄξιόν ἐστι κατα- 851
γνῶναι τῶν μαρτύρων διὰ τοῦτο, οἳ μόνοι τῶν πώποτ'
ἠγωνισμένων δίκην ἐν ὑμῖν τὸν διώκοντ' αὐτὸν αὐτοῖς μάρ-
τυρα τούτων [r] ἐπιδεικνύουσι γεγενημένον; ἀλλὰ μὴν ὡς
ἀληθῆ λέγω, λαβὲ τὴν [s] πρόκλησιν καὶ τὴν μαρτυρίαν.

[d] ἀποκρίνασθαι] ἀποκρίνεσθαι F. [e] διελθεῖν] διεξελθεῖν A.r. [f] τοῦτ'] τοτ' (ῦ superscr.) S. ῦ a m. antiqua superscripto. [g] προκαλοῦμαι Pauli Manutii editio. προσκαλοῦμαι codices omnes. Nam quod προκαλοῦμαι in A. esse refert Reiskius falsum est. [h] Δήμωνος] δήμονος A. [i] θείου] τοῦ θείου F. [k] μόλις A.r. Legebatur μόγις. Conf. var. lect. ad p. 29, 28. 761, 21. 1259, 26. μόλις libri omnes p. 896, 4. 914, 4. 27. 977, 25. 1187, 16. [l] ἄνθρωπος] Scribebatur ὁ ἄνθρωπος. ὁ om. A.F.r. [m] προωμολόγητο] προσωμολόγητο A.S.r. [n] μαθὼν] π̄μαθὼν F.r. [o] ἐμνημόνευεν] ἐμνημόνευσεν A.r. [p] τὰ ψευδῆ μαρτυρεῖν] μαρτυρεῖν τὰ ψευδῆ F. [q] ὑπάρχοι] ὑπάρχει (η superscr.) r. [r] ἐπιδεικνύουσι] ἐπιδεικνυσι S. [s] πρόκλησιν—ΠΡΟΚΛΗΣΙΣ] πρόσκλησιν—ΠΡΟΣΚΛΗΣΙΣ A.r.

ΠΡΟΚΛΗΣΙΣ. ΜΑΡΤΥΡΙΑ.

29 Τηλικαῦτα τοίνυν δίκαια φυγὼν οὗτος, καὶ ἐκ τοσούτων τεκμηρίων ἐπιδεικνύμενος ὅτι συκοφαντεῖ, τοῖς μὲν αὑτοῦ μάρτυσιν ἀξιοῖ πιστεύειν ὑμᾶς, τοὺς δ' ἐμοὺς διαβάλλει καί φησιν οὐ τἀληθῆ μαρτυρεῖν. βούλομαι δὴ καὶ ἐκ τῶν εἰκότων περὶ αὐτῶν εἰπεῖν. οἶδ' οὖν ὅτι πάντες ἂν [t] ὁμολογήσαιτε τοὺς [u] τὰ ψευδῆ μαρτυροῦντας ἢ κέρδεσι δι' ἀπορίαν ἐπαιρομένους ἢ δι' [x] ἑταιρίαν ἢ καὶ δι' ἔχθραν τῶν ἀντιδίκων ἐθέλειν ἄν τι τοιοῦτον ποιῆσαι.
30 τούτων τοίνυν οὐδὲ δι' ἓν ἂν εἶεν ἐμοὶ μεμαρτυρηκότες· οὔτε γὰρ [y] ἑταιρίᾳ· πῶς γάρ, οἵ γε μήτε ἐν ταῖς αὐταῖς διατριβαῖς μήτε καθ' ἡλικίαν, μὴ ὅτι ἐμοί τινες αὐτῶν, [z] ἀλλ' οὐδὲ σφίσιν αὐτοῖς εἰσίν; οὔτ' [a] ἔχθρᾳ τούτου· φανερὸν γὰρ καὶ τοῦτ' ἐστίν· ὁ μὲν γὰρ ἀδελφὸς καὶ σύνδικος, [b] Φᾶνος δ' ἐπιτήδειος καὶ φυλέτης, Φίλιππος [c] δ' οὔτε φίλος οὔτ' ἐχθρός, ὥστ' οὐδὲ ταύτην ἄν τις ἐπενέγ-
31 κοι δικαίως τὴν αἰτίαν. καὶ μὴν οὐδὲ δι' ἀπορίαν ἄν τις φήσειε· πάντες γὰρ κέκτηνται [d] τοσαύτην οὐσίαν ὥστε καὶ [e] λειτουργεῖν ὑμῖν προθύμως καὶ τὰ [f] προσταττόμενα ποιεῖν. χωρὶς δὲ τούτων οὔτ' ἀγνῶτες ὑμῖν οὔτ' [g] ἐπὶ τὰ χείρω γιγνωσκόμενοι, μέτριοι δ' ὄντες ἄνθρωποι. καίτοι εἰ μήτ' ἄποροι μήτ' ἐχθροὶ [h] τούτου μήτ' [i] ἐμοὶ φίλοι, πῶς 852
χρὴ κατὰ τούτων λαβεῖν τιν' ὑποψίαν ὡς τὰ ψευδῆ μαρτυροῦσιν; ἐγὼ μὲν γὰρ οὐκ οἶδα.
32 Ταῦτα τοίνυν οὗτος εἰδώς, καὶ πάντων μάλιστα ἐπι-

[t] ὁμολογήσαιτε] ὁμολογήσετε A.B.S. ὁμολογήσητε r. [u] τὰ ψευδῆ μαρτυροῦντας] ψευδομαρτυροῦντας F. [x] ἑταιρίαν A.r. Scribebatur ἑταιρείαν. In S. εταιριαν, litera una ante et una post τ erasa, quarum prior π, altera η fuisse videtur. [y] ἑταιρίᾳ] ἑταιρία A.S.r. Scribebatur ἑταιρείᾳ. ἑταιρεῖαι F. [z] ἀλλ' οὐδὲ] ἀλλ' οὔτε F.S. [a] ἔχθρᾳ] ἔχθραι F.S. ἐχθροὶ A.r. [b] Φᾶνος] Scribebatur Φάνος. Correxi ex præcepto Arcadii p. 63, 10. de quo monuit Lehrsius in libro de studiis Aristarchi p. 291. Accentu caret S. [c] δ' οὔτε] ὅτε οὔτε S. [d] τοσαύτην] τοιαύτην r. [e] λειτουργεῖν] λειτουργιαν pr. S. [f] προσταττόμενα] πραττόμενα F. [g] ἐπὶ τὰ] ἐπὶ τὸ S. [h] Post τούτου duæ literæ erasæ in S. [i] ἐμοὶ om. F.

στάμενος τἀληθῆ [k]μεμαρτυρηκότας αὐτοὺς, ὅμως συκο-
φαντεῖ καὶ φησὶν οὐ μόνον οὐκ εἰπεῖν ταῦτα, ἃ πῶς τις
ἂν μᾶλλον ἐξελέγξειεν εἰρηκότα; ἀλλὰ καὶ δοῦλον εἶναι
τὸν ἄνθρωπον τῷ ὄντι. βούλομαι δὲ διὰ βραχέων εἰπὼν
33 πρὸς ὑμᾶς ἐξελέγξαι καὶ [l]ταῦτ᾽ αὐτὸν ψευδόμενον. ἐγὼ
γὰρ, ὦ ἄνδρες δικασταὶ, καὶ περὶ τούτων ἠθέλησα τούτῳ
παραδοῦναι βασανίζειν τὰς θεραπαίνας, αἳ τελευτῶντος
τοῦ πατρὸς μνημονεύουσιν ἀφεθέντα τοῦτον ἐλεύθερον εἶναι
τότε. καὶ πρὸς τούτοις ἡ μήτηρ κατ᾽ ἐμοῦ καὶ τῆς ἀδελ-
φῆς, οἳ μόνοι παῖδές ἐσμεν αὐτῇ, δι᾽ οὓς κατεχήρευσε τὸν
34 βίον, πίστιν ἠθέλησεν ἐπιθεῖναι παραστησαμένη τὸν ἄν-
θρωπον τοῦτον ἀφεῖναι τὸν πατέρα ἡνίκ᾽ ἐτελεύτα, καὶ
νομίζεσθαι παρ᾽ ἡμῖν τοῦτον ἐλεύθερον· ἣν μηδεὶς ὑμῶν
νομιζέτω καθ᾽ ἡμῶν ποτ᾽ ἂν ὀμνύναι ταῦτ᾽ [m]ἂν ἐθέλειν, εἰ
μὴ σαφῶς ᾔδει τὰ εὔορκα ὀμουμένη. ἀλλὰ μὴν ὡς ἀληθῆ
λέγω καὶ [n]ταῦτ᾽ ἦμεν ἕτοιμοι ποιεῖν, κάλει τούτων τοὺς
μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

35 Τοσαῦτα τοίνυν δίκαια λέγειν ἐχόντων [o]ἡμῶν, καὶ
καταφεύγειν εἰς τοὺς μεγίστους ἐλέγχους ἐθελόντων περὶ
τῶν μεμαρτυρημένων, πάντα ταῦτα φυγὼν οὗτος οἴεται,
περὶ τῆς γεγενημένης δίκης διαβάλλων καὶ κατηγορῶν
ἐμοῦ, τοῦ μάρτυρος ὑμᾶς πείσειν καταψηφίσασθαι, πάν-
των, οἶμαι, πρᾶγμα κατασκευάσας ἀδικώτατον καὶ πλεο-
36 νεκτικώτατον. αὐτὸς μὲν γὰρ μάρτυρας ψευδεῖς παρεσκεύ-
ασται περὶ τούτων, συγχορηγὸν ἔχων Ὀνήτορα τὸν κη- 853
δεστὴν καὶ Τιμοκράτην· ἡμεῖς δ᾽ οὐχὶ [p]προειδότες, ἀλλ᾽
ὑπὲρ αὐτῆς τῆς μαρτυρίας ἡγούμενοι τὸν ἀγῶν᾽ ἔσεσθαι,
τοὺς περὶ τῶν ἐκ τῆς ἐπιτροπῆς χρημάτων μάρτυρας οὐ

[k] μεμαρτυρηκότας] μεμαρτύρηκα vel μεμαρτύρηκαν pr. S. [l] ταῦτ᾽ αὐτὸν A.r. ταυτον (τὰν supra) S. Legebatur τοῦτ᾽ αὐτόν. [m] ἂν addidi ex A.S.r. [n] ταῦτ᾽] τοῦτο F. [o] ἡμῶν om. r. [p] προειδότες] προσειδότες A. πρὸς εἰδότας r.

37 [q]παρεσκευάσμεθα νῦν. ὅμως δὲ, καίπερ οὕτω [r]τούτου σεσοφισμένου, τὰ πράγματ' [s]αὐτὰ διεξιὼν οἶμαι ῥᾳδίως ὑμῖν ἐπιδείξειν δικαιότατ' ἀνθρώπων τοῦτον ὠφληκότα τὴν δίκην, οὐχ ὅτι τὸν [t]Μιλύαν ἐκώλυον βασανίζειν, οὐδ' ὅτι τοῦτον ἐλεύθερον [u]ὡμολόγησεν, [x]οἱ δὲ μάρτυρες οἶδ' ἐμαρτύρησαν, ἀλλ' ὅτι πολλὰ τῶν ἐμῶν ἐξηλέγχθη λαβὼν καὶ τὸν οἶκον οὐκ ἐμίσθωσε τῶν νόμων κελευόντων καὶ τοῦ πατρὸς ἐν τῇ διαθήκῃ γράψαντος, ὡς ἐγὼ σαφῶς ὑμῖν ἐπιδείξω· ταῦτα μὲν γὰρ ἦν πᾶσιν ἰδεῖν, [y]οἱ νόμοι καὶ τὸ πλῆθος ὧν οὗτοι διηρπάκεισαν χρημάτων· τὸν Μιλύαν δ'
38 οὐδ' ὅστις ἔστιν οὐδεὶς ᾔδει. γνώσεσθε δ' ἐκ τῶν ἐγκεκλημένων ὅτι ταῦθ' οὕτως ἔχοντ' ἐστίν.

Ἐγὼ γὰρ, ὦ ἄνδρες δικασταὶ, [z]τὴν δίκην ἔλαχον τούτῳ τῆς ἐπιτροπῆς οὐχ ἓν τίμημα [a]συνθεὶς, ὥσπερ ἂν [b]εἴ τις συκοφαντεῖν ἐπιχειρῶν, ἀλλ' ἕκαστον ἐγγράψας, καὶ πόθεν λαβὼν καὶ πόσον τὸ πλῆθος καὶ παρὰ τοῦ, καὶ οὐδαμοῦ τὸν Μιλύαν [c]παρέγραψα ὡς εἰδότα τι τού-
39 των. [d]ἔστιν οὖν τοῦ μὲν ἐγκλήματος ἀρχὴ "τάδ' ἐγ-"καλεῖ Δημοσθένης Ἀφόβῳ· ἔχει μου χρήματ' Ἄφο-"βος [e]ἀπὸ ἐπιτροπῆς ἐχόμενα, ὀγδοήκοντα μὲν μνᾶς, "ἣν [f]ἔλαβε προῖκα τῆς μητρὸς κατὰ τὴν διαθήκην τοῦ "πατρός." τοῦτο πρῶτόν ἐστι τῶν χρημάτων, ὧν ἀπεστερῆσθαί [g]φημι. τοῖς δὲ μάρτυσι [h]τί μεμαρτύρηται; "μαρτυροῦσι παραγενέσθαι πρὸς τῷ διαιτητῇ Νοθάρχῳ, "ὅτε Ἄφοβος ὡμολόγει [i]τὸν Μιλύαν ἐλεύθερον εἶναι, 854
40 "ἀφεθέντα ὑπὸ τοῦ Δημοσθένους πατρός." σκοπεῖτε τοίνυν παρ' ὑμῖν αὐτοῖς εἴ τις ἂν ὑμῖν ἢ ῥήτωρ ἢ σοφιστὴς

[q] παρεσκευάσμεθα] παρεσκευασάμεθα A.r. [r] τούτου] τοῦ F. [s] αὐτὰ om. pr. S.: sed addidit librarius ipse. [t] Μιλύαν] μειλοαν pr. S. [u] ὡμολόγησεν] ὡμολόγησαν A.r. [x] οἱ δὲ μάρτυρες οἶδ' ἐμαρτύρησαν] οἱ μάρτυρες οἳ διεμαρτύρησαν A. commate post ὡμολόγησαν omisso. [y] οἱ νόμοι] ἠνόμει r. [z] τὴν et τῆς om. A.r. [a] συνθεὶς] συντιθεὶς S. [b] εἴ om. A.r. [c] παρέγραψα] προσέγραψα A. [d] ἔστιν] ἔστι μὲν F. [e] ἀπὸ] ὑπὸ F.S. [f] ἔλαβε] δ' ἔλαβε F. [g] φημι] φησι r. [h] τί om. S. [i] τὸν addidi ex S.

ἢ γόης οὕτω θαυμάσιος δοκεῖ γενέσθαι καὶ λέγειν δεινὸς, ὥστ' ἐκ [k] ταύτης τῆς μαρτυρίας διδάξαι τιν' ἀνθρώπων ὡς ἔχει τὴν προῖκ' Ἄφοβος τῆς μητρὸς τῆς [l] ἑαυτοῦ. καὶ τί λέγων, ὦ πρὸς [m] Διός; [n] ὡμολόγησεν εἶναι Μιλύαν ἐλεύθερον; καὶ τί μᾶλλον [o] ἔχων τὴν προῖκα; οὐδὲν ἂν

41 δήπου διὰ τοῦτό γε δόξειεν. ἀλλὰ πόθεν [p] τοῦτ' ἐπεδείχθη; πρῶτον μὲν Θηριππίδης ὢν αὐτῷ συνεπίτροπος κατεμαρτύρησε δοῦναι· δεύτερον δὲ Δήμων θεῖος ὢν καὶ τῶν ἄλλων οἱ παρόντες ἐμαρτύρησαν σῖτον τῇ μητρὶ δώσειν ὁμολογεῖν τοῦτον [q] ὡς ἔχοντα τὴν προῖκα. καὶ τούτοις οὐκ ἐπεσκήψατο, δηλονότι [r] ὡς τἀληθῆ μεμαρτύρηται εἰδώς. ἔτι τοίνυν ἡ μήτηρ [s] πίστιν ἠθέλησε ἐπιθεῖναι κατ' ἐμοῦ καὶ τῆς ἀδελφῆς, παραστησαμένη, [t] λαβεῖν τὴν προῖκα τοῦτον τὴν ἑαυτῆς κατὰ τὴν τοῦ πατρὸς διαθήκην.

42 ταύτας τὰς ὀγδοήκοντα μνᾶς πότερ' αὐτὸν ἔχειν φῶμεν ἢ μή; καὶ πότερον διὰ τούσδε [u] ὀφλεῖν τοὺς μάρτυρας ἢ διὰ τούσδε; ἐγὼ [x] μὲν γὰρ οἶμαι διὰ τὴν ἀλήθειαν. ταύτας τοίνυν δέκ' ἔτη κεκαρπωμένος, καὶ οὐδὲ δίκην ὀφλὼν ἀποδοῦναι τετολμηκὼς, δεινὰ πεπονθέναι φησὶ καὶ διὰ τούσδε τοὺς μάρτυρας ὠφληκέναι. καίτοι [y] τούτων γ' οὐδεὶς αὐτὸν ἔχειν ταύτην ἐμαρτύρησεν.

43 Περὶ τοίνυν τῆς ἐκδόσεως καὶ τῶν κλινοποιῶν καὶ τοῦ σιδήρου καὶ τοῦ καταλειφθέντος ἡμῖν ἐλέφαντος καὶ τῆς

[k] ταύτης] ταυτησὶ A.r. [l] ἑαυτοῦ] ἐμῆς in γρ. F. et S. [m] Διός] τοῦ διός F. [n] ὡμολόγησεν] ὡμολόγησας (εν supra) F. ὁμολογεῖς A.r. [o] ἔχων] Legebatur ἔχω. Correxi ex S. qui ἔχων, litera ν puncto notata. [p] τοῦτ' ἐπεδείχθη] ταῦτ' ἐδείχθη A.r. [q] ὡς om. pr. S.: addidit manus antiqua. [r] ὡς τἀληθῆ μεμαρτύρηται S. et γρ. F. Legebatur τἀληθῆ μεμαρτυρηκότας. [s] πίστιν ἠθέλησε] ἠθέλησε πιστιν A.F.r. [t] λαβεῖν τὴν προῖκα τοῦτον τὴν ἑαυτῆς] τοῦτον λαβεῖν τὴν προῖκα τὴν ἑαυτῆς F. In S. primo scriptum fuit λαβεῖν προῖκα τὴν ἑαυτῆς, erasis super προῖκα et τὴν lineolis ıı et ı, quibus librarius transponendum esse τὴν προῖκα indicaverat. Tum ab eadem m. τὴν ante προῖκα insertum et illud quod post προῖκα scriptum erat in τοῦτον est mutatum Id vero τὴν alia manus antiqua rursus inseruit post τοῦτον. [u] ὀφλεῖν] Scribebatur ὄφλειν, et infra ὄφλων. φιλειν pr. S. [x] μὲν om. r. [y] τούτων γ' οὐδεὶς] τούτων οὐδεὶς A.r. γ' οὐδεὶς τούτων F.

προικὸς τῆς ἀδελφῆς, ἣν [z] οὗτος [a] καθυφεῖκεν ὑπὲρ τοῦ
καὶ αὐτὸς ἔχειν ὅσα βούλοιτο τῶν ἐμῶν, ἀκούσατε, καὶ 855
[b] σκοπεῖθ' ὡς δικαίως [c] τ' ὤφληκε καὶ οὐδὲν ἦν Μιλύαν
44 περὶ τούτων βασανιστέον. περὶ μὲν γὰρ ὧν [d] καθυφεῖκας,
νόμος ἔστι, διαρρήδην ὃς κελεύει σε ὁμοίως ὀφλισκάνειν
ὥσπερ ἂν αὐτὸς ἔχῃς· ὥστε τί τῷ νόμῳ καὶ τῇ βασάνῳ;
περὶ [e] δ' αὖ τῆς ἐκδόσεως, ἐπικοινωνήσαντες τῷ Ξούθῳ
[f] καὶ διανειμάμενοι τὰ χρήματα καὶ τὰς [g] συγγραφὰς
ἀνελόντες, καὶ πάνθ' ὃν τρόπον [h] ἐβούλεσθε κατασκευά-
σαντες, καὶ διαφθείραντες τὰ γράμμαθ', ὡς ὑμῶν [i] ὁ
Δήμων κατεμαρτύρει, [k] φενακίζετε καὶ τουτουσὶ [l] παρα-
45 κρούσασθαι ζητεῖτε. περὶ τοίνυν τῶν κλινοποιῶν, εἰ [m] σὺ
λαβὼν ἀργύριον καὶ πολλὰ [n] ἰδίᾳ κερδάνας ἐπὶ τοῖς
ἐμοῖς δανείζων, ὃν καὶ [o] τοὺς ἄλλους προσῆκε κωλύειν,
εἶτ' ἀφανεῖς πεποίηκας, τί σοι [p] ποιήσωσιν οἱ μάρτυρες;
οὐ γὰρ οὗτοί γε μεμαρτυρήκασιν ὡς [q] ὡμολόγεις ἐπὶ τοῖς
ἐμοῖς δανείζειν καὶ λαβεῖν τἀνδράποδα ὡς [r] σαυτὸν,
ἀλλ' ἐν τῷ λόγῳ [s] τοῦτ' ἔγραψας [t] σὺ, κατεμαρτύρησαν
46 δὲ οἱ μάρτυρες. ἀλλὰ μὴν [u] περί [x] γε τοῦ ἐλέφαντος
καὶ τοῦ σιδήρου, [y] πάντας ἔγωγέ φημι τοὺς οἰκέτας εἰ-
δέναι τοῦτον πωλοῦντα, καὶ παραδοῦναι καὶ τότε καὶ
νῦν ἤθελον αὐτῷ τούτων ὅντινα βούλοιτο [z] λαβὼν βασα-

[z] οὗτος] αὐτὸς A.s. [a] καθυφεῖκεν S. qui accentu caret. Legebatur καθυφῆκεν. καθηφεικεν pr. S. ut videtur. [b] σκοπεῖθ' F. σκοπεῖτε A.S.r. σκοπεῖσθ' vulgo. [c] τ' om. F. [d] καθυφεῖκας] καθύφεικας S. Legebatur καθυφῆκας. [e] δ' αὖ τῆς] δὲ ταύτης τῆς S. [f] Post καὶ literæ quattuor erasæ in S. [g] συγγραφὰς] συνθήκας A.r. [h] ἐβούλεσθε] ἐβούλοντο A.S.r. [i] ὁ] εἷς A.r. [k] φενακίζετε] φενακίζεσθε F. [l] παρακρούσασθαι] παρακρούεσθαι F. [m] σὺ λαβὼν] συλλαβὼν F. [n] ἰδίᾳ κερδάνας] διεκερδανας S. [o] τοὺς ἄλλους] τοῖς ἄλλοις A.r. [p] ποιήσωσιν] ποιήσωσιν (ου supra ω) F. ποιήσουσιν A.r. [q] ὡμολόγεις correctus a m. recentiore S. Legebatur ὁμολογεῖς. Sic ὁμολόγητο pro ὡμολόγητο pr. S. p. 857, 18. [r] σαυτὸν] αὐτὸν r. [s] τοῦτ' ἔγραψας σὺ] ταῦτ' ἐγραψας A.r. ταῦτα γέγραφας σύ F. [t] σὺ, κατεμαρτύρησαν] συγκατεμαρτύρησαν A.r. Idem vel συνκατεμαρτύρησαν fuit in S. in quo litera una post συ erasa. [u] περί γε] καὶ περὶ A.F.r. [x] γε τοῦ] τοῦ γ' F. [y] πάντας ἔγωγέ φημι] ἐγώ φημι πάντας F. πάντας ἐγώ φημι A.r. [z] λαβὼν] τινα A.r.

νίζειν. εἰ τοίνυν φήσει με, τὸν εἰδότα οὐκ ἐθέλοντα [a] ἐκ-
δοῦναι, τοὺς οὐκ εἰδότας [b] ἐκδιδόναι, πολὺ [c] δὴ μᾶλλον
[d] αὐτῷ παραλαβεῖν φανήσεται προσῆκον· εἰ γάρ, [e] οὓς ὡς
εἰδότας ἐξεδίδουν ἐγώ, μηδὲν ἔχειν ἔφασαν τούτων αὐτόν,
47 ἀπήλλακτο δήπουθεν ἂν τῆς αἰτίας. ἀλλ' οὐχὶ τοιοῦτόν
ἐστιν, ἀλλὰ σαφῶς ἂν ἐξηλέγχθη πωλῶν καὶ τὴν τιμὴν
κεκομισμένος. διόπερ τοὺς [f] ὁμολογουμένως δούλους πα- 856
ραβὰς τὸν ἐλεύθερον ἠξίου βασανίζειν, [g] ὃν οὐδ' ὅσιον
παραδοῦναι, τὸ πρᾶγμα οὐκ [h] ἄγειν εἰς ἔλεγχον ζητῶν,
ἀλλὰ μὴ παραλαμβάνων βουλόμενός τι δοκεῖν λέγειν.
περὶ τοίνυν [i] πάντων τούτων, πρῶτον μὲν περὶ τῆς προικός,
[k] εἶθ' ὑπὲρ ὧν [l] καθυφεῖκεν, εἶθ' ὑπὲρ τῶν ἄλλων, ἀναγνώ-
σεται τούς τε νόμους καὶ τὰς μαρτυρίας, ἵν' εἰδῆτε.

48 [m] ΝΟΜΟΙ. ΜΑΡΤΥΡΙΑΙ.

Οὐ τοίνυν μόνον ἐκ τούτων ἂν γνοίητε ὅτι δεινὸν οὐδ'
ὁτιοῦν πέπονθε τὸν ἄνθρωπον οὐκ ἐκδόντος ἐμοῦ βασανί-
ζειν, ἀλλὰ καὶ τὸ πρᾶγμα αὐτὸ [n] εἰ σκέψαισθε. θῶμεν
γὰρ [o] δὴ τὸν Μιλύαν ἐπὶ τοῦ τροχοῦ στρεβλοῦσθαι, καὶ
τί μάλιστ' ἂν αὐτὸν εὔξαιτο λέγειν σκοπῶμεν. οὐχ ὅτι
τῶν χρημάτων οὐδ' ὁτιοῦν οἶδε τοῦτον ἔχοντα; [p] καὶ δὴ
[q] λέγει. διὰ [r] τοῦτ' ἄρ' οὐκ ἔχει; πολλοῦ [s] γε δεῖ· τοὺς γὰρ
εἰδότας [t] καὶ διδόντας καὶ παρόντας μάρτυρας παρεσχόμην
ἐγώ. τεκμήριον δὲ καὶ πίστις ἐστὶν οὐκ εἴ τίς [u] τι μὴ οἶδε
49 τοῦτον ἔχοντα (πολλοὶ γὰρ ἂν εἶεν), ἀλλ' εἴ τις οἶδεν. κα-
ταμαρτυρησάντων τοίνυν [x] σου τοσούτων μαρτύρων τίνι

[a] ἐκδοῦναι margo ed. Paris. a 1570. δοῦναι libri. [b] ἐκδιδόναι] ἐνδιδόναι F. [c] δὴ] δήπου A.r. [d] αὐτῷ] αὑτῷ S. [e] οὓς ὡς] οὕτως ὡς F. [f] ὁμολογουμένως] ὁμολογουμένους F. [g] ὃν] τὸν F. [h] ἄγειν] ἀγαγεῖν F. [i] πάντων τούτων] τούτων πάντων A.r. [k] εἶθ' ὑπὲρ ὧν καθυφεῖκεν om. A.r. [l] καθυφεῖκεν] Legebatur καθυφῆκεν. καθ' ὑφεῖκεν S. apostropho et spiritu a m. antiqua, circumflexo a m. rec. additis. [m] ΝΟΜΟΙ om. S. [n] εἰ σκέψαισθε Wolfius, εἰ σκέψεσθε S. εἰ σκέψησθε A.r. σκέψασθε F. [o] δὴ] ἤδη A.r. [p] καὶ δὴ] καὶ δεῖ S. [q] λέγει] λέγειν pr. S. [r] τοῦτ'] ταῦτ' r. [s] γε] γε καὶ A.F.r. [t] καὶ διδόντας addidi ex S. Malim autem δόντας. [u] τι pr. omissum superscripsit librarius. [x] σου τοσούτων S. τοσούτων σου vulgo.

τῶν ψευδομαρτυριῶν ἐπεσκήψω; δεῖξον. ἀλλ' οὐκ ἂν
ἔχοις δεῖξαι. καίτοι πῶς οὐ σαφῶς σὺ σαυτὸν ἐξελέγχεις,
ὅτι ψεύδει δεινὰ πεπονθέναι φάσκων καὶ τὴν [y] δίκην ἀδίκως
ὠφληκέναι τὸν ἄνθρωπον οὐ παραλαβών, ὃς τοὺς ταῦτα
μαρτυρήσαντας ἔχειν σε καὶ λαβεῖν, [z] περὶ ὧν ὡς οὐ
καταλειφθέντων [a] σὺ τὸν Μιλύαν [b] ἐξήτεις, ἀφῆκας τῶν
ψευδομαρτυριῶν; [c] οὓς πολὺ κάλλιον ἦν, εἴπερ ἠδίκησο,
διώκειν. ἀλλ' οὐκ ἠδικημένος [d] σὺ συκοφαντεῖς.
50 Πολλαχόθεν μὲν οὖν ἄν τις [e] ἴδοι τὴν σὴν πονηρίαν, 857
μάλιστα δ', εἰ περὶ τῆς διαθήκης ἀκούσειεν. τοῦ γὰρ πα-
τρός, [f] ὦ ἄνδρες δικασταί, τὰ καταλειφθέντα [g] πάντα ἐν
τῇ διαθήκῃ γράψαντος, καὶ τὸν οἶκον ὅπως [h] μισθώσουσι,
ταύτην μὲν οὐκ ἀπέδωκεν, ἵνα μὴ τὸ πλῆθος εὕροιμι ἐγὼ
τῶν χρημάτων [i] ἐξ αὐτῆς, ὡμολόγει δὲ κεκτῆσθαι ταῦθ',
ἃ [k] μάλιστ' οὐχ οἷόν τ' ἦν ἐξάρνῳ γενέσθαι διὰ τὴν περι-
51 φάνειαν. ἦν δὲ ταῦθ', ἃ γεγράφθαι φησὶν ἐν τῇ διαθήκῃ,
δύο μὲν τάλαντα Δημοφῶντα λαβεῖν εὐθύς, τὴν δ' ἀδελ-
φὴν ὅταν ἡλικίαν ἔχῃ (τοῦτο δ' ἤμελλεν εἰς ἔτος δέκατον
γενήσεσθαι), τοῦτον δ' ὀγδοήκοντα μνᾶς καὶ τὴν μητέρα
τὴν ἐμὴν καὶ τὴν οἰκίαν οἰκεῖν, Θηριππίδην δ' ἑβδομή-
κοντα μνᾶς λαβόντα καρπώσασθαι, [l] ἕως ἀνὴρ [m] ἐγὼ
γενοίμην. τὰ δ' ἄλλα, ὅσ' ἐμοὶ χωρὶς τούτων κατελεί-
φθη, καὶ [n] τὸ μισθοῦν τὸν οἶκον [o] ἠφάνιζεν ἐκ τῆς διαθή-
κης, οὐ [p] συμφέρον [q] αὐτῷ νομίζων ταῦτ' ἐπιδειχθῆναι
52 παρ' ὑμῖν. ἐπειδὴ τοίνυν [r] ὡμολόγητο ὑπ' αὐτοῦ [s] τούτου

[y] δίκην] διαθήκην A.r. [z] περὶ ὧν] περιὸν r. et correctus A. qui pr. περιὼν habuit. [a] σὺ] σοι S. [b] ἐξήτεις] ἀνεξήτεις S. literis ἀν punctis notatis. [c] οὓς] καὶ οὓς r. [d] σὺ addidi ex S. [e] ἴδοι] ειδοι S. [f] ὦ ἄνδρες δικασταὶ om. A.r. [g] πάντα om. S. Conf. p. 826, 10. [h] μισθώσουσι] μισθώσωσι A.r. μισθώσωσιν S, qui sæpissime ν ante consonantes addit. [i] ἐξ] τῶν ἐξ S. [k] μάλιστ'] μάλισθ' S. Vid. ad p. 814, 24. [l] ἕως] ῥθ' ἕως ἂν A. ἕως ἂν r. τέως F. τέως ἂν S. [m] ἐγὼ om. F. [n] τὸ μισθοῦν] (γρ. τὸ μισθοῦν) τὸν μισθὸν r. [o] ἠφάνιζεν] ἠφάνισεν F. [p] συμφέρον A.S.r. Legebatur συμφέρειν. [q] αὐτῷ νομίζων ταῦτ'] ταῦτα νομίζων αὐτῷ F. [r] ὡμολόγητο S. litera prima, quæ ο fuit, a correctore in ω mutata. Legebatur ὡμολογεῖτο. [s] τούτου] τὸ F.

τὸν πατέρα ἡμῶν τελευτῶντα τοσοῦτον ἀργύριον τούτων ἑκάστῳ δοῦναι, τεκμήριον οἱ δικάζοντες τότε τὰς ὁμολογίας ἐποιήσαντο ταύτας τοῦ πλήθους τῶν χρημάτων· ὅστις γὰρ ἀπὸ τῶν ὄντων τέτταρα τάλαντα καὶ τρισχιλίας προῖκα καὶ δωρεὰν ἔδωκε, φανερὸν ἦν ὅτι οὐκ ἀπὸ μικρᾶς οὐσίας, ἀλλὰ πλέον ἢ διπλασίας ἧς ἐμοὶ κατέ-
53 λιπε ταῦτ' ἀφεῖλεν· οὐ γὰρ ἂν ἐδόκει τὸν μὲν υἱὸν ἐμὲ πένητα βούλεσθαι καταστῆσαι, τούτους δὲ πλουσίους ὄντας ἔτι πλουσιωτέρους [t]ποιῆσαι ἐπιθυμεῖν, ἀλλ' ἕνεκα τοῦ πλήθους τῶν ἐμοὶ καταλειπομένων Θηριππίδῃ τε τὰς ἑβδομήκοντα μνᾶς καὶ Δημοφῶντι τὰ δύο τάλαντα, 858 οὔπω μέλλοντι τῇ ἀδελφῇ τῇ ἐμῇ [u]συνοικήσειν, καρποῦσθαι δοῦναι. ταῦτα δὴ τὰ χρήματα οὐδαμοῦ παραδοὺς ἐφαίνετο, οὐδ' ἐλάττω μικροῖς· ἀλλὰ τὰ μὲν [x]ἀνηλωκέναι, τὰ δ' οὐ λαβεῖν ἔφη, τὰ δ' οὐκ εἰδέναι, τὰ δὲ τὸν δεῖν' ἔχειν, τὰ δ' ἔνδον εἶναι, τὰ δὲ [y]πάντα μᾶλλον ἢ ὅπου παρέδωκεν εἶχε λέγειν.

54 Περὶ δὲ τοῦ [z]μὴ καταλειφθῆναι τὰ χρήματ' ἔνδον βούλομαι σαφῶς ὑμῖν ἐπιδεῖξαι ψευδόμενον. τοῦτον γὰρ τὸν λόγον [a]καθεῖκεν, ἐπειδὴ τὰ χρήματα μὲν πολλὰ [b]πέφηνεν ὄντα, οὐκ εἶχε δ' ἐπιδεῖξαι ταῦθ' ὡς [c]ἀποδέδωκεν, ἵν' ἐξ [d]εἰκότος οὐδὲν προσῆκον ἡμῖν φανῇ κομί-
55 ζεσθαι τά γ' ὄντα παρ' ἡμῖν. εἰ μὲν [e]τοίνυν ὁ πατὴρ ἠπίστει τούτοις, δῆλον [f]ὅτι οὔτ' ἂν τἄλλα ἐπέτρεπεν οὔτ' ἂν [g]ἐκεῖν' οὕτω καταλιπὼν αὐτοῖς ἔφραζεν· ὥστε πόθεν ἴσασιν; εἰ δ' ἐπίστευεν, οὐκ ἂν δήπου τὰ μὲν πλεῖστ' αὐτοῖς τῶν χρημάτων [h]ἐνεχείρισε, τῶν δ' οὐκ ἂν κυρίους ἐποίησεν, οὐδ' ἂν τῇ μὲν μητρί μου ταῦτα φυλάττειν

[t] ποιῆσαι ἐπιθυμεῖν] ἐπιθυμῆσαι ποιῆσαι F. [u] συνοικήσειν] συνοικεῖν F. [x] ἀνηλωκέναι A.S.r. ἀναλωκέναι vulgo. [y] πάντα] ἅπαντα r. [z] μὴ om. F. [a] καθεῖκεν omisso accentu S. Legebatur καθῆκεν. [b] πέφηνεν] ἀπέφηνεν A.S.r. [c] ἀποδέδωκεν] ἀπέδωκεν A.r. [d] εἰκότος—ἡμῖν—ἡμῖν] εἰκότων—ὑμῖν—ὑμῖν A.r. [e] τοίνυν] οὖν F. [f] ὅτι pr. omissum supplevit librarius in S. [g] ἐκεῖν' οὕτω] ἐκείνως (α supra ω) F. ἐκεῖνα S. ταῦθ' οὕτω est p. 830, 23. [h] ἐνεχείρισε F. et p. 830. Legebatur ἐνεχείριζε.

παρέδωκεν, αὐτὴν δὲ ταύτην ἑνὶ τῶν ἐπιτρόπων [i]τούτῳ
γυναῖκ' [k]ἠγγύησεν· οὐ γὰρ ἔχει λόγον σῶσαι μὲν τὰ
χρήματα δι' ἐκείνης ζητεῖν, ἕνα δὲ τῶν ἀπιστουμένων
56 [l]ταύτης [m]κἀκείνων κύριον ποιεῖν. ἔτι δὲ [n]τοῦτον, εἴ τι
τούτων ἀληθὲς ἦν, οἴεσθ' οὐκ ἂν αὐτὴν λαβεῖν δοθεῖσαν
ὑπὸ τοῦ πατρός; ὃς τὴν μὲν προῖκ' [o]αὐτῆς ἤδη, τὰς ὀγ-
δοήκοντα μνᾶς, ἔχων ὡς αὐτῇ συνοικήσων, τὴν Φιλωνίδου
τοῦ [p]Μελιτέως θυγατέρα ἔγημε δι' [q]αἰσχροκέρδειαν, ἵνα
πρὸς αἷς εἶχε παρ' ἡμῶν, ἑτέρας ὀγδοήκοντα μνᾶς λάβοι
57 παρ' ἐκείνου· τεττάρων δὲ ταλάντων ἔνδον ὄντων καὶ
ταῦτ' ἐκείνης ἐχούσης, ὡς οὗτός φησιν, οὐκ ἂν [r]ἡγεῖσθε 859
αὐτὸν κἂν ἐπιδραμεῖν, ὥστε γενέσθαι μετ' ἐκείνης [s]αὐτῶν
κύριον; [t]ἢ τὴν μὲν φανερὰν οὐσίαν, ἣν καὶ ὑμῶν πολλοὶ
συνῄδεσαν ὅτι κατελείφθη, μετὰ τῶν συνεπιτρόπων οὕτως
αἰσχρῶς [u]διήρπασεν· ὧν δ' οὐκ ἠμέλλεθ' ὑμεῖς ἔσεσθαι
μάρτυρες, ἀπέσχετ' ἂν ἐξὸν αὐτῷ λαβεῖν; καὶ τίς ἂν
58 πιστεύσειεν; οὐκ ἔστι [x]ταῦτα, ὦ ἄνδρες δικασταί, οὐκ
ἔστιν. ἀλλὰ τὰ μὲν χρήματα, ὅσα κατέλιπεν ὁ πατήρ,
[y]ἐκείνῃ τῇ ἡμέρᾳ κατωρύττετο ὅτε εἰς τὰς [z]τούτων χεῖρας
ἦλθεν, οὗτος δ' οὐκ ἔχων ἂν εἰπεῖν [a]ὅπου τι τούτων ἀπέ-
δωκεν, ἵν' εὔπορος εἶναι δοκῶν μηδενὸς τύχω [b]παρ' ὑμῶν
ἐλέου, τούτοις χρῆται τοῖς λόγοις.

59 Πολλὰ μὲν οὖν ἔγωγ' ἔχω καὶ ἄλλα τούτου κατηγο-
ρεῖν· οὐκ ἐνδέχεται δέ μοι, τῷ μάρτυρι τοῦ κινδύνου περὶ
τῆς ἐπιτιμίας ὄντος, περὶ ὧν αὐτὸς ἠδίκημαι λέγειν.

[i] τούτῳ] τούτων F.S. [k] ἠγγύησεν] ἐνεγύησεν A. ἐνεγγύησεν r. [l] ταύτης] καὶ ταύτης A.r. καὶ αὐτῆς p. 831. [m] κἀκείνων] κἀκεῖνον F. [n] τοῦτον, εἴ τι τούτων] εἴ τι τούτων A.r. τούτων εἴ τι F. et p. 831. [o] αὐτῆς] αὐτὸς S. τῆς μητρὸς αὐτὸς A.r. [p] Μελιτέως] μελιτιέως A. [q] αἰσχροκέρδειαν] αἰσχροκερδίαν S. [r] ἡγεῖσθε] ἡγεῖσθαι A. [s] αὐτῶν] αὐτὸν F.r. [t] ἢ] correctus r. [u] διήρπασεν A.S.r. et p. 831, 15. διήρπακεν (σ superscr.) F. διήρπακεν vulgo. [x] ταῦτα] τοῦτ' A.r. [y] ἐκείνῃ F.S. Legebatur ἐν ἐκείνῃ. [z] τούτων χεῖρας] χεῖρας τούτων F. χεῖρας τούτου r. [a] ὅπου] ὅποι S. [b] παρ' ὑμῶν—ἔγωγ' ἔχω om. S. oculis librarii a τύχω ad ἔχω aberrantibus. Supplevit in margine manus ea quæ varias lectiones adscripsit.

ἀλλὰ βούλομαι πρόκλησιν ὑμῖν ἀναγνῶναι· γνώσεσθε γὰρ ἐξ αὐτῆς ἀκούσαντες, τὰ μεμαρτυρημένα ὡς ἔστιν ἀληθῆ, καὶ τὸν Μιλύαν ὅτι νῦν [c] μὲν περὶ πάντων [d] φησὶν ἐξαιτεῖν, τὸ δὲ πρῶτον ὑπὲρ τριάκοντα [e] μόνον μνῶν [f] ἐξήτει, καὶ [g] προσέτι ζημιοῦται κατὰ τὴν μαρτυρίαν οὐδέν.

60 ἐγὼ γὰρ πανταχῇ τοῦτον [h] ἐξελέγξαι βουλόμενος, καὶ τὰς τέχνας αὐτοῦ καὶ τὰς πανουργίας ἐμφανεῖς ὑμῖν καταστῆσαι πειρώμενος, [i] ἠρόμην αὐτὸν πόσα εἴη τὰ χρήματα τὸ πλῆθος, καθ᾽ ἃ τὸν Μιλύαν ὡς [k] συνειδότα ἐξήτησεν· οὗτος δὲ ψευσάμενος περὶ πάντων ἔφησεν. "περὶ "μὲν [l] τοίνυν," ἔφην ἐγώ, "τούτου παραδώσω σοι τὸν

61 "[m] ἔχοντα [n] τἀντίγραφα, ὡς σύ με προὐκαλέσω. προομόσαντος [o] δέ μου τὸν ἄνθρωπον ὡς ὡμολόγησας ἐλεύ- 860 "θερον εἶναι καὶ κατὰ Δήμωνος ἐμαρτύρησας, ἂν ἀπομόσῃς τἀναντία τούτων κατὰ τῆς θυγατρὸς, ἀφίημί "σοι πάνθ᾽ ὑπὲρ ὧν ἂν ἐξαιτήσας φανῇς τὸ πρῶτον βασανιζομένου τοῦ παιδὸς, καὶ [p] τοσούτῳ σοι γενέσθω τὸ "τίμημα ἔλαττον ὧν ὦφλες, [q] καθ᾽ ἃ τὸν Μιλύαν ἐξήτησας, ἵνα μηδὲν ζημιωθῇς παρὰ τοὺς μάρτυρας."

62 ταῦτ᾽ ἐμοῦ προκαλεσαμένου πολλῶν παρόντων οὐκ ἂν ἔφη ποιῆσαι. καίτοι ὅστις αὐτὸς αὑτῷ ταῦτ᾽ ἔφυγε δικάσαι, πῶς ὑμᾶς χρὴ τοὺς ὀμωμοκότας τούτῳ πειθομένους καταγνῶναι τῶν μαρτύρων, ἀλλ᾽ οὐ [r] τοῦτον ἀναισχυντότατον πάντων ἀνθρώπων εἶναι νομίζειν; ἀλλὰ μὴν ὡς ἀληθῆ λέγω, κάλει τούτων τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

63 Οὐ τοίνυν ἐγὼ μὲν ταῦθ᾽ ἕτοιμος ἦν. οἱ δὲ μάρτυρες οὐ

[c] μὲν om. F.S. [d] φησὶν ἐξαιτεῖν] ἐξαιτεῖν φησὶ A.r. [e] μόνον] μόνων S. [f] ἐξήτει] ἐζήτει r. [g] προσέτι] πρὸς ὅτι A.r. [h] ἐξελέγξαι] ἐλέγξαι pr. S. [i] ἠρόμην] ἠράμην A. [k] συνειδότα] εἰδότα A.r. [l] τοίνυν ἔφην ἐγὼ τούτου] τούτων ἔφην ἐγὼ γρ. F. et S. [m] ἔχοντα τἀντίγραφα] ἔχοντ᾽ ἀντίγραφα A.r. [n] τἀντίγραφα] τἀντηγράφα S. [o] δέ μου F.S. Legebatur δ᾽ ἐμοῦ. [p] τοσούτῳ] τοσοῦτο (superscr. ον) F. [q] καθ᾽ ἃ] καθὸ F. [r] τοῦτον] τοῦτον τὸν F.

τὴν αὐτὴν [s] γνώμην ἐμοὶ εἶχον, [t] ἀλλὰ κἀκεῖνοι παρα-
στησάμενοι τοὺς παῖδας, ὑπὲρ ὧν ἐμαρτύρησαν, πίστιν
ἐπιθεῖναι ἠθέλησαν κατ' ἐκείνων. [u] ὁ δ' οὔτ' ἐκείνοις οὔτ'
ἐμοὶ δοῦναι τὸν ὅρκον ἠξίωτεν, ἀλλ' ἐπὶ λόγοις [x] μεμη-
χανημένοις καὶ μάρτυσιν οὐ τἀληθῆ μαρτυρεῖν εἰθισμένοις
τὸ πρᾶγμα καταστήσας ἐλπίζει ῥᾳδίως ὑμᾶς ἐξαπατήσειν.
λαβὲ οὖν αὐτοῖς καὶ ταύτην τὴν μαρτυρίαν.

ΜΑΡΤΥΡΙΑ.

64 Πῶς οὖν ἄν τις σαφέστερον ἐξελέγξειε συκοφαντου-
μένους ἡμᾶς καὶ [y] καταμεμαρτυρημένον τἀληθῆ καὶ τὴν
δίκην δικαίως ὠφλημένην, ἢ τοῦτον τὸν τρόπον ἐπιδεικνὺς
οἰκέτην τὸν τὴν μαρτυρίαν γράφοντ' οὐκ [z] ἐθελήσαντα
τοῦτον βασανίζειν περὶ αὐτῶν τῶν μεμαρτυρημένων, Αἴσιον 861
τὸν ἀδελφὸν αὐτοῦ ταῦτα μεμαρτυρηκότα ἅ φησιν εἶναι
65 ψευδῆ, τοῦτον αὐτὸν ταὐτὰ τοῖς μάρτυσιν οὓς διώκει
μεμαρτυρηκότα [a] μοι κατὰ Δήμωνος ὄντος [b] αὐτῷ θείου
καὶ συνεπιτρόπου, τὰς θεραπαίνας οὐκ ἐθελήσανθ' ὑπὲρ
τοῦ τὸν ἄνθρωπον ἐλεύθερον [c] εἶναι βασανίζειν, τὴν μητέρα
τὴν ἐμαυτοῦ πίστιν [d] περὶ τούτων ἐπιθεῖναι καθ' ἡμῶν ἐθέ-
λουσαν, τῶν ἄλλων οἰκετῶν οὐκ [e] ἐθέλοντα τοῦτον παρα-
λαμβάνειν [f] οὐδένα τῶν πάντ' εἰδότων [g] μᾶλλον ἢ [h] Μιλύας,
τῶν μαρτύρων οἳ κατεμαρτύρουν χρήματ' ἔχειν αὐτὸν οὐ-
66 δενὶ τῶν [i] ψευδομαρτυριῶν ἐπεσκημμένον, τὴν διαθήκην
οὐκ [j] ἀποδόντα οὐδὲ τὸν οἶκον μισθώσαντα τῶν νόμων
κελευόντων, πίστιν ἐπιθεῖναι [k] προομνύντος ἐμοῦ καὶ τῶν

[s] γνώμην ἐμοὶ] μοι γνώμην F. [t] ἀλλὰ κἀκεῖνοι] ἀλλ' ἐκεῖνοι S. [u] ὁ δ' A.r. Legebatur ὁ δ' οὔτ' αὐτοῖς. οὔτ' αὐτοσ S., ι ab eadem, ut videtur, m. scripto. [x] μεμηχανημένοις] μεμνημένοις S. [y] καταμεμαρτυρημένον] καταμεμαρτυρημένους A.r. [z] ἐθελήσαντα] ἐθελήσοντα S. [a] μοι] ἐμοὶ A.r. [b] αὐτῷ] αὐτοῦ A.r. [c] εἶναι om. pr. S.: addidit m. antiqua. [d] περὶ in S. supplevit manus antiqua in spatio quod vacuum consulto reliquerat librarius. [e] ἐθέλοντα] ἐθελήσαντα A.r. [f] οὐδένα τῶν] οὐδὲν αὐτῶν F. τῶν (omisso οὐδένα) S. [g] μᾶλλον ἢ Μιλύας] ἢ Μιλύας μᾶλλον S.: sed rectum ordinem restituit librarius lineolis appositis. [h] Μιλύας] μιλύαν A. [i] ψευδομαρτυριῶν] ψευδομαρτύρων F. [j] ἀποδόντα] ἀποδιδόντα A. ἐπιδιδόντα r. [k] προομνύντος] προομνύοντος A.r.

μαρτύρων, ὥστ' ἀφεῖσθαι τοῦτον τῶν χρημάτων καθ' ἃ
τὸν Μιλύαν [l]ἐξήτησεν, οὐκ οἰηθέντα δεῖν; μὰ τοὺς θεοὺς,
ἐγὼ μὲν [m]οὐκ ἂν ἔχοιμι ἐπιδεῖξαι [n]ταῦτ' ἀκριβέστερον
67 ἢ τοῦτον τὸν τρόπον. οὕτω τοίνυν φανερῶς τῶν [o]μαρτύρων
καταψευδόμενος καὶ ἐκ τῶν πραγμάτων [p]οὐδὲν ζημιού-
μενος καὶ τὴν δίκην δικαίως ὠφληκὼς ὅμως ἀναισχυντεῖ.
καὶ εἰ μὲν μὴ καὶ παρὰ τοῖς αὑτοῦ φίλοις καὶ παρὰ τῷ
διαιτητῇ προεγνωσμένος ἀδικεῖν τούτους ἐποιεῖτο τοὺς
68 λόγους, ἧττον [q]ἂν ἦν ἄξιον θαυμάζειν· νῦν δ' ἐπιτρέψαι
με πείσας [r]Ἀρχενέῳ καὶ Δρακοντίδῃ καὶ Φάνῳ τούτῳ
τῷ νῦν ὑπ' αὐτοῦ [s]φεύγοντι τῶν ψευδομαρτυριῶν, τούτους
μὲν ἀφῆκεν ἀκούσας αὐτῶν ὅτι, [t]εἰ μεθ' ὅρκου ταῦτα
διαιτήσουσι, καταγνώσονται τὴν ἐπιτροπήν, ἐπὶ τὸν κλη- 862
ρωτὸν δὲ διαιτητὴν ἐλθὼν καὶ οὐδὲν ἔχων ἀπολύσασθαι
69 τῶν ἐγκεκλημένων ὦφλε τὴν δίαιταν. οἱ δικασταὶ δ'
ἀκούσαντες, εἰς οὓς [u]ἐφῆκε, [x]ταὐτὰ καὶ τοῖς τούτου
φίλοις καὶ τῷ διαιτητῇ περὶ αὐτῶν ἔγνωσαν καὶ δέκα
ταλάντων ἐτίμησαν, οὐ μὰ Δί' οὐχ ὅτι τὸν Μιλύαν ὡμο-
λόγησεν εἶναι ἐλεύθερον (τοῦτο [y]μὲν γὰρ οὐδὲν ἦν), ἀλλ'
ὅτι πεντεκαίδεκα ταλάντων οὐσίας μοι καταλειφθείσης
70 τὸν μὲν οἶκον οὐκ ἐμίσθωσε, δέκα δ' ἔτη μετὰ τῶν συν-
επιτρόπων διαχειρίσας πρὸς μὲν τὴν συμμορίαν ὑπὲρ παι-
δὸς [z]ὄντος ἐμοῦ πέντε μνᾶς συνετάξατ' εἰσφέρειν, ὅσον-
περ Τιμόθεος ὁ Κόνωνος καὶ οἱ τὰ μέγιστα κεκτημένοι
τιμήματα εἰσέφερον, [a]χρόνον δὲ τοσοῦτον τὰ χρήματα
ταῦτα ἐπιτροπεύσας, ὑπὲρ ὧν τηλικαύτην αὐτὸς εἰσφορὰν
71 [b]ἠξίου εἰσφέρειν, ἐμοὶ μὲν τὸ καθ' αὑτὸν οὐδ' εἴκοσι μνῶν
ἄξια παρέδωκε, μετὰ δ' ἐκείνων ὅλα τὰ κεφάλαια καὶ

[l] ἐξήτησεν] ἐξήιτησαν F. [m] οὐκ ἂν] καν S. [n] ταῦτ'] τοῦτ' F. [o] μαρτύρων] τε μαρτύρων F. [p] οὐδὲν A.S.r. μηδὲν vulgo. [q] ἂν ἦν] ἦν ἂν r. [r] Ἀρχενέῳ] ἀρχιναίω A.r. αρχένεω S. ι ab eadem m. [s] φεύγοντι] φυγόντι A.r. [t] εἰ] οἱ F. [u] ἐφῆκε] ἔφη καὶ F. [x] ταὐτὰ] ταῦθ' ἃ A.r. [y] μὲν om. F. [z] ὄντος om. A.r. [a] χρόνον] χρόνου A.r. [b] ἠξίου] ἠξίωσεν F.

τὰς ἐπικαρπίας [c] ἀπεστέρηκεν. θέντες οὖν οἱ δικασταὶ τοῖς πᾶσι χρήμασιν [d] οὐκ ἐφ' ὅσῳ μισθοῦσι τοὺς οἴκους τόκον, ἀλλ' [e] ὃς ἦν ἐλάχιστος, εὗρον τὸ σύμπαν πλέον ἢ τριάκοντα [f] τάλαντ' αὐτοὺς ἀποστεροῦντας· διὸ τούτῳ τῶν δέκα ταλάντων ἐτίμησαν [g].

Λ.

ΠΡΟΣ ΟΝΗΤΟΡΑ ΕΞΟΥΛΗΣ Α.

ΥΠΟΘΕΣΙΣ.

Ἄφοβος, μέλλοντος αὐτῷ Δημοσθένους τὰς τῆς ἐπιτροπῆς δίκας λαγχάνειν, 863
ἔγημεν Ὀνήτορος ἀδελφὴν ἐκδοθεῖσαν αὐτῷ ὑπὸ Τιμοκράτους τοῦ προτέρου ἀνδρὸς, ἐπειδὴ ἐκεῖνος ἐπίκληρον λαμβάνειν ἤμελλε. μετὰ δὲ ταῦτα Ὀνήτωρ, ἤδη φεύγοντος Ἀφόβου τὴν τῆς ἐπιτροπῆς δίκην, ὡς ὁ ῥήτωρ ἀποδείκνυσι, πλασάμενος [h] ἀπόλειψιν τὴν ἀδελφὴν παρ' [i] ἑαυτὸν ἀπήγαγεν. ἐπεὶ δὲ Ἄφοβος ἑάλω, ἐπὶ τὴν οὐσίαν αὐτοῦ τὸν ῥήτορα ἀφικνούμενον καὶ εἰς τὰ χωρία εἰσιόντα ἐξήλασεν Ὀνήτωρ, φάσκων τῆς ἀδελφῆς εἶναι τὰ χωρία, εἰς τὴν προῖκα ἀποτιμηθέντα. διόπερ ἐξούλης αὐτῷ δικάζεται ὁ Δημοσθένης ὡς ἐκ τῶν Ἀφόβου πρότερον, νῦν δὲ ἑαυτῷ γεγενημένων, ἐξεληλαμένος, φάσκων οὐκ εἰληφέναι τὴν προῖκα Ἄφοβον, ἀλλὰ τὴν γυναῖκα μόνον· τὴν γὰρ προῖκα μὴ βουληθῆναι Ὀνήτορα [k] δοῦναι, διότι κινδυνεύοντα τὸν Ἄφοβον ἑώρα καὶ τὴν οὐσίαν αὐτοῦ. νῦν οὖν, φησὶ, πλαστὴ μὲν ἡ ἀπόλειψις, ὑπὲρ δὲ ὧν οὐκ εἴληφεν Ἄφοβος, τὸ χωρίον ἀποτετίμηται ἐπ' ἀποστερήσει τῶν ἐμῶν. τὸ δὲ τῆς ἐξούλης ὄνομα Ἀττικόν· ἐξέλλειν γὰρ ἔλεγον τὸ ἐξωθεῖν καὶ ἐκβάλλειν βίᾳ.

ΠΕΡΙ πολλοῦ ποιούμενος, ὦ ἄνδρες δικασταὶ, μήτε 864
πρὸς Ἄφοβόν μοι συμβῆναι τὴν γενομένην διαφορὰν μήτε τὴν νῦν οὖσαν πρὸς Ὀνήτορα τουτονὶ, κηδεστὴν ὄντα αὐτοῦ, πολλὰ καὶ δίκαια προκαλεσάμενος ἀμφοτέρους

c ἀπεστέρηκεν S. Legebatur ἀπεστέρησε. d οὐκ] οὐδ' F. e ὃς ἦν] ὅσον ἦν S. f τάλαντα om. A.r. g In S. subscriptum πρὸς Ἄφοβον. Δ.

h ἀπόλειψιν Wolfius. ἀπολείψειν vulgo. i ἑαυτὸν] ἑαυτῶι F. k δοῦναι additum ex F.

οὐδενὸς ἠδυνήθην τυχεῖν τῶν μετρίων, ἀλλ' εὕρηκα πολὺ τοῦτον ἐκείνου δυσκολώτερον καὶ μᾶλλον ἄξιον [l] ὄντα
2 δοῦναι δίκην. τὸν μὲν γὰρ οἰόμενος δεῖν ἐν τοῖς φίλοις διαδικάσασθαι τὰ πρὸς ἐμὲ καὶ μὴ [m] λαβεῖν ὑμῶν πεῖραν οὐχ οἷός τ' ἐγενόμην πεῖσαι· τοῦτον δ' αὐτὸν αὑτῷ κελεύων γενέσθαι δικαστὴν, ἵνα μὴ παρ' ὑμῖν κινδυνεύσῃ, τοσοῦτον κατεφρονήθην, ὥστ' οὐχὶ μόνον λόγου τυχεῖν οὐκ ἠξιώθην, ἀλλὰ καὶ ἐκ τῆς γῆς, [n] ἣν Ἄφοβος ἐκέκτητο ὅτε ὠφλίσκανέ μοι τὴν δίκην, ὑβριστικῶς ὑπ' αὐτοῦ πάνυ
3 ἐξεβλήθην. [o] ἐπειδὴ οὖν [p] συναποστερεῖ τέ με τῶν ὄντων τῷ [q] ἑαυτοῦ κηδεστῇ, πιστεύων τ' εἰς ὑμᾶς εἰσελήλυθε ταῖς [r] αὑτοῦ παρασκευαῖς, ὑπόλοιπόν ἐστιν [s] ἐν ὑμῖν πειρᾶσθαι παρ' αὐτοῦ τῶν δικαίων τυγχάνειν. οἶδα μὲν οὖν, ὦ ἄνδρες δικασταὶ, ὅτι μοι πρὸς παρασκευὰς λόγων καὶ μάρτυρας οὐ τἀληθῆ μαρτυρήσοντας ὁ ἀγών ἐστιν· ὅμως μέντοι [t] τοσοῦτον οἶμαι διοίσειν [u] τῷ δικαιότερα τούτου
4 λέγειν, ὥστ' εἴ καί τις ὑμῶν πρότερον τοῦτον ἡγεῖτο εἶναι μὴ πονηρὸν, ἔκ [x] γε τῶν [y] πρὸς ἐμὲ πεπραγμένων [z] γνώ- 865
σεται ὅτι καὶ τὸν [a] παρεληλυθότα χρόνον ἐλάνθανεν αὐτὸν κάκιστος ὢν καὶ ἀδικώτατος [b] ἁπάντων. ἀποδείξω γὰρ αὐτὸν οὐ μόνον τὴν προῖκ' οὐ δεδωκότα, ἧς φησὶ νῦν [c] ἀποτετιμῆσθαι τὸ χωρίον, ἀλλὰ καὶ ἐξ ἀρχῆς τοῖς ἐμοῖς ἐπιβουλεύσαντα, καὶ πρὸς τούτοις τὴν μὲν γυναῖκ' οὐκ ἀπολελοιπυῖαν, ὑπὲρ ἧς ἐξήγαγέ με ἐκ ταύτης τῆς γῆς,
5 προϊστάμενον δ' ἐπ' ἀποστερήσει τῶν ἐμῶν Ἀφόβου καὶ τούτους ὑπομένοντα τοὺς ἀγῶνας. οὕτω μεγάλοις τεκμηρίοις καὶ φανεροῖς ἐλέγχοις, ὥσθ' ὑμᾶς [d] ἅπαντας εἴσε-

[l] ὄντα ante καὶ μᾶλλον A.r. [m] λαβεῖν] λαβὼν r. [n] ἣν] ἧς A.r. [o] ἐπειδὴ] ἐπεὶ r. [p] συναποστερεῖ τέ Reiskius. συναποστερεῖται A. συναπεστέρει S. ἀποστερεῖται F.r. [q] ἑαυτοῦ S. αὑτοῦ vulgo. [r] αὑτοῦ] αυτοῦ (ή) S. ἑαυτοῦ vulgo. [s] ἐν ὑμῖν] ὑμῖν F. [t] τοσοῦτον] τοσοῦτ' F. [u] τῷ] τὸ A.r. [x] γε om. A.r. [y] πρὸς ἐμὲ primo ab se omissum inseruit librarius in S. [z] γνώσεται] γνώσεσθε F.S. [a] παρεληλυθότα] ἄλλον A.r. [b] ἁπάντων] πάντων A.F.r. [c] ἀποτετιμῆσθαι] ἀποτιμήσασθαι F. [d] ἅπαντας] πάντας A F.r.

σθαι σαφῶς ὅτι δικαίως καὶ προσηκόντως οὗτος φεύγει ταύτην ὑπ' ἐμοῦ τὴν δίκην. ὅθεν δὲ ῥᾷστα [c] μαθήσεσθε περὶ αὐτῶν, ἐντεῦθεν ὑμᾶς καὶ ἐγὼ πρῶτον πειράσομαι διδάσκειν.

6 Ἐγὼ γάρ, ὦ ἄνδρες δικασταί, πολλούς τε ἄλλους Ἀθηναίων καὶ τοῦτον οὐκ ἐλάνθανον κακῶς ἐπιτροπευόμενος, ἀλλ' ἦν καταφανὴς εὐθὺς ἀδικούμενος· τοσαῦται πραγματεῖαι καὶ λόγοι [f] καὶ παρὰ τῷ ἄρχοντι καὶ παρὰ τοῖς ἄλλοις ἐγίγνοντο ὑπὲρ τῶν ἐμῶν. τό τε γὰρ πλῆθος τῶν καταλειφθέντων ἦν φανερόν, ὅτι τ' ἀμίσθωτον [g] τὸν οἶκον ἐποίουν οἱ [h] διαχειρίζοντες, ἵν' αὐτοὶ τὰ χρήματα καρποῖντο, οὐκ ἄδηλον ἦν. ὥστ' ἐκ τῶν γιγνομένων οὐκ ἔσθ' ὅστις οὐχ ἡγεῖτο τῶν εἰδότων δίκην με λήψεσθαι παρ' αὐτῶν, [i] ἐπειδὴ τάχιστ' ἀνὴρ εἶναι δοκι-
7 μασθείην. ἐν οἷς καὶ Τιμοκράτης καὶ Ὀνήτωρ ταύτην ἔχοντες διετέλεσαν τὴν διάνοιαν. τεκμήριον δὲ πάντων μέγιστον· οὗτος γὰρ [k] ἠβουλήθη μὲν Ἀφόβῳ δοῦναι τὴν ἀδελφήν, ὁρῶν τῆς τε αὐτοῦ πατρῴας [l] οὐσίας καὶ τῆς ἐμῆς οὐκ ὀλίγης αὐτὸν κύριον γεγενημένον, προέσθαι δὲ 866
τὴν προῖκ' οὐκ [m] ἐπίστευσεν, ὥσπερ εἰ τὰ τῶν ἐπιτροπευόντων [n] χρήματα ἀποτίμημα τοῖς ἐπιτροπευομένοις καθεστάναι νομίζων. ἀλλὰ τὴν μὲν ἀδελφὴν ἔδωκε, τὴν δὲ προῖκ' αὐτῷ Τιμοκράτης ἐπὶ πέντ' ὀβολοῖς [o] ὀφειλήσειν ὡμολόγησεν, ᾧ πρότερον ἡ γυνὴ συνοικοῦσα ἐτύγχανεν.
8 [p] ὀφλόντος δέ [q] μοι τὴν δίκην Ἀφόβου τῆς ἐπιτροπῆς καὶ οὐδὲν δίκαιον ποιεῖν ἐθέλοντος, διαλύειν μὲν ἡμᾶς Ὀνήτωρ [r] οὐδ' ἐπεχείρησεν, οὐκ ἀποδεδωκὼς δὲ τὴν προῖκα

[c] μαθήσεσθε] μ in litura duarum literarum habet S., litera etiam aliqua, quæ superscripta erat, erasa. [f] καὶ παρὰ τῷ] παρά τε τῷ A.r. [g] τὸν om. pr. S. Addidit manus si non eadem, certe antiqua. [h] διαχειρίζοντες] διαχειρίσαντες A.r. [i] ἐπειδὴ Dobræus. Legebatur ἐπειδὰν solœce: de quo dixit L. Dindorfius in Thesauro vol. 3. p. 1453. [k] ἠβουλήθη] ἐβουλήθη S. [l] οὐσίας post ἐμῆς A.r. [m] ἐπίστευσεν] ἐπίστευσαν F. ἐπίστευεν A.r. [n] χρήματα] χρημάτων F. [o] ὀφειλήσειν] ὀφλήσειν A.r. [p] ὀφλόντος pr. S. ὄφλοντος vulgo. [q] μοι] μου r. [r] οὐδ'] οὐκ A.F.r.

ἀλλ' αὐτὸς κύριος ὤν, ὡς ἀπολελοιπυίας τῆς ἀδελφῆς
καὶ δοὺς κομίσασθαι [s] δ' οὐ δυνάμενος, ἀποτιμήσασθαι
φάσκων τὴν γῆν ἐξάγειν μ' ἐξ αὐτῆς ἐτόλμησε· τοσοῦτον
[t] καὶ ἐμοῦ καὶ ὑμῶν καὶ τῶν [u] κειμένων νόμων κατεφρόνη-
9 σεν. καὶ τὰ μὲν γενόμενα, [x] καὶ δι' ἃ φεύγει τὴν δίκην
καὶ περὶ ὧν οἴσετε τὴν ψῆφον, ταῦτ' ἐστὶν, ὦ ἄνδρες δι-
κασταί· παρέξομαι δὲ [y] μάρτυρας πρῶτον μὲν [z] αὐτὸν
Τιμοκράτην, ὡς ὡμολόγησεν [a] ὀφειλήσειν τὴν προῖκα καὶ
τὸν τόκον ἀπεδίδου τῆς προικὸς Ἀφόβῳ κατὰ τὰς ὁμο-
λογίας, ἔπειθ' ὡς αὐτὸς Ἄφοβος ὡμολόγει κομίζεσθαι
τὸν τόκον παρὰ Τιμοκράτους. καί μοι λαβὲ τὰς μαρ-
τυρίας.

ΜΑΡΤΥΡΙΑΙ.

10 Ἐξ ἀρχῆς μὲν τοίνυν ὁμολογεῖται μὴ δοθῆναι τὴν
προῖκα μηδὲ γενέσθαι κύριον αὐτῆς Ἄφοβον. δῆλον δὲ
καὶ ἐκ τῶν εἰκότων ὅτι τούτων [b] ἕνεχ' ὧν εἴρηκα ὀφείλειν
εἵλοντο μᾶλλον ἢ καταμῖξαι τὴν προῖκα εἰς τὴν οὐσίαν
τὴν Ἀφόβου τὴν οὕτω [c] κινδυνευθήσεσθαι μέλλουσαν. οὔτε
γὰρ δι' ἀπορίαν οἷόν τ' εἰπεῖν ὡς οὐκ εὐθὺς ἀπέδοσαν·
Τιμοκράτει τε γάρ ἐστιν οὐσία πλέον ἢ δέκα ταλάντων,
Ὀνήτορί τε πλέον ἢ τριάκοντα, ὥστ' οὐκ ἂν διὰ τοῦτό γ' 867
11 εἶεν οὐκ εὐθὺς δεδωκότες· οὔτε κτήματα μὲν ἦν αὐτοῖς,
ἀργύριον δ' οὐκ ἔτυχε παρὸν, ἡ γυνὴ δ' ἐχήρευε, διὸ
πρᾶξαι ταῦτ' ἠπείχθησαν οὐχ ἅμα τὴν προῖκα διδόντες.
ἀργύριόν τε γὰρ οὗτοι δανείζουσιν ἄλλοις οὐκ ὀλίγον, συν-
οικοῦσάν τε ταύτην, ἀλλ' οὐ χηρεύουσαν παρὰ Τιμοκρά-
τους ἐξέδοσαν, ὥστ' οὐδ' ἂν ταύτην τὴν σκῆψιν εἰκότως
12 [d] αὐτῶν τις ἀποδέξαιτο. [e] καὶ μὲν δὴ, ὦ ἄνδρες δικασταὶ,

[s] δ' οὐ] οὐ F. [t] καὶ ἐμοῦ post καὶ ὑμῶν habet S.: sed rectum ordinem lineolis superscriptis restituit librarius. [u] κειμένων om. A.r. [x] καὶ om. A.F.r. [y] μάρτυρας] μάρτυρα F. [z] αὐτὸν] αὐτὸν τὸν A.F.r. [a] ὀφειλήσειν τὴν προῖκα] ὀφλήσειν προῖκα A.r. [b] ἕνεχ'] ἕνεκα S. [c] κινδυνευθήσεσθαι] διακινδυνευθήσεσθαι F. [d] αὐτῶν τις] τις αὐτῶν A.r. [e] καὶ μὲν δὴ] καὶ μὲν (ἢ superscr.) δὴ F. καὶ μὴν A.r.

κἀκεῖνο [f] ἂν πάντες [g] ὁμολογήσαιτε, ὅτι τοιοῦτο πρᾶγμα συναλλάττων ὁστισοῦν ἕλοιτ' ἂν ἑτέρῳ μᾶλλον [h] ὀφείλειν [i] ἢ κηδεστῇ τὴν προῖκα [k] μὴ ἀποδοῦναι. μὴ διαλυσάμενος μὲν γὰρ [l] ἔσται χρήστης ἄδηλος εἴτ' ἀποδώσει δικαίως εἴτε μή, μετὰ δὲ τῆς [m] γυναικὸς [n] τἀκείνης ἀπο-
13 δοὺς οἰκεῖος καὶ κηδεστής· ἐν οὐδεμιᾷ γάρ ἐστιν ὑποψίᾳ τὰ δίκαια πάντα ποιήσας. ὥσθ' [o] οὕτω τοῦ πράγματος ἔχοντος, καὶ τούτων οὐδὲ καθ' ἓν ὧν εἶπον ὀφείλειν ἀναγκασθέντων, οὐδὲ βουληθέντων ἄν, οὐκ ἔστ' εἰπεῖν ἄλλην πρόφασιν δι' ἣν οὐκ ἀπέδοσαν, ἀλλ' ἀνάγκη ταύτην εἶναι τὴν [p] αἰτίαν, δι' ἣν δοῦναι τὴν προῖκ' οὐκ ἐπίστευσαν.

14 Ἐγὼ τοίνυν ὁμολογουμένως οὕτω ταῦτ' [q] ἐξελέγχων, ὡς [r] οὐδ' ὕστερον ἀπέδοσαν, οἶμαι ῥᾳδίως ἐπιδείξειν ἐξ αὐτῶν τῶν πεπραγμένων, ὥσθ' ὑμῖν [s] γενέσθαι φανερὸν ὅτι, [t] κἂν εἰ μὴ ἐπὶ [u] τούτοις, ἀλλ' ἐπὶ τῷ διὰ ταχέων ἀποδοῦναι [x] τἀργύριον εἶχον, οὐκ ἄν ποτ' ἀπέδοσαν οὐδ' ἂν [y] προεῖντο· τοιαύτας ἀνάγκας εἶχεν αὐτοῖς τὸ πρᾶγμα.
15 δύο μὲν γάρ [z] ἐστιν ἔτη [a] τὰ μεταξὺ τοῦ συνοικῆσαί τε τὴν γυναῖκα καὶ φῆσαι τούτους πεποιῆσθαι τὴν ἀπόλειψιν· 868
ἐγήματο μὲν γὰρ ἐπὶ Πολυζήλου ἄρχοντος σκιροφοριῶνος μηνός, ἡ δ' ἀπόλειψις ἐγράφη [b] ποσειδεῶνος μηνὸς ἐπὶ Τιμοκράτους· ἐγὼ δ' [c] εὐθέως [d] μετὰ τοὺς γάμους δοκιμασθεὶς ἐνεκάλουν καὶ λόγον ἀπῄτουν καὶ πάντων ἀποστερούμενος [e] τὰς δίκας ἐλάγχανον ἐπὶ τοῦ αὐτοῦ ἄρχοντος.
16 ὁ δὴ χρόνος οὗτος [f] ὀφειλῆσαι μὲν ἐνδέχεται κατὰ τὰς

[f] ἂν πάντες] πάντες ἂν A.F.r. [g] ὁμολογήσαιτε] ὁμολογήσετε S. [h] ὀφείλειν] ὄφλειν A. (ἢ) [i] ἢ] οὐ F. [k] μὴ ἀποδοῦναι] μηδὲ ἀποδοῦναι F. [l] ἔσται A.S.r. Legebatur γίνεται. [m] γυναικὸς] μητρὸς γρ. S. [n] τἀκείνης] τὰ ἐκείνης S. [o] οὕτω] οὕτως S. [p] αἰτίαν δι' ἣν] αἰτίαν διὸ A.r. [q] ἐξελέγχων] ἐλέγχων F. [r] οὐδ'] δ' F. [s] γενέσθαι φανερὸν] φανερὸν γενέσθαι A.r. [t] κἂν εἰ μὴ] εἰ μὴ καὶ S. [u] τούτοις] τούτους F. [x] τἀργύριον] τὸ ἀργύριον S. [y] προεῖντο] προΐεντο A.r. [z] ἐστιν S. ἦν vulgo. [a] τὰ non abest ab A. a quo abesse ait Reiskius. [b] ποσειδεῶνος] ποσειδαιῶνος A. [c] εὐθέως S. Legebatur εὐθύς. [d] μετὰ τοὺς γάμους δοκιμασθεὶς] δοκιμασθεὶς μετὰ τοὺς γάμους A.r. [e] τὰς primo omissum inseruit librarius in S. [f] ὀφειλῆσαι] ὀφλῆσαι r.

ὁμολογίας, ἀποδοῦναι δ' οὐκ ἔχει πίστιν. ὃς γὰρ διὰ ταῦτ' ἐξ ἀρχῆς ὀφείλειν εἵλετο καὶ [g] τόκον φέρειν, ἵνα μὴ κινδυνεύοι ἡ προὶξ μετὰ τῆς ἄλλης οὐσίας, πῶς οὗτος ἂν [h] ἀπέδωκεν ἤδη τὴν δίκην φεύγοντος; ὃς εἰ καὶ [i] τότ' ἐπίστευσε, τηνικαῦτ' [k] ἂν ἀπολαβεῖν ἐζήτησεν. οὐκ ἔνεστι
17 δήπουθεν, ὦ ἄνδρες δικασταί. ἀλλὰ μὴν ὡς ἐγήματο μὲν ἡ γυνὴ καθ' ὃν [l] ἐγὼ λέγω χρόνον, ἀντίδικοι δ' ἡμεῖς ἤδη πρὸς ἀλλήλους ἐν τῷ μεταξὺ χρόνῳ κατέστημεν, ὕστερον [m] δ' ἢ ἐγὼ τὴν δίκην [n] ἔλαχον τὴν [o] ἀπόλειψιν [p] οὗτοι πρὸς τὸν ἄρχοντ' ἀπεγράψαντο, λαβέ μοι [q] καθ' ἕκαστον ταύτας τὰς μαρτυρίας.

ΜΑΡΤΥΡΙΑΙ.

Μετὰ τοίνυν τοῦτον τὸν ἄρχοντα Κηφισόδωρος, Χίων. ἐπὶ τούτων ἐνεκάλουν δοκιμασθεὶς, ἔλαχον δὲ τὴν δίκην ἐπὶ Τιμοκράτους. λαβέ [r] μοι [s] ταύτην τὴν μαρτυρίαν.

ΜΑΡΤΥΡΙΑ.

18 [t] Ἀνάγνωθι δὲ καὶ ταύτην τὴν μαρτυρίαν.

ΜΑΡΤΥΡΙΑ.

Δῆλον μὲν τοίνυν καὶ ἐκ τῶν μεμαρτυρημένων ὅτι τὴν προῖκ' οὐ δόντες, ἀλλ' ἐπὶ τῷ διασώζειν Ἀφόβῳ τὴν οὐσίαν ταῦτα τολμῶσι πράττειν. οἳ γὰρ ἐν τοσούτῳ χρόνῳ καὶ ὀφειλῆσαι καὶ ἀποδοῦναι καὶ οὐ κομίσασθαι καὶ τὴν γυναῖκ' ἀπολιπεῖν καὶ τὸ χωρίον ἀποτιμήσασθαί φασι, 869
πῶς οὐ φανερὸν [u] ὅτι προστάντες τοῦ πράγματος τὰ γνω-
19 σθένθ' ὑφ' ὑμῶν ἀποστερῆσαί με ζητοῦσιν; ὡς δὲ καὶ ἐξ ὧν αὐτὸς οὗτος καὶ Τιμοκράτης καὶ Ἄφοβος [x] ἀπεκρίναντο, οὐχ οἷόντ' ἀποδεδόσθαι τὴν προῖκα, ταῦτ' ἤδη πει-

[g] τόκον] τὸν τόκον A.r. [h] ἀπέδωκεν] ἐπέδωκεν A.r. [i] τότ'] τοῦτ' F. [k] ἂν ἀπολαβεῖν] ἀναλαβεῖν F. [l] ἐγὼ om. r. [m] δ' ἢ] δὴ S. δ' F. [n] ἔλαχον] ἔλαχον ἢ correctus a m. antiqua S. [o] ἀπόλειψιν] δ' ἀπόλειψιν F. [p] οὗτοι πρὸς τὸν ἄρχοντ' om. A. [q] καθ' ἕκαστον] καὶ A.r. [r] μοι om. B.S. [s] ταύτην om. A. [t] Ἀνάγνωθι] ἀναγνώτω (θι) F. [u] ὅτι προστάντες τοῦ πράγματος τὰ γνωσθένθ'] ἐκ τοῦ πράγματος ὅτι καταγνωσθέντα S. ὅτι τὰ γνωσθέντα γρ. S. [x] ἀπεκρίναντο] ἀπεκρίνατο F.

ράσομαι διδάσκειν ὑμᾶς. ἐγὼ γὰρ, ὦ ἄνδρες δικασταὶ,
τούτων ἕκαστον ἠρόμην πολλῶν ἐναντίον μαρτύρων, Ὀνή-
τορα μὲν καὶ Τιμοκράτην, [y]εἴ τινες εἶεν μάρτυρες ὧν ἐναν-
τίον τὴν προῖκ' ἀπέδοσαν, αὐτὸν δ' Ἄφοβον, [z]εἴ τινες
20 παρῆσαν [a]ὅτ' ἀπελάμβανεν. καί μοι πάντες ἀπεκρί-
ναντο [b]καθ' ἕκαστον ὅτι οὐδεὶς μάρτυς παρείη, κομίζοιτο
δὲ λαμβάνων καθ' ὁποσονοῦν δέοιτ' Ἄφοβος παρ' αὐτῶν.
καίτοι τῷ τοῦτο [c]ὑμῶν πιστὸν, ὡς ταλάντου τῆς προικὸς
οὔσης ἄνευ μαρτύρων Ὀνήτωρ καὶ Τιμοκράτης Ἀφόβῳ
τοσοῦτον ἀργύριον [d]ἐνεχείρισαν; ᾧ μὴ ὅτι τοῦτον τὸν τρό-
πον, ἀλλ' [e]οὐδὲ μετὰ πολλῶν μαρτύρων ἀποδιδοὺς εἰκῇ τις
ἂν ἐπίστευσεν, ἵν' εἴ τις [f]γίγνοιτο διαφορὰ, κομίσασθαι
21 ῥᾳδίως [g]παρ' ὑμῖν δύνηται. μὴ γὰρ ὅτι πρὸς [h]τοῦτον τοι-
οῦτον ὄντα, ἀλλ' οὐδὲ πρὸς ἄλλον οὐδ' ἂν εἷς οὐδένα [i]τοι-
οῦτο συνάλλαγμα ποιούμενος ἀμαρτύρως ἂν ἔπραξεν·
ἀλλὰ τῶν τοιούτων ἕνεκα καὶ γάμους ποιοῦμεν καὶ τοὺς
ἀναγκαιοτάτους παρακαλοῦμεν, ὅτι οὐ πάρεργον, ἀλλ'
ἀδελφῶν καὶ θυγατέρων βίους ἐγχειρίζομεν, ὑπὲρ ὧν τὰς
22 ἀσφαλείας μάλιστα [k]σκοποῦμεν. εἰκὸς τοίνυν καὶ τοῦ-
τον, [l]ὧνπερ ἐναντίον ὀφείλειν ὡμολόγησε καὶ τὸν τόκον
οἴσειν, τῶν αὐτῶν τούτων παρόντων διαλύσασθαι πρὸς
Ἄφοβον, εἴπερ ὡς ἀληθῶς ἀπεδίδου τὴν προῖκ' αὐτῷ. 870
τοῦτον μὲν γὰρ τὸν τρόπον πράξας ὅλου τοῦ πράγματος
ἀπηλλάττετο, μόνος μόνῳ δ' ἀποδιδοὺς τοὺς ἐπὶ ταῖς
ὁμολογίαις παραγενομένους ὡς κατ' ὀφείλοντος ἂν αὐτοῦ
23 μάρτυρας ὑπελείπετο. νῦν τοίνυν τοὺς μὲν ὄντας οἰκείους
καὶ βελτίους αὐτῶν οὐκ ἠδύναντο πεῖσαι τὴν προῖκ' ἀπο-
δεδωκέναι σφᾶς μαρτυρεῖν, ἑτέρους δ' εἰ [m]παρέχοιντο μάρ-

[y] εἴ τινες εἶεν] οἵ τινες εἶεν F. [z] εἴ τινες παρῆσαν] οἵ τινες παρῆσαν F.r.
[a] ὅτ' ἀπελάμβανε] ὅτ' ἂν ἐλάμβανεν F. [b] καθ' ἕκαστον pr. omissum in S. in marg. supplevit librarius. [c] ὑμῶν] ὑμῖν F. [d] ἐνεχείρισαν] ἐνεχείρησαν S.
[e] οὐδὲ] οὐ F. [f] γίγνοιτο] γένοιτο A.F.r. [g] παρ' ὑμῖν] ὑπ' αὐτοῦ S.
[h] τοῦτον] τὸν F. [i] τοιοῦτο] τοιοῦτον F.S. [k] σκοποῦμεν] ποιοῦμεν γρ. S.
[l] ὧνπερ] ὥσπερ F. [m] παρέχοιντο] παρείχοντο A.r.

τυρας [n] μηδὲν γένει προσήκοντας, οὐκ ἂν ἡγοῦνθ' ὑμᾶς
αὐτοῖς [o] πιστεύειν. ἔτι δ' [p] ἀθρόαν μὲν φάσκοντες δεδω-
κέναι τὴν προῖκ' ᾔδεσαν ὅτι τοὺς ἀπενεγκόντας οἰκέτας
ἐξαιτήσομεν, οὓς μὴ γεγενημένης τῆς δόσεως παραδοῦναι
μὴ θέλοντες ἠλέγχοντ' ἄν· εἰ δ' αὐτοὶ μόνοι μόνῳ τοῦτον
[q] τὸν τρόπον [r] ἀποδεδωκέναι λέγοιεν, ἐνόμιζον οὐκ ἐλεγχθή-
24 σεσθαι. διὰ τοῦτο τοῦτον εἵλοντο ἐξ ἀνάγκης [s] ψεύδεσθαι
τὸν τρόπον. τοιαύταις τέχναις καὶ πανουργίαις, ὡς ἁπλοῖ
τινὲς εἶναι [t] δόξοντες, [u] ἡγοῦνται ῥᾳδίως ὑμᾶς ἐξαπατήσειν,
ἁπλῶς οὐδ' ἂν μικρὸν ὑπὲρ τῶν διαφερόντων, ἀλλ' ὡς
οἷόν τε [x] ἀκριβέστατα πράξαντες. λαβὲ τὰς μαρτυρίας
αὐτοῖς ὧν ἐναντίον ἀπεκρίναντο, καὶ ἀνάγνωθι.

ΜΑΡΤΥΡΙΑΙ.

25 Φέρε δή, ὦ ἄνδρες δικασταί, καὶ [y] τὴν γυναῖκα ὑμῖν
[z] ἀποδείξω λόγῳ μὲν ἀπολελοιπυῖαν, ἔργῳ δὲ συνοικοῦσαν
Ἀφόβῳ· νομίζω γάρ, ἂν [a] τοῦτ' ἀκριβῶς μάθητε, μᾶλ-
λον ὑμᾶς [b] τούτοις μὲν [c] ἀπιστήσειν, ἐμοὶ δ' ἀδικουμένῳ
τὰ δίκαια βοηθήσειν. μάρτυρας δὲ τῶν μὲν ὑμῖν παρέ-
ξομαι, τῶν δ' ἐπιδείξω μεγάλα τεκμήρια καὶ πίστεις 871
26 ἱκανάς. ἐγὼ γάρ, ὦ ἄνδρες δικασταί, [d] μετὰ τὸ γεγρά-
φθαι παρὰ τῷ ἄρχοντι ταύτην τὴν γυναῖκ' ἀπολελοιπυῖαν
καὶ τὸ φάσκειν Ὀνήτορ' ἀντὶ τῆς προικὸς ἀποτετιμῆσθαι
τὸ χωρίον ὁρῶν Ἄφοβον ὁμοίως ἔχοντα καὶ γεωργοῦντα
τὴν γῆν καὶ τῇ γυναικὶ συνοικοῦντα, σαφῶς ᾔδειν ὅτι λό-
27 γος ταῦτα καὶ παραγωγὴ τοῦ πράγματός ἐστι. βουλό-
μενος δ' ἐμφανῆ [e] ποιῆσαι [f] ταῦτα πᾶσιν ὑμῖν, [g] ἐξελέγ-
χειν αὐτὸν ἠξίουν ἐναντίον μαρτύρων, εἰ μὴ φάσκοι ταῦθ'

[n] μηδὲν] μηδὲ S. om. F. [o] πιστεύειν] πιστεύσειν S. [p] ἀθρόαν A. ἁθρόαν vulgo. [q] τὸν supra versum a m. antiqua S. [r] ἀποδεδωκέναι S. Legebatur δεδωκέναι. [s] ψεύδεσθαι] ψεύσασθαι r. [t] δόξοντες S. δόξαντες vulgo. [u] ἡγοῦνται] ἡγοῦντο A.r. [x] ἀκριβέστατα] ἀκριβέστατ' ἂν A.F.r. [y] τὴν γυναῖκα om. A.r. [z] ἀποδείξω] ἐπιδείξω A.r. [a] τοῦτ' om. r. [b] τούτοις] τούτους A.r. [c] ἀπιστήσειν] διαπιστήσειν F. [d] μετὰ τὸ] μετὰ τῶι S. [e] ποιῆσαι] ποιήσασθαι F. [f] ταῦτα in margine a m. prima S. [g] ἐξελέγχειν] ἐλέγχειν A.F.r.

οὕτως ἔχειν, καὶ παρεδίδουν οἰκέτην εἰς βάσανον, ὃς συν-
ῄδει πάντ᾽ ἀκριβῶς· ὃν ἔλαβον κατὰ τὴν ὑπερημερίαν
ἐκ τῶν Ἀφόβου. οὗτος [h]δ᾽ ἐμοῦ ταῦτ᾽ ἀξιώσαντος περὶ
μὲν τοῦ συνοικεῖν Ἀφόβῳ τὴν ἀδελφὴν [i]ἔφευγε τὴν βά-
σανον· ὡς δ᾽ οὐκ ἐκεῖνος ἐγεώργει τὴν γῆν, [k]οὐκ [l]ἠδύνατ᾽
28 ἀρνηθῆναι διὰ τὴν περιφάνειαν, ἀλλὰ προσωμολόγησεν. οὐ
μόνον δ᾽ ἐκ τούτων ἦν [m]ῥᾴδιον γνῶναι ὅτι καὶ συνῴκει τῇ
γυναικὶ καὶ τὸ χωρίον ἐκέκτητο ἔτι πρὶν γενέσθαι τὴν δί-
κην, ἀλλὰ καὶ ἐξ ὧν [n]ὀφλὼν διεπράξατο περὶ αὐτῶν. ὡς
γὰρ οὐκ ἀποτετιμηκώς, ἀλλ᾽ ἐμῶν ἐσομένων κατὰ τὴν δί-
κην, ἃ μὲν οἷόν τ᾽ ἦν ἐξενεγκεῖν, ᾤχετο λαβών, τοὺς καρ-
ποὺς καὶ τὰ σκεύη τὰ γεωργικὰ πάντα πλὴν τῶν [o]πιθα-
κνῶν· [p]ἃ δ᾽ οὐχ οἷόν τ᾽ ἦν [q]ἀνελεῖν, ἐξ ἀνάγκης [r]ὑπέλιπεν,
ὥστ᾽ ἐγγενέσθαι τούτῳ νῦν αὐτῆς τῆς γῆς ἀμφισβητεῖν.
29 καίτοι δεινὸν τὸν μὲν λέγειν ὡς ἀπετιμήσατο τὸ χωρίον,
τὸν δ᾽ ἀποτετιμηκότα φαίνεσθαι γεωργοῦντα, καὶ φά-
σκειν [s]μὲν ἀπολελοιπέναι τὴν ἀδελφήν, ὑπὲρ αὐτῶν δὲ
τούτων φανερὸν εἶναι φεύγοντα τοὺς ἐλέγχους, καὶ τὸν μὲν
οὐ συνοικοῦντα, ὡς οὗτός φησι, καὶ τοὺς καρποὺς καὶ τὰ 872
ἐκ τῆς γεωργίας [t]ἅπαντ᾽ ἐξενεγκεῖν, τὸν δ᾽ ὑπὲρ τῆς
ἀπολελοιπυίας πράττοντα, ὑπὲρ ἧς ἀποτετιμῆσθαί φησι
τὸ χωρίον, φαίνεσθαι [u]μηδ᾽ ὑπὲρ ἑνὸς τούτων [x]ἀγανα-
30 κτοῦντα, ἀλλ᾽ ἡσυχίαν ἔχοντα. ταῦτ᾽ οὐ [y]πολλὴ περιφά-
νειά ἐστι; [z]ταῦτ᾽ οὐχ ὁμολογουμένη προστασία; [a]φήσειέ
γ᾽ ἄν τις, εἰ διαλογίζοιτ᾽ ὀρθῶς ἕκαστ᾽ αὐτῶν. ὡς τοί-
νυν ὡμολόγει μὲν ἐκεῖνον γεωργεῖν πρὶν γενέσθαι τὴν δίκην

[h] δ᾽ ἐμοῦ A.r. δέ μου F.S. [i] ἔφευγε] Legebatur ἔφυγε. Conf. p. 848, 10. et 19. [k] οὐκ ἠδύνατ᾽] οὐδ᾽ ἠδύνατ᾽ r. [l] ἠδύνατ᾽] ἐδύνατ᾽ A.B. ἐδύνατο S. [m] ῥᾴδιον] ῥᾷστον F. om. A.r. [n] ὀφλὼν] ὄφλων vulgo. [o] πιθακνῶν] φιδακνῶν Schæferus. [p] ἃ δ᾽] ὃ δ᾽ F. [q] ἀνελεῖν] ἀνελεῖν τὴν γῆν γρ. F.S. [r] ὑπέλιπεν] ὑπέλειπεν A.r. [s] μὲν] με pr. S. [t] ἅπαντ᾽ S. πάντ᾽ vulgo. [u] μηδ᾽] μὴ S. [x] ἀγανακτοῦντα] ὑπεραγανακτοῦντα F. [y] πολλὴ περιφάνειά] περιφάνεια πολλή A.r. [z] ταῦτ᾽] ταῦθ᾽ S. Vid. ad p. 814, 25. [a] φήσειέ γ᾽] φήσειεν r.

ἐμοὶ πρὸς αὐτὸν, ὑπὲρ δὲ τοῦ μὴ συνοικεῖν τὴν ἀδελφὴν
οὐκ ἠθέλησε ποιήσασθαι τὴν βάσανον, ἡ δὲ γεωργία ἐξε-
σκευάσθη μετὰ τὴν δίκην πλὴν τῶν [b]ἐγγείων, λαβὲ
[c]ταύτας τὰς μαρτυρίας καὶ ἀνάγνωθι.

ΜΑΡΤΥΡΙΑΙ.

31 Ἐμοὶ τοίνυν τοσούτων ὑπαρχόντων τεκμηρίων, οὐχ
ἥκιστ' αὐτὸς [d]ἔδειξεν Ὀνήτωρ ὅτι οὐκ ἀληθινὴν ἐποιήσατο
τὴν ἀπόλειψιν. ᾧ γὰρ [e]προσῆκε [f]χαλεπῶς φέρειν, εἰ τὴν
προῖκα δοὺς, ὥς φησιν, [g]ἀντ' ἀργυρίου χωρίον ἀμφισβη-
τούμενον ἀπελάμβανεν, οὗτος οὐχ ὡς διάφορος οὐδ' ὡς
ἀδικούμενος, ἀλλ' ὡς οἰκειότατος πάντων τὴν πρὸς ἐμὲ
32 δίκην αὐτῷ συνηγωνίζετο. κἀμὲ μὲν [h]συναποστερῆσαι
μετ' ἐκείνου τῶν πατρῴων ἐπεχείρησε, καθ' ὅσον αὐτὸς
οἷός τε ἦν, ὑφ' οὗ κακὸν οὐδ' ὁτιοῦν ἦν πεπονθώς· Ἀφόβῳ
δ', ὃν ἀλλότριον εἶναι προσῆκε νομίζειν, εἴ τι τούτων ἀλη-
θὲς ἦν ὧν νῦν λέγουσι, καὶ τἀμὰ πρὸς τοῖς ἐκείνου περι-
33 ποιεῖν ἐζήτησεν. καὶ οὐ μόνον ἐνταῦθα τοῦτ' ἐποίησεν,
ἀλλὰ καὶ κατεγνωσμένης ἤδη τῆς δίκης ἀναβὰς ἐπὶ τὸ
δικαστήριον ἐδεῖτο ἱκετεύων ὑπὲρ αὐτοῦ καὶ ἀντιβολῶν
καὶ δάκρυσι [i]κλάων ταλάντου τιμῆσαι, καὶ [k]τούτου αὐτὸς 873
ἐγίγνετ' ἐγγυητής. καὶ ταῦθ' ὁμολογούμενα μέν ἐστι
πολλαχόθεν· οἵ τε γὰρ ἐν τῷ δικαστηρίῳ τότε δικάζοντες
καὶ τῶν ἔξωθεν παρόντων πολλοὶ συνίσασιν· ὅμως δὲ καὶ
[l]μάρτυρας ὑμῖν παρέξομαι. καί μοι λαβὲ ταύτην τὴν μαρ-
τυρίαν.

ΜΑΡΤΥΡΙΑ.

34 Ἔτι τοίνυν, ὦ ἄνδρες δικασταί, καὶ τεκμηρίῳ μεγάλῳ

[b] ἐγγείων] πιθακνῶν A.r. Post πιθακνῶν A. repetit verba ἃ δ' οὐχ οἷόν τε (p. 871—22) — πλὴν τῶν πιθακνῶν (nam hic quoque πιθακνῶν pro ἐγγείων scriptum). [c] ταύτας om. F. [d] ἔδειξεν om. r. [e] προσῆκε] προσήνεγκεν F. [f] χαλεπῶς om. r. [g] ἀντ' ἀργυρίου χωρίον] χωρίον ἀντ' ἀργυρίου A.r. [h] συναποστερῆσαι] οὖν ἀποστερῆσαι A.r. [i] κλάων] Scribebatur κλαίων. [k] τούτου] τούτων F.S. [l] μάρτυρας] μαρτυρίας r.

γνῶναι ῥᾴδιον ὅτι τῇ ἀληθείᾳ συνῴκει καὶ οὐδέπω καὶ τή-
μερον ἀπολέλοιπεν. αὕτη γὰρ ἡ γυνὴ πρὶν [m] μὲν ὡς Ἄφο-
βον ἐλθεῖν [n] μίαν ἡμέραν οὐκ ἐχήρευσεν, ἀλλὰ παρὰ ζῶντος
Τιμοκράτους ἐκείνῳ συνῴκησε, νῦν δ' ἐν τρισὶν ἔτεσιν ἄλλῳ
35 συνοικοῦσ' οὐδενὶ φαίνεται. καίτοι [o] τῷ πιστὸν, ὡς τότε
μὲν, ἵνα μὴ χηρεύσειε, παρ' ἀνδρὸς ὡς ἄνδρα ἐβάδιζε,
[p] νῦν δ', εἴπερ ὡς ἀληθῶς ἀπολέλοιπε, τοσοῦτον [q] ἂν χρό-
νον χηρεύουσ' ἠνείχετο ἐξὸν ἄλλῳ συνοικεῖν, τοῦ τε ἀδελ-
φοῦ κεκτημένου τοσαύτην οὐσίαν, [r] αὐτή τε ταύτην ἔχουσα
τὴν ἡλικίαν; οὐκ ἔχει ταῦτ' [s] ἀλήθειαν, ὦ ἄνδρες δικα-
36 σταὶ, [t] πιθανὴν, ἀλλὰ λόγοι ταῦτ' εἰσὶ, συνοικεῖ δ' ἡ γυνὴ
φανερῶς καὶ [u] οὐκ ἐπικρύπτεται τὸ πρᾶγμα. παρέξομαι
δ' ὑμῖν Πασιφῶντος μαρτυρίαν, ὃς ἀρρωστοῦσαν αὐτὴν
θεραπεύων ἑώρα παρακαθήμενον Ἄφοβον ἐπὶ τούτου τοῦ
ἄρχοντος, ἤδη τούτῳ ταυτησὶ τῆς δίκης [x] εἰληγμένης. καί
μοι λαβὲ τὴν [y] Πασιφῶντος μαρτυρίαν.

ΜΑΡΤΥΡΙΑ.

37 Ἐγὼ τοίνυν εἰδὼς, ὦ ἄνδρες δικασταὶ, καὶ μετὰ τὴν
δίκην τοῦτον εὐθὺς ἀποδεδεγμένον τὰ ἐκ τῆς οἰκίας τῆς
Ἀφόβου χρήματα, καὶ κύριον τῶν τ' ἐκείνου καὶ τῶν
ἐμῶν ἁπάντων γεγενημένον, καὶ συνοικοῦσαν αὐτῷ τὴν 874
γυναῖκα σαφῶς ἐπιστάμενος, τρεῖς θεραπαίνας ἐξῄτησα
αὐτὸν, αἳ συνοικοῦσάν τε τὴν γυναῖκ' ᾔδεσαν καὶ τὰ χρή-
ματα ὅτι παρὰ τούτοις ἦν, ἵνα μὴ λόγοι μόνον, ἀλλὰ καὶ
38 βάσανοι [z] περὶ αὐτῶν γίγνοιντο. [a] οὗτος δ' ἐμοῦ προκα-
λεσαμένου ταῦτα καὶ πάντων τῶν παρόντων δίκαια λέ-
γειν με [b] ἀποφηναμένων οὐκ ἠθέλησεν εἰς τοῦτο [c] τἀκριβὲς

[m] μὲν om. A.r. [n] μίαν] μίαν μὲν A.r. [o] τῷ] τὸ S. τῷ τοῦτο A.r. [p] νῦν] νυνὶ A.F.r. [q] ἂν om. F. [r] αὐτή] αὕτη F. [s] ἀλήθειαν] ἀληθινὴν A.r. [t] πιθανὴν S. Legebatur πιστήν. πίστιν A.r. [u] οὐκ ἐπικρύπτεται S. Legebatur οὐδὲ κρύπτεται. [x] εἰληγμένης Wolfius. εἰλεγμένης F.S. ἐληλεγμένης A.r. [y] Πασιφῶντος] πασιφάνους S.: illud in γρ. [z] περὶ αὐτῶν γίγνοιντο] περὶ αὐτῶν γένοιντο A.r. γίγνοιντο περὶ αὐτῶν F. [a] οὗτος δ' ἐμοῦ] οὗτος δέ μου S. οὕτω δέ μοι F. [b] ἀποφηναμένων] ἀποφηναμένων εἰς τοῦτο S. Legebatur ἀποφαινομένων. [c] τἀκριβὲς] τὸ ἀκριβὲς S.

καταφυγεῖν, ἀλλ' ὥσπερ ἑτέρων τινῶν ὄντων περὶ τῶν τοι-
ούτων σαφεστέρων ἐλέγχων [d] ἢ βασάνων καὶ [e] μαρτυριῶν,
οὔτε μάρτυρας παρεχόμενος τὴν προῖκα ὡς [f] ἀποδέδωκεν,
39 οὔτ' εἰς [g] βάσανον ἐκδιδοὺς τὰς συνειδυίας περὶ τοῦ [h] μὴ
συνοικεῖν τὴν ἀδελφὴν, ὅτι ταῦτ' [i] ἠξίουν, ὑβριστικῶς
πάνυ καὶ προπηλακιστικῶς οὐκ εἴα με αὐτῷ διαλέγε-
σθαι. τούτου γένοιτ' ἂν τις σχετλιώτερος ἄνθρωπος, ἢ
μᾶλλον ἑκὼν τὰ δίκαι' ἀγνοεῖν προσποιούμενος; λαβὲ [k] δ'
αὐτὴν τὴν πρόκλησιν καὶ [l] ἀνάγνωθι.

ΠΡΟΚΛΗΣΙΣ.

40 Ὑμεῖς τοίνυν καὶ ἰδίᾳ καὶ δημοσίᾳ βάσανον ἀκριβε-
στάτην πασῶν [m] πίστεων νομίζετε, καὶ [n] ὅπου ἂν δοῦλοι
καὶ ἐλεύθεροι παραγένωνται, δέῃ δ' εὑρεθῆναι τὸ ζητού-
μενον, οὐ χρῆσθε ταῖς τῶν ἐλευθέρων μαρτυρίαις, ἀλλὰ
τοὺς δούλους βασανίζοντες οὕτω ζητεῖτε τὴν ἀλήθειαν
[o] εὑρεῖν, εἰκότως, ὦ ἄνδρες δικασταί. τῶν μὲν γὰρ μαρ-
τυρησάντων ἤδη τινὲς οὐ τἀληθῆ μαρτυρῆσαι ἔδοξαν·
[p] τῶν δὲ βασανισθέντων οὐδένες πώποτ' ἐξηλέγχθησαν,
41 ὡς οὐκ ἀληθῆ τὰ ἐκ τῆς βασάνου [q] εἶπον. οὗτος δὲ τηλι-
καῦτα δίκαια [r] φυγὼν καὶ σαφεῖς οὕτω καὶ μεγάλους 875
ἐλέγχους παραλιπὼν, Ἄφοβον παρεχόμενος μάρτυρα καὶ
Τιμοκράτην, τὸν μὲν ὡς [s] ἀποδέδωκε τὴν προῖκα, τὸν
δ' ὡς ἀπείληφεν, ἀξιώσει πιστεύεσθαι παρ' ὑμῖν, ἀμάρ-
τυρον τὴν πρὸς τούτους πρᾶξιν γεγενῆσθαι προσποιούμε-
42 νος· τοσαύτην ὑμῶν εὐήθειαν κατέγνωκεν. ὅτι μὲν [t] τοίνυν
οὔτ' ἀληθῆ οὔτ' [u] ἀληθείᾳ ἐοικότα λέξουσι, καὶ ἐκ τοῦ ἐξ
ἀρχῆς [x] αὐτοὺς ὁμολογεῖν τὴν προῖκα μὴ δοῦναι, καὶ ἐκ

[d] ἢ om. pr. S. [e] μαρτυριῶν S. Legebatur μαρτύρων. [f] ἀποδέδωκεν] ἀπέδωκεν S. [g] βάσανον] βασάνους F. [h] μὴ om. F. [i] ἠξίουν] ἠξίου F. [k] δ' αὐτὴν] ταύτην F. [l] ἀνάγνωθι S. ἀναγίγνωσκε vulgo. [m] πίστεων addidit Dobræus. [n] ὅπου ἂν A.S.r. Legebatur ὁπόταν. [o] εὑρεῖν] Addebatur τῶν πεπραγμένων, quod om. A.S.r. [p] τῶν S. Legebatur δούλων, quod in γρ. habet S. [q] εἶπον] εἰπών pr. S. [r] φυγὼν] ἐκφυγὼν A.r. [s] ἀποδέδωκε] ἀπέδωκε S. [t] τοίνυν om. F. [u] ἀληθείᾳ] ἀληθείαις A.r. [x] αὐτοὺς ὁμολογεῖν] ὁμολογεῖν αὐτοὺς A.r.

τοῦ πάλιν ἄνευ μαρτύρων ἀποδεδωκέναι φάσκειν, καὶ ἐκ τοῦ τὸν χρόνον μὴ ἐγχωρεῖν ἀμφισβητουμένης ἤδη τῆς οὐσίας ἀποδοῦναι [y] τἀργύριον, καὶ ἐκ τῶν ἄλλων ἁπάντων ἱκανῶς ἀποδεδεῖχθαί [z] μοι νομίζω.

ΛΑ.

[a] ΠΡΟΣ ΟΝΗΤΟΡΑ ΕΞΟΥΛΗΣ Β.

ΥΠΟΘΕΣΙΣ.

Παραλελειμμένα τινὰ ἐν τῷ προτέρῳ λόγῳ διὰ τούτου προστίθησιν, ὡς καὶ αὐτὸς ἐπισημαίνεται, καὶ δὴ καὶ πρός τινας ἀντιρρήσεις ἵσταται.

Περὶ δὲ τῶν λόγων τούτων προειρήκαμεν ὅτι πολλοί φασιν αὐτοὺς ὑπὸ Ἰσαίου συντεθῆναι, τοῦ ῥήτορος ἀπιστοῦντες εἶναι διὰ τὴν ἡλικίαν, οἱ δέ γε, εἰ μὴ τοῦτο, διωρθῶσθαί γε ὑπὸ τοῦ Ἰσαίου· ἐοίκασι γὰρ τοῖς ἐκείνου λόγοις. θαυμαστὸν δ' οὐδὲν, εἰ τὸν διδάσκαλον [b] ἐμιμήσατο καὶ μηδέπω πρὸς τὸ τέλειον ἥκων ἐπὶ τὸν ἐκείνου χαρακτῆρα μετῄει τέως.

[a] Ὃ παρέλιπον ἐν τῷ προτέρῳ λόγῳ τεκμήριον, οὐδενὸς τῶν 876
[c] προειρημένων ἔλαττον, τοῦ μὴ δεδωκέναι [d] τὴν προῖκα τούτους Ἀφόβῳ, τοῦτο πρῶτον εἰπὼν μετὰ τοῦτο καὶ περὶ ὧν οὗτος ἔψευσται πρὸς ὑμᾶς ἐξελέγχειν αὐτὸν πειράσομαι.
2 οὗτος γὰρ, ὦ ἄνδρες δικασταὶ, τὸ πρῶτον ὅτε τῶν Ἀφόβου διενοεῖτο ἀμφισβητεῖν, οὐχὶ τάλαντον ἔφη τὴν προῖχ', ὥσπερ νυνὶ, ἀλλ' ὀγδοήκοντα μνᾶς δεδωκέναι, [e] καὶ τίθησιν ὅρους ἐπὶ μὲν τὴν οἰκίαν δισχιλίων, ἐπὶ δὲ τὸ χωρίον ταλάντου, βουλόμενος μὴ μόνον [f] τοῦτο, ἀλλὰ κἀκείνην
3 διασώζειν αὐτῷ. γενομένης δέ μοι τῆς δίκης πρὸς αὐτὸν, [g] ἰδὼν ὡς [h] διέκεισθ' ὑμεῖς πρὸς τοὺς λίαν ἀναιδῶς ἀδι-

[y] τἀργύριον] τὸ ἀργύριον S. [z] μοι om. S. [a] ΠΡΟΣ—Β.] Κατὰ ὀνήτορος ὁ ὕστερος B. [b] ἐμιμήσατο] ἐτιμήσατο F. [c] προειρημένων S. Legebatur εἰρημένων. [d] τὴν προῖκα τούτους] τούτους τὴν προῖκα A.r. [e] καὶ τίθησιν] κᾆτα τίθησιν F. [f] τοῦτο] τὰ ἄλλα A.r. τἄλλα S. [g] ἰδὼν] εἰδὼς A.r. [h] διέκεισθ' S. Legebatur διάκεισθ'.

κοῦντας, εὔνους γίγνεται, καὶ δεινὰ πάσχειν ἡγήσατο δόξειν ἐμὲ τοσούτων χρημάτων ἀπεστερημένον, εἰ μηδ' ὁτιοῦν ἕξοιμι τῶν Ἀφόβου λαβεῖν τοῦ τἀμὰ ἔχοντος, ἀλλ' ὑπὸ τούτου κωλυόμενος φανερὸς γενήσομαι. καὶ τί ποιεῖ;
4 τοὺς ὅρους ἀπὸ τῆς οἰκίας ἀφαιρεῖ, καὶ τάλαντον μόνον εἶναι τὴν προῖκά [i]φησιν, ἐν ᾧ τὸ χωρίον ἀποτετιμῆσθαι. καίτοι δῆλον ὅτι τοὺς ἐπὶ τῆς οἰκίας ὅρους εἰ [k]δικαίους [l]ἔθηκε καὶ ὄντως ἀληθεῖς, [m]δικαίους καὶ τοὺς ἐπὶ τοῦ χωρίου τέθεικεν· εἰ δ' [n]εὐθὺς ἀδικεῖν βουλόμενος ψευδεῖς ἔθηκεν [o]ἐκείνους, εἰκὸς καὶ τούτους οὐκ ἀληθεῖς ὑπάρχειν.
5 τοῦτο τοίνυν οὐκ ἐξ ὧν ἐγὼ δεδήλωκα λόγων δεῖ σκοπεῖν, 877
ἀλλ' ἐξ ὧν αὐτὸς οὗτος διεπράξατο· οὐδ' ὑφ' ἑνὸς [p]γὰρ ἀναγκασθεὶς ἀνθρώπων [q]αὐτὸς ἀνεῖλε τοὺς ὅρους, ἔργῳ φανερὸν ποιήσας ὅτι ψεύδεται. καὶ ταῦθ' ὡς ἀληθῆ λέγω, τὸ μὲν χωρίον καὶ νῦν οὗτός φησιν ἀποτετιμῆσθαι ταλάντου, τὴν δ' οἰκίαν ὡς [r]προσωρίσατο δισχιλίων καὶ [s]πάλιν τοὺς ὅρους ἀνεῖλε γενομένης τῆς δίκης, τοὺς εἰδότας ὑμῖν μάρτυρας παρέξομαι. καί μοι λαβὲ τὴν μαρτυρίαν.

ΜΑΡΤΥΡΙΑ.

6 Δῆλον τοίνυν ὅτι δισχιλίων μὲν ὡρισμένος τὴν οἰκίαν, ταλάντου δὲ τὸ χωρίον, ὡς ὀγδοήκοντα μνᾶς δεδωκὼς ἔμελλεν ἀμφισβητήσειν. μεῖζον οὖν ἄν τι γένοιτο τεκμήριον ὑμῖν τοῦ μηδὲν ἀληθὲς [t]νῦν λέγειν τοῦτον ἢ εἰ φανείη μὴ ταὐτὰ λέγων τοῖς ἐξ ἀρχῆς περὶ τῶν αὐτῶν; ἐμοὶ μὲν γὰρ οὐδὲν ἂν [u]δοκεῖ τούτου μεῖζον εὑρεθῆναι.

7 Σκέψασθε τοίνυν τὴν ἀναίδειαν, [x]ὃς ἐν ὑμῖν ἐτολμη-

[i] φησιν] φασιν S. [k] δικαίους A.S.r. Legebatur δικαίως. [l] ἔθηκε] τέθεικε A.r. [m] δικαίους] δικαίως (ους superscr.) S. (ους a m. rec.) δικαίους etiam A.r. qui post χωρίον ponunt. Legebatur δικαίως. [n] εὐθὺς] τούτους S. qui verba εἰ δ' εὐθὺς—ὑπάρχειν in marg. in γρ. habet, licet eadem ipsa in textu legantur. [o] ἐκείνους] κακείνους S. [p] γὰρ om. pr. S. (in quo addidit manus antiqua) post αὐτὸς ponit F. [q] αὐτὸς] οὗτος S. et γρ. F. [r] προσωρίσατο] προωρίσατο F. [s] πάλιν] πάλιν ὅτι A.r. [t] νῦν om. A.r. [u] δοκεῖ] δοκῇ A.r. [x] ὃς] ὅς γ' A.r.

σεν εἰπεῖν ὡς οὐκ ἀποστερεῖ με ὅσῳ πλείονος ἄξιόν ἐστι
ταλάντου, καὶ ταῦτ' αὐτὸς τιμήσας οὐκ ἄξιον εἶναι πλεί-
ονος. τί γὰρ βουλόμενος δισχιλίων [y] προσωρίσω τὴν οἰ-
κίαν, ὅτε τὰς ὀγδοήκοντα μνᾶς ἐνεκάλεις, εἴ γε τὸ χωρίον
ἄξιον ἦν πλείονος, ἀλλ' οὐκ ἐπὶ [z] τούτῳ τὰς δισχιλίας
8 ἐτίθεις; ἢ ὅταν μέν σοι δοκῇ πάντα τὰ Ἀφόβου δια-
σώζειν, [a] τό τε χωρίον ἔσται ταλάντου μόνον ἄξιον, καὶ
τὴν οἰκίαν ἐν δισχιλίαις προσέξεις, ἥ τε προὶξ ὀγδοήκοντα
μναῖ γενήσονται, καὶ ἀξιώσεις ἔχειν ἀμφότερα· ὅταν δέ
σοι μὴ συμφέρῃ, τἀναντία πάλιν ἡ μὲν οἰκία ταλάντου,
διότι νῦν ἐγὼ ταύτην ἔχω, τοῦ δὲ χωρίου τὸ περιὸν οὐκ 878
ἐλάττονος ἢ [b] δυοῖν ἄξιον, ἵν' ἐγὼ [c] δοκῶ βλάπτειν τοῦτον,
9 οὐκ ἀποστερεῖσθαι. ὁρᾷς ὡς [d] ὑποκρίνει [e] μὲν δεδωκέναι τὴν
προῖκα, φαίνει δὲ κατ' οὐδ' ὁντινοῦν τρόπον δεδωκώς; τὰ
γὰρ ἀληθῆ καὶ μὴ κακουργούμενα τῶν πραγμάτων ἁπλῶς,
οἷ' ἂν ἐξ ἀρχῆς πραχθῇ, τοιαῦτ' ἐστί· σὺ δὲ τοὐναντίον
[f] ἐξελέγχει [g] πράξας εἰς τὴν καθ' ἡμῶν ὑπηρεσίαν.
10 Ἄξιον τοίνυν καὶ τὸν ὅρκον, ὁποῖόν [h] τιν' ἂν ὤμοσεν, εἴ
τις ἔδωκεν, ἐκ τούτων [i] ἰδεῖν. ὃς γὰρ ὀγδοήκοντα μνᾶς
ἔφη τὴν προῖκ' εἶναι, εἰ τότ' αὐτῷ τις ἔδωκεν, [k] ὀμόσαντι
ταῦτ' ἀληθῆ λέγειν, κομίσασθαι, τί ἐποίησεν ἄν; ἢ δῆλον
ὅτι [l] ὤμοσε· τί γὰρ καὶ λέγων οὐ φήσει τότ' ἂν ὀμόσαι,
11 νῦν γε [m] τοῦτ' ἀξιῶν; οὐκοῦν ὅτι γ' ἐπιώρκησεν ἂν, ἑαυ-
τὸν ἐξελέγχει· νῦν γὰρ οὐκ ὀγδοήκοντα μνᾶς, ἀλλὰ τά-
λαντον δεδωκέναι φησίν. τί μᾶλλον [n] ἂν οὖν εἰκότως τις

[y] προσωρίσω] προωρίσω F. [z] τούτῳ] τοῦτο r. Quod post τούτῳ legebatur καὶ omittit S., in quo inseruit manus recens. [a] τό τε] τότε τὸ F. et correctus S. [b] δυοῖν] δυοῖν (ε supra) F.r. δυεῖν S. [c] δοκῶ post ἀποστερεῖσθαι F. [d] ὑποκρίνει—φαίνει] Scribebatur ὑποκρίνῃ—φαίνῃ, et paullo post ἐξελέγχθῃ. [e] μὲν δεδωκέναι] μὲν δεδωκέναι μὲν S. altero μὲν punctis notato. [f] ἐξελέγχει] ἐλέγχῃ r. [g] πράξας] πράξεις corr. A. [h] τιν' ἂν] τινα, omisso ἂν, A.r. [i] ἰδεῖν] γε ἰδεῖν r. [k] ὀμόσαντι] ὁμολογήσαντι S.: alterum a m. rec. [l] ὤμοσε· τί γὰρ καὶ] ὡμολόγησέν τι. καὶ γὰρ F. ὤμυσε· τί γὰρ ἂν καὶ S. [m] τοῦτ' S. Legebatur τοιαῦτ'. [n] ἂν om. F.

αὐτὸν ἐκεῖνα ἐπιορκεῖν ἢ τάδ' ἡγοῖτο; ἢ τίνα τις δικαίως
ἂν ἔχοι περὶ τούτου διάνοιαν τοῦ ῥᾳδίως οὕτως [o]αὐτὸν
ἐξελέγχοντος ὄντ' ἐπίορκον;

12 Ἀλλὰ νὴ Δί' ἴσως οὐχὶ πάντ' αὐτῷ τοιαῦτα πέπρα-
κται, οὐδὲ πανταχόθεν δῆλός ἐστι [p]τεχνάζων. ἀλλὰ καὶ
τιμώμενος φανερὸς γέγονεν ὑπὲρ Ἀφόβου ταλάντου, καὶ
τοῦτ' αὐτὸς ἡμῖν ἀποδώσειν ἐγγυώμενος. καίτοι σκέψασθε
ὅτι τοῦτ' ἔστι τεκμήριον οὐ μόνον τοῦ τὴν γυναῖκα συν-
οικεῖν Ἀφόβῳ καὶ τοῦτον οἰκείως ἔχειν, ἀλλὰ καὶ τοῦ
13 μὴ δεδωκέναι τὴν προῖκα. τίς γὰρ [q]ἄνθρωπος ἠλίθιός ἐστιν
οὕτως, [r]ὃς ἀργύριον [s]μὲν δοὺς τοσοῦτον, ἔπειθ' ἓν λαβὼν
χωρίον ἀμφισβητούμενον εἰς ἀποτίμησιν, σὺν οἷς πρότερον
ἐζημίωτο, τὸν ἀδικήσαντα ὡς δίκαιόν τι [t]ποιήσοντα καὶ 879
τοῦ τῆς δίκης ὀφλήματος προσεγγυήσασθαι; [u]ἐγὼ μὲν
14 οὐδέν' οἶμαι. καὶ γὰρ οὐδὲ λόγον τὸ πρᾶγμ' ἔχον ἐστὶ,
τὸν αὐτὸν αὑτῷ μὴ δυνάμενον κομίσασθαι τάλαντον, τοῦ-
τον ἄλλῳ τινὶ φάσκειν ἀποτίσειν καὶ ταῦτ' [x]ἐγγυᾶσθαι.
ἀλλὰ καὶ ἀπ' αὐτῶν τούτων ἐστὶ δῆλον ὅτι τὴν μὲν προῖκα
[y]οὐ δέδωκεν, ἀντὶ δὲ πολλῶν χρημάτων τῶν ἐμῶν οἰκεῖος
ὢν Ἀφόβῳ ταῦτ' [z]ἀπετιμᾶτο, κληρονόμον [a]τὴν ἀδελφὴν
15 τῶν ἐμῶν μετ' ἐκείνου καταστῆσαι βουλόμενος. εἶτα νῦν
[b]παρακρούσασθαι ζητεῖ καὶ [c]φενακίζει, λέγων ὡς πρότε-
ρον τοὺς ὅρους ἔστησεν ἢ [d]ἐκεῖνον τὴν δίκην [e]ὀφλεῖν. οὐ
πρότερόν [f]γε ἢ παρὰ σοὶ, [g]εἴ γε νῦν ἀληθῆ λέγεις. δῆλον

[o] αὐτὸν S. ἑαυτὸν vulgo. [p] τεχνάζων] ἐπηρεάζων γρ. S. [q] ἄνθρωπος A.S.r. Legebatur ἀνθρώπων. [r] ὃς] ὡς A.r. [s] μὲν addidi ex S. [t] ποιήσοντα Dobræus. Legebatur ποιήσαντα. [u] ἐγὼ μὲν additum ex S. [x] ἐγγυᾶσθαι] ἐγγυήσασθαι suppletus a m. antiqua S. in quo librarius literas εγγυ scripserat, relicto quinque literarum spatio. Ab eadem manu paullo post ἀντὶ δὲ suppletum est in spatio septem literarum capaci. [y] οὐ δέδωκεν] οὐκ ἔδωκεν A.S.r. [z] ἀπετιμᾶτο] ἐπετιμᾶτο A.F.r. [a] τὴν ἀδελφὴν τῶν ἐμῶν] τῶν ἐμῶν τὴν ἀδελφὴν F. [b] παρακρούσασθαι] παρακρούσας F. [c] φενακίζει] φενακίζειν F. [d] ἐκεῖνον] κεῖνον F. 'κεῖνον B. [e] ὀφλεῖν pr. S. ὄφλειν vulgo. [f] γε om. A.r. [g] εἴ γε νῦν ἀληθῆ λέγεις] νῦν εἴγε ἀληθῆ λέγεις F. εἴγε νῦν λέγεις ἀληθῆ A.r. In S, omisso εἴ γε, solum legitur νυνὶ, post quod quinque literarum spatium reliquit librarius,

γὰρ ὅτι καταγνοὺς ἀδικίαν αὐτοῦ ταῦτ' ἐποίεις. εἶτα
καὶ γελοῖον τοῦτο [h]λέγειν, ὥσπερ οὐκ εἰδότων ὑμῶν ὅτι
πάντες οἱ [i]τὰ τοιαῦτ' ἀδικοῦντες σκοποῦσι τί [k]λέξουσιν,
[l]καὶ οὐδεὶς [m]πώποτ' ὦφλε σιωπῶν οὐδ' ἀδικεῖν ὁμολογῶν·
16 ἀλλ' ἐπειδὰν, οἶμαι, μηδὲν ἀληθὲς λέγων ἐξελεγχθῇ, τότε
γιγνώσκεται ὁποῖός ἐστιν. ὅπερ καὶ [n]οὗτος ἔμοιγε δοκεῖ
πάσχειν. ἐπεὶ, φέρε, πῶς ἐστὶ δίκαιον, ἐὰν μὲν ὀγδοή-
κοντα μνῶν [o]θῇς ὅρους, ὀγδοήκοντα μνᾶς εἶναι τὴν προῖκα,
17 ἐὰν δὲ πλείονος [p]πλέον, ἐὰν δ' ἐλάττονος, ἔλαττον; ἢ
πῶς ἐστὶ δίκαιον, τῆς ἀδελφῆς τῆς [q]σῆς μηδέπω καὶ
τήμερον ἄλλῳ συνοικούσης μηδ' ἀπηλλαγμένης Ἀφόβου,
μηδὲ τὴν προῖκα δεδωκότος [r]σοῦ, μηδ' ὑπὲρ τούτων εἰς
βάσανον μηδ' εἰς [s]ἄλλο δίκαιον μηδὲν [t]καταφεύγειν ἐθέ-
λοντος, ὅτι σὺ στῆσαι φῂς [u]ὅρους, σὸν εἶναι τὸ χωρίον;
ἐγὼ μὲν οὐδαμῶς οἶμαι· τὴν γὰρ ἀλήθειαν σκεπτέον, οὐχ
ἅ τις ἑαυτῷ παρεσκεύασεν ἐξεπίτηδες εἰς τὸ λέγειν τι δο- 880
18 κεῖν, ὥσπερ ὑμεῖς. ἔπειτα τὸ δεινότατον· εἰ καὶ δεδωκό-
τες ἦτε ὡς μάλιστα τὴν προῖκα, ἣν οὐ δεδώκατε, τίς ὁ
τούτων αἴτιος; οὐχ ὑμεῖς, ἐπεὶ [x]ἐπὶ τἀμὰ ἔδοτε; οὐχ ὅλοις
ἔτεσι πρότερον δέκα τἀμὰ λαβὼν εἶχεν ἐκεῖνος ὧν ὦφλε
19 τὴν δίκην, ἢ κηδεστήν σοι γενέσθαι; ἢ σὲ μὲν [y]ἔδει κομί-
σασθαι πάντα, τὸν δὲ καὶ [z]καταδικασάμενον [a]καὶ δι'
ὀρφανίαν ἠδικημένον καὶ προικὸς [b]ἀληθινῆς ἀπεστερη-
μένον, [c]ὃν μόνον ἀνθρώπων οὐδὲ τῆς ἐπωβελίας ἄξιον ἦν

verbis λέγεις ἀληθῆ ab eadem m. antiqua expletum, quæ similes codicis lacunas plures et supra et infra explevit. [h] λέγειν] λέγει S. om. r. [i] τὰ om. r. [k] λέξουσιν] λέγουσιν (ξ supra) F. [l] καὶ οὐδεὶς S. οὐδεὶς δὲ vulgo. [m] πώποτ'] πῶ ποτ' r. [n] οὗτος] αὐτὸς F. [o] θῇς a m. antiqua habet S. in lacuna quattuor literarum. [p] πλέον] Scribebatur πλεῖον. [q] σῆς] ἐμῆς S.: illud in γρ. [r] σοῦ] τούτου A.F.r. et γρ. S. [s] ἄλλο] ἄλλο τι r. [t] καταφεύγειν A.S.r. καταφυγεῖν vulgo. [u] ὅρους a m. antiqua habet S. in lacuna septem literarum. [x] ἐπὶ addidit Boissonad. ad Soph. Œd. T. 247. [y] ἔδει] δεῖ A.r. [z] καταδικασάμενον] καταδεδικασμένον A.r. Post hoc verbum literæ duæ erasæ in S. [a] καὶ δι'—ἀπεστερημένον, ὃν in margine S. a m. prima. [b] ἀληθινῆς] ἀληθῶς margo S. [c] ὃν] οὐ pr. r.

κινδυνεύειν, ἠναγκάσθαι τοιαῦτα παθεῖν, κεκομισμένον μηδ' ὁτιοῦν, καὶ ταῦτ' ἐθέλοντα ποιεῖν ὑμῖν αὐτοῖς, εἴ τι τῶν δεόντων ἐβούλεσθε πράττειν[d];

ΛΒ.

[e]ΠΡΟΣ ΖΗΝΟΘΕΜΙΝ ΠΑΡΑΓΡΑΦΗ.

ΥΠΟΘΕΣΙΣ.

Δανεισάμενος παρὰ Δήμωνος, ἑνὸς τῶν Δημοσθένους συγγενῶν, ἔμπορός τις, Πρῶτος ὄνομα, ἐπρίατο τοῦ ἀργυρίου [f] *σῖτον ἐν Συρακούσαις, καὶ τοῦτον ἐκόμισεν εἰς Ἀθήνας ἐπὶ νεὼς ἧς Ἡγέστρατος ἐναυκλήρει. Ἡγέστρατος δὲ καὶ Ζηνόθεμις, πρὸς ὃν ἐστιν ἡ παραγραφὴ, Μασσαλιῶται μὲν ἦσαν τὸ γένος, κακούργημα δὲ τοιοῦτον ἐν Συρακούσαις ἐκακούργησαν, ὡς ὁ ῥήτωρ φησίν.* 881 *ἐδανείσαντο χρήματα, ταῦτα δὲ εἰς μὲν τὴν ναῦν οὐκ ἐνέθεντο, λάθρᾳ δὲ εἰς τὴν Μασσαλίαν ἀπέστειλαν, ἀποστερῆσαι τοὺς δανείσαντας βεβουλευμένοι. ἐπειδὴ γὰρ ἐγέγραπτο ἐν τῷ συμβολαίῳ, εἰ πάθοι τι ἡ ναῦς, μὴ ἀπαιτεῖσθαι αὐτοὺς τὰ χρήματα, ἐσκέψαντο* [g] *καταδῦσαι τὴν ναῦν. νύκτωρ οὖν ἐν τῷ πλῷ κατελθὼν ὁ Ἡγέστρατος διέκοπτε τοῦ πλοίου τὸ ἔδαφος. φωραθεὶς δὲ καὶ φεύγων τοὺς ἐπιβάτας εἰς τὴν θάλασσαν εἰσπίπτει καὶ παραχρῆμα ἀπόλλυται. ὁ τοίνυν Ζηνόθεμις, ὁ κοινωνὸς, ὥς φησιν ὁ ῥήτωρ, τοῦ Ἡγεστράτου, μόλις σωθείσης εἰς Ἀθήνας τῆς νεὼς, ἠμφισβήτει τοῦ σίτου, λέγων εἶναι τὸν σῖτον Ἡγεστράτου, ἐκεῖνον δὲ παρ' ἑαυτοῦ δεδανεῖσθαι χρήματα. ἐνστάντων δὲ* [h] *αὐτῷ τοῦ τε Πρώτου καὶ* [i] *τοῦ Δήμωνος ἀμφοτέροις ἔλαχε δίκην ἐμπορικήν. καὶ τὸν Πρῶτον ἐξ ἐρήμης ἑλὼν ἑκόντα, ὥς φησι Δημοσθένης, καὶ συγκακουργοῦντα, εἰσάγει καὶ τὸν Δήμωνα δεύτερον εἰς τὸ δικαστήριον. ὁ δὲ παραγράφεται μὴ εἰσαγώγιμον εἶναι τὴν δίκην, νόμον παρεχόμενος τὸν διδόντα τοῖς ἐμπόροις τὰς δίκας εἶναι περὶ τῶν Ἀθήναζε καὶ τῶν Ἀθήνηθεν συμβολαίων· Ζηνοθέμιδι δέ φησι μηδὲν συμβόλαιον εἶναι πρὸς αὐτόν. καὶ ὁ μὲν*

[d] In S. subscriptum *πρὸς ὀνήτορα ἐξούλης ὁ ὕστερος* B. ΗΔΔΔΔ. Sic etiam B., nisi quod *κατὰ ὀνήτορος ὁ ὕστερος*. Porro in S. additum *ἕως ὧδε* Δ ς, de quo diximus in præfatione. [e] *Πρὸς Ζ. π.* S. Legebatur *Παραγραφὴ πρὸς Ζ.* Titulus argumento præfixus in B. *πρὸς ζηνόθεμιν παραγραφὴ ἐμπορική.* [f] *σῖτον*] *εἰς τὸν* F. [g] *καταδῦσαι* Reiskius. *καταλῦσαι* vulgo. Vid. p. 883, 29. [h] *αὐτῷ* Reiskius. *αὐτῶν* vulgo. [i] *τοῦ* om. F.

ἀγὼν ἐστι παραγραφικὸς, ὁ δὲ λόγος, ὡς τῆς εὐθυδικίας τοῦ πράγματος εἰσηγμένης, οὕτως εἴρηται περὶ τοῦ μὴ Ζηνοθέμιδος εἶναι τὸν σῖτον, ἀλλὰ τοῦ Πρώτου, ᾧ [k] ὁ Δήμων ἐδάνεισε τὸ ἀργύριον. οὐ γὰρ βούλεται δοκεῖν ῥήματι τοῦ νόμου μόνον ἰσχυρίζεσθαι κατὰ τὸ πρᾶγμα ἀδικῶν, ἀλλὰ [l] δείκνυσιν ὡς 882
θαρρεῖ μὲν καὶ τῇ εὐθείᾳ, ἐκ περιουσίας δὲ [m] αὐτῷ καὶ παραγραφὴν ὁ νόμος δίδωσι.

ΑΝΔΡΕΣ δικασταὶ, βούλομαι παραγεγραμμένος μὴ εἰσαγώγιμον εἶναι τὴν δίκην περὶ τῶν νόμων πρῶτον εἰπεῖν, καθ' οὓς παρεγραψάμην. οἱ νόμοι κελεύουσιν, ὦ ἄνδρες δικασταὶ, τὰς δίκας εἶναι τοῖς ναυκλήροις καὶ τοῖς ἐμπόροις τῶν Ἀθήναζε καὶ τῶν Ἀθήνηθεν συμβολαίων, καὶ περὶ ὧν ἂν ὦσι συγγραφαί· [n] ἂν δέ τις παρὰ
2 ταῦτα δικάζηται, μὴ εἰσαγώγιμον εἶναι τὴν δίκην. τούτῳ τοίνυν Ζηνοθέμιδι πρὸς μὲν ἐμὲ ὅτι οὐδὲν ἦν συμβόλαιον οὐδὲ συγγραφὴ, [o] καὐτὸς ὁμολογεῖ ἐν τῷ ἐγκλήματι· δανεῖσαι δέ φησιν Ἡγεστράτῳ ναυκλήρῳ, τούτου δὲ ἀπολομένου ἐν τῷ πελάγει ἡμᾶς τὸ ναῦλον σφετερίσασθαι· [p] τουτὶ τὸ ἔγκλημά ἐστιν. ἐκ [q] δὴ τοῦ αὐτοῦ λόγου τήν τε δίκην οὐκ εἰσαγώγιμον οὖσαν μαθήσεσθε καὶ τὴν ὅλην ἐπιβουλὴν καὶ πονηρίαν τουτουὶ τοῦ ἀνθρώπου ὄψεσθε.
3 δέομαι δ' [r] ὑμῶν πάντων, ὦ ἄνδρες δικασταὶ, εἴπερ ἄλλῳ τινὶ πώποτε πράγματι τὸν νοῦν [s] προσέσχετε, καὶ τούτῳ [t] προσχεῖν· ἀκούσεσθε γὰρ ἀνθρώπου [u] τόλμαν καὶ πονηρίαν οὐ τὴν τυχοῦσαν, ἅνπερ ἐγὼ τὰ πεπραγμέν' αὐτῷ 883
πρὸς ὑμᾶς πολλάκις εἰπεῖν δυνηθῶ. [x] οἶμαι δέ.

4 Ζηνόθεμις γὰρ [y] οὑτοσὶ ὢν ὑπηρέτης Ἡγεστράτου τοῦ ναυκλήρου, ὃν καὶ αὐτὸς ἔγραψεν ἐν τῷ ἐγκλήματι ὡς ἐν τῷ πελάγει ἀπώλετο (πῶς δ', οὐ προσέγραψεν, ἀλλ'

[k] ὁ additum ex F. [l] δείκνυσιν] δείκνυσι μὲν F. [m] αὐτῷ Wolfius. αὐτῶν libri. [n] ἂν] ἐὰν A.r. [o] καὐτὸς S. καὶ αὐτὸς vulgo. [p] τουτὶ] καὶ τουτὶ A.r. [q] δὴ A.S.r. Legebatur δέ. [r] ὑμῶν πάντων] πάντων ὑμῶν A.r. ὑμῶν ἁπάντων F.Q. [s] προσέσχετε Reiskius. προσέχετε libri. [t] προσχεῖν S.Q. Legebatur προσέχειν. [u] τόλμαν] τόλμαν F. (η superscript) [x] οἶμαι A.S. Scribebatur οἴομαι. [y] οὑτοσὶ] οὑτοσὶ ὦ ἄνδρες δικασταὶ A.r.

ἐγὼ φράσω), ἀδίκημα τοιουτονὶ μετ' ἐκείνου συνεσκευά-
5 σατο. χρήματα ἐν ταῖς [z] Συρακούσαις [a] ἐδανείζετο [b] οὗτος
καὶ ἐκεῖνος. ὡμολόγει δ' [c] ἐκεῖνος μὲν πρὸς τοὺς τούτῳ
δανείζοντας, εἴ τις ἔροιτο, ἐνεῖναι σῖτον ἐν τῇ νηὶ τούτῳ
πολὺν, [d] οὑτοσὶ δὲ πρὸς τοὺς ἐκείνῳ τὸν γόμον οἰκεῖον
[e] ἔχειν αὐτὸν τῆς νεώς· [f] ὢν δὲ ὁ μὲν ναύκληρος, ὁ δ' ἐπι-
βάτης, ἐπιστεύοντο εἰκότως ἃ περὶ ἀλλήλων ἔλεγον.
6 λαμβάνοντες δὲ τὰ χρήματα οἴκαδε [g] ἀπέστελλον εἰς
τὴν [h] Μασσαλίαν, καὶ οὐδὲν εἰς τὴν ναῦν εἰσέφερον. οὐσῶν
δὲ τῶν συγγραφῶν, ὥσπερ εἰώθασιν ἅπασαι, σωθείσης
τῆς νεὼς ἀποδοῦναι τὰ χρήμαθ', [i] ἵν' ἀποστερήσαιεν τοὺς
7 [k] δανείσαντας, τὴν ναῦν καταδῦσαι ἐβουλεύσαντο. ὁ μὲν
οὖν [l] Ἡγέστρατος, ὡς ἀπὸ τῆς γῆς ἀπῆραν [m] δυοῖν ἢ τριῶν
ἡμερῶν πλοῦν, καταβὰς τῆς νυκτὸς εἰς κοίλην ναῦν διέ-
κοπτε τοῦ πλοίου τὸ ἔδαφος. οὑτοσὶ δ', ὡς οὐδὲν εἰδὼς,
ἄνω μετὰ τῶν ἄλλων ἐπιβατῶν διέτριβεν. ψόφου δὲ γενο-
μένου, αἰσθάνονται οἱ ἐν τῷ πλοίῳ ὅτι κακόν τι ἐν κοίλῃ
8 νηὶ γίγνεται, καὶ βοηθοῦσι κάτω. ὡς δ' ἡλίσκετο ὁ Ἡγέ-
στρατος καὶ δίκην δώσειν [n] ὑπέλαβε, φεύγει καὶ [o] διω-
κόμενος ῥίπτει [p] αὑτὸν εἰς τὴν θάλατταν, διαμαρτὼν δὲ
τοῦ λέμβου διὰ τὸ νύκτα εἶναι ἀπεπνίγη. ἐκεῖνος μὲν
[q] οὖν οὕτως, ὥσπερ [r] ἄξιος ἦν, κακὸς κακῶς ἀπώλετο, ἃ
τοὺς ἄλλους ἐπεβούλευσε ποιῆσαι, ταῦτα παθὼν αὐτός. 884
9 οὑτοσὶ δ' ὁ κοινωνὸς αὐτοῦ καὶ συνεργὸς τὸ μὲν πρῶτον
εὐθὺς ἐν τῷ πλοίῳ παρὰ τἀδικήματα, ὡς οὐδὲν εἰδὼς,
[s] ἀλλ' ἐκπεπληγμένος καὶ αὐτὸς, ἔπειθε τὸν [t] πρῳρέα καὶ

[z] Συρακούσαις] συρακούσαις S. συρρακούσαις r. [a] ἐδανείζετο] ἐδανείζοντο A r. [b] οὗτος καὶ ἐκεῖνος] οὑτοσὶ κἀκεῖνος A.r. [c] ἐκεῖνος] οὗτος S. [d] οὑτοσὶ] οὗτος S. [e] ἔχειν αὐτὸν] αὐτὸν ἔχειν A.r. [f] ὢν] ὡς S. ἦν F.Q.

[g] ἀπέστελλον] ἐπέστελλον (ἀ superscript) F. [h] Μασσαλίαν] μεσσαλίαν S. [i] ἵν'] ἵνα δ' r. [k] δανείσαντας] δανειστὰς Q. [l] Ἡγέστρατος] Post alterum τ literæ duæ in S. erasæ quæ ηγ fuisse videntur. [m] δυοῖν A.F.Q. Scribebatur δυεῖν. [n] ὑπέλαβε] ὑπελάμβανε A.r. [o] διωκόμενος S. Legebatur ἐκδιωκόμενος. [p] αὑτὸν S. ἑαυτὸν vulgo. [q] οὖν om. S. [r] ἄξιος ἦν] ἦν ἄξιος F.Q. [s] ἀλλ'] ἀλλὰ καὶ F.Q. [t] πρῳρέα] πρωιρέα S. πρωρέα vulgo.

τοὺς ναύτας εἰς τὸν λέμβον [u] ἐκβαίνειν καὶ ἐκλιπεῖν τὴν ναῦν τὴν ταχίστην, ὡς ἀνελπίστου τῆς σωτηρίας οὔσης καὶ καταδυσομένης τῆς νεὼς αὐτίκα μάλα, ἵν', ὅπερ διενοήθησαν, [x] τοῦτ' ἐπιτελεσθείη καὶ ἡ ναῦς ἀπόλοιτο καὶ
10 τὰ συμβόλαια ἀποστερήσαιεν. ἀποτυχὼν δὲ τούτου, καὶ τοῦ παρ' ἡμῶν [y] συμπλέοντος [z] ἐναντιωθέντος [a] καὶ τοῖς ναύταις [b] μισθοὺς, εἰ διασώσαιεν τὴν ναῦν, μεγάλους ἐπαγγειλαμένου. σωθείσης εἰς [c] Κεφαλληνίαν τῆς [d] νεὼς διὰ τοὺς θεοὺς μάλιστά γε, εἶτα [e] καὶ διὰ τὴν τῶν ναυτῶν ἀρετὴν, πάλιν μετὰ τῶν Μασσαλιωτῶν τῶν τοῦ Ἡγεστράτου πολιτῶν μὴ καταπλεῖν Ἀθήναζε τὸ πλοῖον ἔπραττε, λέγων ὡς αὐτός τε καὶ τὰ χρήματ' ἐκεῖθέν ἐστι, καὶ
11 ὁ ναύκληρος εἴη καὶ οἱ δεδανεικότες Μασσαλιῶται. ἀποτυχὼν δὲ [f] καὶ τούτου, καὶ τῶν ἀρχόντων τῶν ἐν τῇ Κεφαλληνίᾳ γνόντων Ἀθήναζε τὴν ναῦν καταπλεῖν, ὅθενπερ ἀνήχθη, ὃν οὐδ' ἂν [g] εἰς ἐλθεῖν ᾤετο δεῦρο τολμῆσαι τοιαῦτά γε ἐσκευωρημένον καὶ πεποιηκότα, [h] οὗτος, ὦ ἄνδρες Ἀθηναῖοι, τοσοῦτον ὑπερβέβληκεν ἀναιδείᾳ καὶ τόλμῃ, ὥστ' οὐκ ἐλήλυθε μόνον, ἀλλὰ καὶ τοῦ σίτου τοῦ ἡμετέρου ἀμφισβητήσας ἡμῖν δίκην προσείληχεν.

12 Τί οὖν ποτ' ἐστὶ τὸ αἴτιον, καὶ τῷ ποτ' ἐπηρμένος οὗτος [i] κατελήλυθε καὶ τὴν δίκην εἴληχεν; ἐγὼ ὑμῖν ἐρῶ, ἄνδρες δικασταὶ, ἀχθόμενος μὲν νὴ τὸν Δία καὶ [k] θεοὺς, ἀναγκαζόμενος δέ. ἔστιν [l] ἐργαστήρια μοχθηρῶν ἀνθρώ- 885
πων συνεστηκότων ἐν τῷ Πειραιεῖ· οὓς οὐδ' ὑμεῖς [m] ἀγνοή-
13 σετε ἰδόντες. ἐκ τούτων ἕνα, [n] ἡνίχ' οὗτος ἔπραττεν ὅπως

[u] ἐκβαίνειν καὶ ἐκλιπεῖν] ἐμβαίνειν καὶ ἐκλείπειν A.r. [x] τοῦτ' ἐπιτελεσθείη] τουτὶ τελεσθείη F.Q. [y] συμπλέοντος] ἐμπλέοντος A.F.r. [z] ἐναντιωθέντος om. A.r. [a] καὶ erasum in A., om. r. [b] μισθοὺς om. S. post ναῦν ponunt F.Q. [c] κεφαλληνίαν duplici λ F.Q.r. hic et infra. Κεφαληνίαν vulgo. Alterum λ a correctore habet A. [d] νεὼς] νεὼς ὡς S. [e] καὶ om. F.Q. [f] καὶ om. r. [g] εἰς ἐλθεῖν ᾤετο] εἰσελθεῖν τις ᾤετο r. [h] οὗτος] τοῦτον F.Q. [i] κατελήλυθε S.Q. Legebatur καὶ ἐλήλυθε. [k] θεοὺς] τοὺς θεοὺς r. Conf. p. 790, 4. [l] ἐργαστήρια μοχθηρῶν] ἐργαστήριον πονηρῶν r. ἐργαστήριον etiam A. [m] ἀγνοήσετε] ἀγνοήσαιτε A.r. [n] ἡνίχ'] ἡνίκα S.

ἡ ναῦς μὴ [o] καταπλεύσεται δεῦρο, [p] πρεσβευτὴν ἐκ βουλῆς τινὰ λαμβάνομεν γνώριμον οὑτωσὶ, ὅ τι δ' [q] ἦν οὐκ [r] εἰδότες, ἀτύχημα [s] οὐδὲν ἔλαττον, εἰ οἷόν τ' εἰπεῖν, ἀτυχήσαντες [t] ἢ [u] τὸ ἐξ ἀρχῆς πονηροῖς ἀνθρώποις συμμῖξαι. [x] οὗτος ὁ πεμφθεὶς ὑφ' ἡμῶν, Ἀριστοφῶν ὄνομα αὐτῷ, ὃς καὶ τὰ τοῦ Μικκαλίωνος πράγματα ἐσκευώρηται (ταῦτα [y] γὰρ [z] νῦν [a] ἀκούομεν), ἠργολάβηκεν [b] αὐτὸς καὶ [c] κατεπήγγελται [d] τουτῳὶ, καὶ ὅλως ἐστὶν ὁ πάντα πράττων οὗ-
14 τος· ὁδὶ δὲ ἄσμενος δέδεκται ταῦτα. ὡς γὰρ διήμαρτε τοῦ διαφθαρῆναι τὸ πλοῖον, οὐκ ἔχων ἀποδοῦναι τὰ χρήματα τοῖς δανείσασι (πῶς γὰρ [e] ἃ ἐξ ἀρχῆς μὴ ἐνέθετο;) ἀντιποιεῖται τῶν ἡμετέρων, καὶ φησὶ τῷ Ἡγεστράτῳ ἐπὶ τούτῳ τῷ σίτῳ δεδανεικέναι, ὃν ὁ παρ' ἡμῶν [f] ἐπιπλέων ἐπρίατο. οἱ δὲ δανεισταὶ τὸ ἐξ ἀρχῆς ἐξηπατημένοι, ὁρῶντες ἑαυτοῖς ἀντὶ τῶν χρημάτων ἄνθρωπον πονη-
15 ρὸν χρήστην, [g] ἄλλο δ' οὐδὲν, [h] ἐλπίδα ἔχοντες ὑπὸ τούτου παρακρουσθέντων [i] ὑμῶν ἐκ τῶν ἡμετέρων ἀπολήψεσθαι τὰ ἑαυτῶν, ὃν ἴσασι ψευδόμενον ταῦτα καθ' ἡμῶν, τούτῳ συνδικεῖν ἀναγκάζονται τοῦ συμφέροντος [k] ἕνεκα τοῦ ἑαυτῶν.

Τὸ μὲν οὖν πρᾶγμα, ὑπὲρ οὗ τὴν ψῆφον οἴσετε, ὡς εἰπεῖν ἐν κεφαλαίῳ, τοιοῦτόν ἐστι. βούλομαι δὲ τοὺς μάρτυρας ὧν λέγω πρῶτον ὑμῖν παρασχόμενος, μετὰ ταῦτα [l] δὴ καὶ τἄλλα διδάσκειν. καί μοι λέγε τὰς μαρτυρίας.

[o] καταπλεύσεται] Scribebatur καταπλευσεῖται. καταπλεύσηται A.S.r. [p] πρεσβευτὴν] πρεσβύτην A.r. [q] ἦν] ἦν τοιοῦτος A.F.Q.r. [r] εἰδότες] ειδοντες S. [s] οὐδὲν] οὐδενὸς A.r. [t] ἢ] καὶ S. [u] τὸ] τόγε A.r. [x] οὗτος ὁ] οὗτος A.r. οὑτοσὶ S. [y] γὰρ] μὲν F.Q. [z] νῦν] οὖν Q. [a] ἀκούομεν), ἠργολάβηκεν] ἠκούομεν ἠργυλαβέναι F.Q. [b] αὐτὸς S. αὐτὸ^ν F. αὐτῶι Q. om. cum verbis. καὶ κατεπ.—πράττων r. [c] κατεπήγγελται] κατεπηγγέλθαι F.Q. [d] τουτῳὶ] τουτωι sine accentu S. [e] ἂ S. Legebatur ἅ γε. [f] ἐπιπλέων] ἐπιπλέον F. [g] ἄλλο δ' οὐδὲν] ἀλλ' οὐδ' F.Q. [h] ἐλπίδα] ἐλπίδας r. [i] ὑμῶν] δ' ὑμῶν Q. [k] ἕνεκα A.S.r. Scribebatur εἵνεκα. [l] δὴ] ἤδη A.r.

ΜΑΡΤΥΡΙΑΙ. 886

16 Ἐπειδὴ τοίνυν ἀφίκετο δεῦρο τὸ πλοῖον, γνόντων τῶν
[m] Κεφαλλήνων ἀντιπράττοντος τούτου, ὅθεν ἐξέπλευσε τὸ
πλοῖον, ἐνταῦθα καὶ καταπλεῖν αὐτὸ, τὴν μὲν ναῦν οἱ
ἐπὶ τῇ νηὶ δεδανεικότες [n] ἐνθένδε εὐθέως εἶχον, τὸν δὲ σῖτον
ὁ ἠγορακὼς εἶχεν· ἦν δ᾽ οὗτος ὁ ἡμῖν τὰ χρήματ᾽ ὀφεί-
λων. μετὰ ταῦτα [o] ἧκεν οὗτος ἔχων τὸν παρ᾽ ἡμῶν [p] πεμ-
φθέντα πρεσβευτὴν, [q] τὸν Ἀριστοφῶντα, καὶ [r] ἠμφεσβήτει
17 τοῦ σίτου, φάσκων Ἡγεστράτῳ δεδανεικέναι. "τί λέγεις,
"ἄνθρωπε;" εὐθέως [s] ὁ Πρῶτος (τοῦτο γὰρ ἦν [t] τοὔνομα
τῷ τὸν σῖτον εἰσαγαγόντι, τῷ τὰ χρήμαθ᾽ ἡμῖν ὀφεί-
λοντι) "σὺ χρήματα δέδωκας Ἡγεστράτῳ, μεθ᾽ οὗ τοὺς
"ἄλλους ἐξηπάτηκας, ὅπως δανείσηται, καὶ σοὶ πολ-
"λάκις [u] λέγοντος ὅτι τοῖς [x] προϊεμένοις ἀπολεῖται τὰ
"χρήματα; σὺ οὖν ταῦτ᾽ ἀκούων αὐτὸς ἂν προήκω;"
ἔφη, καὶ ἀναιδὴς ἦν. "οὐκοῦν [y] εἰ τὰ μάλιστα ἀληθῆ
"λέγεις," τῶν παρόντων τις ὑπέλαβεν, "ὁ σὸς κοινωνὸς
"καὶ πολίτης, ὁ Ἡγέστρατος, ὡς ἔοικεν, ἐξηπάτηκέ σε,
"καὶ ὑπὲρ [z] τούτων αὐτὸς αὑτῷ θανάτου τιμήσας ἀπόλω-
18 "λεν." "καὶ ὅτι γ᾽," ἔφη τις τῶν παρόντων, "ἁπάντων
"ἔστι συνεργὸς [a] οὗτος ἐκείνῳ, σημεῖον [b] ὑμῖν ἐρῶ· πρὸ
"γὰρ τοῦ διακόπτειν ἐπιχειρῆσαι τὴν ναῦν, τίθενται
"[c] πρός τινα τῶν συμπλεόντων οὗτος καὶ [d] ὁ Ἡγέστρα-
"τος [e] συγγραφήν. καίτοι εἰ μὲν εἰς πίστιν [f] ἔδωκας,
"τί πρὸ τοῦ κακουργήματος ἂν τὰ βέβαια ἐποιοῦ; εἰ δ᾽

[m] κεφαλλήνων A.S.r. Κεφαλήνων vulgo. [n] ἐνθένδε] ἐνθάδε F.Q. [o] ἧκεν οὗτος] οὗτος ἧκεν F.Q. [p] πεμφθέντα πρεσβευτὴν] πρεσβευτὴν πεμφθέντα F.Q. πεμφθέντα πρεσβύτην A.r. [q] τὸν om. A.r. [r] ἠμφεσβήτει pr. S. Scribebatur ἠμφισβήτει. [s] ὁ Πρῶτος] ὁ ἄνθρωπος ὁ πρῶτος F.Q. Conf. ad p. 889, 3. [t] τοὔνομα] ὄνομα A.r. [u] λέγοντος r. Legebatur λέγοντα. λέγοντα pr. A. λέγοντασ rec. A. litera σ ita adscripta ut α simul in ο mutatum voluisse videatur corrector. [x] προϊεμένοις] προεμένοις F.Q. [y] εἰ] εἰ καὶ F.Q. [z] τούτων] τούτου A. [a] οὗτος] οὕτως Q. [b] ὑμῖν] ἡμῖν S. [c] πρός τινα] πρόστιμα F.Q. [d] ὁ additum ex A.S. [e] συγγραφήν S. Legebatur βιβλίον συγγραφήν. Conf. p. 887, 21. [f] ἔδωκας] δέδωκας F.Q.

“ἀπιστῶν ἐτύγχανες, τί οὐχ, ὥσπερ οἱ ἄλλοι, τὰ δί-
19 “καια ἐλάμβανες ἐν τῇ γῇ;” τί ἂν τὰ πολλὰ λέγοι
τις; ἦν γὰρ οὐδ᾽ ὁτιοῦν πλέον ἡμῖν ταῦτα λέγουσιν, ἀλλ᾽ 887
[g]εἴχετο τοῦ σίτου. ἐξῆγεν αὐτὸν [h]Πρῶτος καὶ ὁ κοινωνὸς
τοῦ Πρώτου, Φέρτατος· οὑτοσὶ [i]δ᾽ οὐκ ἐξήγετο, οὐδ᾽ ἂν
ἔφη διαρρήδην ὑπ᾽ οὐδενὸς [k]ἐξαχθῆναι, εἰ μὴ αὐτὸν ἐγὼ
ἐξάξω. μετὰ ταῦτα προὐκαλεῖτο ὁ Πρῶτος αὐτὸν καὶ
20 ἡμεῖς ἐπὶ τὴν ἀρχὴν [l]τὴν τῶν [m]Συρακοσίων, κἂν μὲν
ἐωνημένος [n]τὸν σῖτον ἐκεῖνος φαίνηται καὶ τὰ τέλη κεί-
μενα [o]ἐκείνου καὶ τὰς τιμὰς ὁ διαλύων ἐκεῖνος, τοῦτον
πονηρὸν ὄντα [p]ἀξιοῦμεν ζημιοῦσθαι, εἰ δὲ μή, καὶ τὰ διά-
φορα ἀπολαβεῖν [q]καὶ τάλαντον προσλαβεῖν, καὶ τοῦ
σίτου ἀφιστάμεθα. [r]ταῦτ᾽ ἐκείνου προκαλουμένου καὶ
λέγοντος καὶ ἡμῶν οὐδὲν ἦν πλέον, ἀλλ᾽ ἦν αἵρεσις ἢ τοῦ-
τον ἐξάγειν [s]ἡμᾶς ἢ ἀπολωλεκέναι σωθέντα [t]καὶ παρόν-
21 τα τὰ ἡμέτερ᾽ αὐτῶν. ὁ γὰρ αὖ Πρῶτος [u]διεμαρτύρετο
ἐξάγειν, [x]βεβαιῶν ἀναπλεῖν ἐθέλειν εἰς τὴν Σικελίαν· εἰ
δὲ [y]ταῦτ᾽ ἐθέλοντος [z]αὐτοῦ [a]προησόμεθ᾽ ἡμεῖς τούτῳ τὸν
σῖτον, οὐδὲν αὐτῷ μέλειν. καὶ ὅτι ταῦτ᾽ ἀληθῆ λέγω,
καὶ οὔτ᾽ ἂν ἐξαχθῆναι ἔφη, εἰ μὴ ὑπ᾽ ἐμοῦ, οὔθ᾽ ἃ προὐ-
καλεῖτο περὶ τοῦ ἀναπλεῖν ἐδέχετο, ἔν τε τῷ [b]πλοίῳ τὴν
συγγραφὴν ἔθετο, λέγε τὰς μαρτυρίας.

ΜΑΡΤΥΡΙΑΙ.

22 Ἐπειδὴ τοίνυν οὔτ᾽ ἐξάγεσθαι ἤθελεν ὑπὸ τοῦ Πρώτου
οὔτ᾽ εἰς τὴν Σικελίαν ἀναπλεῖν ἐπὶ τὰ δίκαια, προειδὼς
θ᾽ ἅπαντα ἐφαίνετο [c]ἃ ὁ Ἡγέστρατος ἐκακούργει, λοι-

[g] εἴχετο] ἀντείχετο A.r. [h] πρῶτος S. Legebatur ὁ Πρῶτος. [i] δ᾽] δὴ Q. [k] ἐξαχθῆναι] ἐξαχθῆναι ἂν A.r. [l] τὴν om. S. [m] Συρακοσίων] συρακουσίων F.r. συρρακουσίων B. [n] τὸν σῖτον ἐκεῖνος om. A.r. [o] ἐκείνου] ἐκείνῳ A.r. [p] ἀξιοῦμεν] ἠξιοῦμεν A.r. [q] καὶ τάλαντον προσλαβεῖν om. A.r. [r] ταῦτ᾽] τοῦτ᾽ A.r. [s] ἡμᾶς om. F.S.Q. [t] καὶ om. F.Q. [u] διεμαρτύρετο] διεμαρτύρατο A.r. [x] βεβαιῶν margo ed. Paris. a. 1570. βεβαιοῦν libri. [y] ταῦτ᾽ ἐθέλοντος] αὖ θέλοντος F.Q. [z] αὐτοῦ] αὑτοῦ S. [a] προησόμεθ᾽ Reiskius. ποιησόμεθα A.r. προήσομεν vulgo. [b] πλοίῳ] πλῷ A.r. [c] ἃ ὁ] ὃ A. ἃ r.

πὸν [d]ἦν ἡμῖν τοῖς [e]ἐνθένδε [f]μὲν πεποιημένοις τὸ συμβό-
λαιον, [g]παρειληφόσι δὲ τὸν σῖτον παρὰ τοῦ δικαίως ἐκεῖ
πριαμένου, ἐξάγειν τοῦτον. τί γὰρ ἂν [h]καὶ ἄλλο ἐποιοῦ-
23 μεν; οὔπω γὰρ τοῦτό γε οὐδεὶς ἡμῶν τῶν κοινωνῶν [i]ὑπέ-
λαβεν, ὡς ὑμεῖς γνώσεσθέ ποτ' εἶναι τούτου τὸν σῖτον, ὃν 888
[k]καταλιπεῖν οὗτος ἔπειθε τοὺς ναύτας, ὅπως ἀπόλοιτο
τοῦ πλοίου καταδύντος. ὃ καὶ μέγιστόν ἐστι σημεῖον τοῦ
μηδὲν προσήκειν αὐτῷ· τίς γὰρ ἂν τὸν ἑαυτοῦ σῖτον ἔπειθε
προέσθαι τοὺς σώζειν βουλομένους; [l]ἢ τίς οὐκ ἂν ἔπλει
[m]δεξάμενος τὴν πρόκλησιν εἰς τὴν Σικελίαν, οὗ [n]ταῦτα
24 ἦν ἐλέγξαι καθαρῶς; καὶ μὴν οὐδὲ τοῦτ' [o]ἔμελλον [p]ὑμῶν
καταγνώσεσθαι, ὡς εἰσαγώγιμον [q]ψηφιεῖσθε τούτῳ τὴν
δίκην περὶ τούτων τῶν χρημάτων, ἃ κατὰ πολλοὺς τρό-
πους οὗτος ἔπραττεν ὅπως μὴ εἰσαγώγιμα δεῦρ' ἔσται,
πρῶτον μὲν ὅτε αὐτὰ καταλιπεῖν τοὺς ναύτας [r]ἔπειθεν,
εἶθ' ὅτ' ἐν [s]Κεφαλληνίᾳ μὴ δεῦρο πλεῖν τὴν ναῦν [t]ἔπρατ-
25 τεν. πῶς γὰρ οὐκ αἰσχρὸν καὶ δεινὸν ἂν γένοιτο, εἰ [u]Κε-
φαλλῆνες μέν, ὅπως [x]τοῖς Ἀθηναίοις σωθῇ τὰ χρήματα,
δεῦρο πλεῖν τὴν ναῦν ἔκριναν, ὑμεῖς δ' ὄντες Ἀθηναῖοι τὰ
τῶν πολιτῶν τοῖς καταποντίσαι βουληθεῖσι δοῦναι γνοί-
ητε, καὶ ἃ μὴ καταπλεῖν [y]ὅλως οὗτος δεῦρο ἔπραττε,
ταῦτ' εἰσαγώγιμα τούτῳ [z]ψηφίσαισθε; μὴ [a]δῆτα, ὦ Ζεῦ
καὶ θεοί. λέγε δή μοι τί [b]παραγέγραμμαι.

[d] ἦν] ἦν ἐν r. [e] ἐνθένδε] ἐνθάδε F.Q. [f] μὲν om. F.Q. [g] παρειληφόσι] Literas οσι in litura habet S. duarum literarum, quarum altera ει diphthongus fuit uno ductu expressa. [h] καὶ om. A.r. [i] ὑπέλαβεν] ὑπελάμβανεν F.Q. [k] καταλιπεῖν] καταλείπειν S. Sed καταλιπεῖν idem v. 12. [l] ἢ] ει pr. S. [m] δεξάμενος τὴν πρόκλησιν] τὴν πρόκλησιν δεξάμενος A.r. [n] ταῦτα om. Q.
ἡ
[o] ἔμελλον] ἐμέλλομεν Reiskius. [p] ὑμῶν] ὑμῶν Q. ἡμῶν S.r. [q] ψηφιεῖσθε (ψηφιεῖσθαι pr. S.) τούτῳ] τούτῳ ψηφιεῖσθε A.F.Q.r. [r] ἔπειθεν] ἔπειθον S. [s] κεφαλληνίᾳ A.S.r. Κεφαληνίᾳ vulgo. [t] ἔπραττεν] ἔπραττον S. qui literas ρατт in litura habet: nam a pr. m. verbum fuit e literis sex compositum. [u] κεφαλλῆνες A.S. Κεφαλῆνες vulgo. [x] τοῖς om. Q. [y] ὅλως om. A.r. [z] ψηφίσαισθε] ψηφίσησθε S. [a] δῆτα A.r. Legebatur δήπου. In S. δηπουγ'. [b] παραγέγραμμαι] προγέγραμμαι B.

26 ΠΑΡΑΓΡΑΦΗ.

Λέγε δή μοι τὸν νόμον.

ΝΟΜΟΣ.

Ὅτι μὲν τοίνυν [c] *ἐκ τῶν νόμων* [d] *παρεγραψάμην μὴ
εἰσαγώγιμον εἶναι τὴν δίκην, ἱκανῶς* [e] *οἶμαι δεδεῖχθαι·
τέχνην δ'* [f] *ἀκούσεσθε τοῦ σοφοῦ τοῦ ταῦτα πάντα* [g] *συντε-*
27 *θεικότος, τοῦ Ἀριστοφῶντος. ὡς γὰρ ἐκ τῶν πραγμάτων
ἁπλῶς οὐδὲν ἑώρων* [h] *δίκαιον ἑαυτοῖς ἐνὸν, ἐπικηρυκεύονται
τῷ Πρώτῳ καὶ πείθουσι τὸν ἄνθρωπον* [i] *ἐνδοῦναι τὰ* [k] *πρά-
γμαθ' ἑαυτοῖς, πράττοντες μὲν, ὡς ἔοικε, καὶ ἐξ ἀρχῆς* 889
τοῦτο, ὡς ἡμῖν [l] *νῦν φανερὸν γέγονεν, οὐ δυνάμενοι δὲ*
28 *πεῖσαι. ὁ γὰρ* [m] *Πρῶτος, ἕως μὲν ᾤετο τὸν σῖτον κέρδος*
[n] *ἐλθόντα ποιήσειν, ἀντείχετο τούτου καὶ μᾶλλον ᾑρεῖτο
αὐτός τε κερδᾶναι καὶ ἡμῖν τὰ δίκαια ἀποδοῦναι, ἢ*
[o] *κατακοινωνήσας τούτοις τῆς μὲν ὠφελείας τούτους ποι-
ῆσαι μερίτας, ἡμᾶς δ' ἀδικῆσαι· ὡς δὲ δεῦρο ἥκοντος
αὐτοῦ καὶ περὶ ταῦτα πραγματευομένου ἐπανῆκεν ὁ*
29 *σῖτος, ἄλλην εὐθέως ἔλαβε γνώμην. καὶ ἅμα (εἰρή-
σεται γάρ,* [p] *ὦ ἄνδρες* [q] *Ἀθηναῖοι,* [r] *πᾶσα πρὸς ὑμᾶς ἡ
ἀλήθεια) καὶ ἡμεῖς οἱ δεδανεικότες προσεκρούομεν αὐτῷ
καὶ πικρῶς εἴχομεν, τῆς τε ζημίας ἐφ' ἡμᾶς ἰούσης τῆς*
[s] *περὶ τὸν σῖτον, καὶ συκοφάντην ἀντὶ χρημάτων αἰτιώμενοι
τοῦτον ἡμῖν κεκομικέναι. ἐκ* [t] *τούτων, οὐδὲ φύσει χρηστὸς*
30 *ὢν* [u] *ἅνθρωπος δηλονότι, ἐπὶ τούτους ἀποκλίνει, καὶ* [x] *συγ-*

[c] *ἐκ*] *δικαίως ἐκ* A.r. [d] *παρεγραψάμην*] *παρεγεγράμην* S. [e] *οἶμαι*] *οἴομαι* A. [f] *ἀκούσεσθε τοῦ σοφοῦ*] *ἀκούσεσθαι σοφ* (sic per compendium, quod *σοφὴν* significare potest) S., inserto ab eadem manu *τοῦ* et *ου* super *φ* scripto, *ἀκούσεσθαι* autem in *ἀκούσεσθε* a m. rec. mutato. [g] *συντεθεικότος* A.S.r. Legebatur *συντεταχότος*. [h] *δίκαιον ἑαυτοῖς* S. *δίκαιον αὑτοῖς* vulgo. *αὑτοῖς δίκαιον* A.r. [i] *ἐνδοῦναι*] *μὴ ἐνδοῦναι* F.Q. [k] *πράγμαθ' ἑαυτοῖς* A.S. *πράγμαθ' αὑτοῖς* vulgo. *πράγματ' αὑτοῖς* F.Q. [l] *νῦν* F.S.Q. *νυνὶ* vulgo. [m] *Πρῶτος* Schæferus. Legebatur *ἄνθρωπος ὁ Πρῶτος*. Conf. var. lect. ad p. 886, 11. [n] *ἐλθόντα ποιήσειν, ἀντείχετο*] *ἀντείχετο ἐλθόντα ποιήσειν* S. [o] *κατακοινωνήσας*] *κατακοινωνησάσης* F.Q. [p] *ὦ* om. A.S. [q] *Ἀθηναῖοι*] *δικασταί* A.r. [r] *πᾶσα* om. F.Q. [s] *περὶ* Wolfius. Legebatur *ἐπί*. [t] *τούτων*] *τούτου* A. [u] *ἅνθρωπος* Schæferus. *ἄνθρωπος* libri. [x] *συγχωρεῖ*] *συγχωρεῖν* S.

χωρεῖ τὴν δίκην ἔρημον [y] ὀφλεῖν, ἣν οὗτος αὐτῷ λαγχάνει τότε, ὅτε οὔπω [z] ταὔτ' ἐφρόνουν. εἰ μὲν γὰρ ἀφῆκε τὸν Πρῶτον, [a] ἐξελήλεγκτ' ἂν εὐθέως ἡμᾶς συκοφαντῶν· [b] ὀφλεῖν δὲ παρὼν ἐκεῖνος οὐ συνεχώρει, ἵν' ἐὰν μὲν αὐτῷ ποιῶσιν ἃ ὡμολογήκασιν· εἰ δὲ μή, τὴν ἔρημον ἀντι-
31 λάχῃ. ἀλλὰ τί ταῦτα; εἰ μὲν γὰρ ἃ γέγραφεν οὗτος εἰς τὸ ἔγκλημα ἐποίει, οὐκ ὀφλεῖν ἂν δίκην δικαίως, ἀλλ' ἀποθανεῖν [c] ὁ Πρῶτος ἔμοιγε δοκεῖ. εἰ γὰρ ἐν κακοῖς καὶ χειμῶνι τοσοῦτον οἶνον ἔπινεν ὥσθ' ὅμοιον εἶναι μανίᾳ, τί οὐκ ἄξιός [d] ἐστι παθεῖν; ἢ εἰ γράμματ' [e] ἔκλε-
32 πτεν ἢ ὑπανέῳγεν; ἀλλὰ ταῦτα μὲν [f] αὐτοὶ πρὸς ἑαυτοὺς ὑμεῖς ὅπως ποτ' [g] ἔχει [h] διακρινεῖσθε· τῇ δ' ἐμῇ 890 δίκῃ μηδὲν ἐκείνης πρόσαγε. εἴ τί σε [i] ἠδίκηκεν [k] ὁ Πρῶτος ἢ λέγων ἢ ποιῶν, ἔχεις, ὡς ἔοικε, δίκην· οὐδεὶς ἡμῶν [l] ἐκώλυσεν, οὐδὲ νῦν παραιτεῖται. [m] εἰ σεσυκοφάντηκας,
33 οὐ περιεργαζόμεθα. [n] νὴ Δία, ἀλλ' ἐκποδών ἐστιν [o] ἄνθρωπος. διά γε ὑμᾶς, ἵνα τάς τε μαρτυρίας τὰς ἡμετέρας [p] λίπῃ, καὶ νῦν ὑμεῖς ὅ τι ἂν βούλησθε λέγητε κατ' αὐτοῦ. εἰ [q] γὰρ μὴ δι' ὑμῶν ἔρημος ἐγίγνετο ἡ δίκη, ἅμα ἂν αὐτὸν προσεκαλοῦ καὶ κατηγγύας πρὸς τὸν πολέμαρχον, καὶ εἰ μὲν κατέστησέ σοι τοὺς ἐγγυητάς, μένειν ἠναγκάζετ' ἂν ἢ σὺ [r] παρ' ὧν [s] λήψει δίκην ἑτοίμους εἶ-
34 χες, εἰ δὲ μὴ κατέστησεν, εἰς τὸ οἴκημα ἂν [t] ᾔει. νῦν δὲ κοινωσάμενοι τὸ πρᾶγμα, ὁ μὲν διὰ σοῦ [u] τὴν γεγονυῖαν [x] ἔνδειαν οὐκ ἀποδώσειν ἡμῖν οἴεται, σὺ δ' ἐκείνου κατη-

[y] ὀφλεῖν] ὄφλειν vulgo. ὄφλει S; eraso ν. [z] ταὔτ'] ταὐτ' S. ταὐτὰ vulgo. ταῦτα F.Q. [a] ἐξελήλεγκτ'] ἐξήλεγκτ' F.Q. [b] ὀφλεῖν] ὄφλειν vulgo hic et paullo post. [c] ὁ om. F. [d] ἐστι] εἴη F.Q. ειστι pr. S. [e] ἔκλεπτεν ἢ] ἔκλεπτεν εἰ S. ἔκλεπτεν ἢ εἰ A.F.Q. [f] αὐτοὶ om. F.Q. [g] ἔχει] ἔχῃ A.F.r. [h] διακρινεῖσθε] διακρίνεσθε A.S.r. [i] ἠδίκηκεν] ἠδίκησεν F. ἠδίκηκε A.r. [k] ὁ om. A.r. [l] ἐκώλυσεν] ἐκώλυεν S. σε κωλύσειεν A.r. [m] εἰ S. Legebatur εἰ δέ. [n] νὴ Δία vulgo ad præcedentia verba relatum. Recte distinctum in A. [o] ἄνθρωπος Bekkerus. ἄνθρωπος libri. [p] λίπῃ] λείπῃ A.r. λιπει S. [q] γὰρ μὴ S. Legebatur μὴ γάρ. μὴ om. A.r. [r] παρ' ὧν] παρὼν Q. [s] λήψει] λήψῃ F.Q. [t] ᾔει] ἀπῆκτο A.r. [u] τὴν om. S. [x] ἔνδειαν] ἔκδειαν F. ἔκδειαν A.r.

γορῶν τῶν ἡμετέρων κύριος [y]γενήσεσθαι. τεκμήριον δέ·
ἐγὼ μὲν γὰρ αὐτὸν κλητεύσω, σὺ [z]δ' οὔτε κατηγγύησας
οὔτε νῦν [a]κλητεύεις.

35 Ἔτι τοίνυν ἑτέρα τις [b]ἐστὶν ἐλπὶς αὐτοῖς τοῦ [c]παρα-
κρούσεσθαι καὶ φενακιεῖν ὑμᾶς. αἰτιάσονται [d]Δημοσθέ-
νην, καὶ ἐκείνῳ [e]ἐμὲ πιστεύοντα φήσουσιν [f]ἐξάγειν του-
τονὶ, ὑπολαμβάνοντες τῷ ῥήτορα καὶ γνώριμον εἶναι ἐκεῖ-
νον πιθανὴν ἔχειν τὴν αἰτίαν. ἐμοὶ δ' [g]ἐστὶ μὲν, [h]ὦ ἄν-
δρες Ἀθηναῖοι, [i]Δημοσθένης οἰκεῖος γένει (καὶ πάντας
36 ὑμῖν [k]ὄμνυμι τοὺς θεοὺς ἦ μὴν ἐρεῖν τἀληθῆ), [l]προσελθόν-
τος [m]δ' αὐτῷ μου καὶ παρεῖναι καὶ βοηθεῖν ἀξιοῦντος, εἴ
τι ἔχοι, Δήμων, ἔφη, ἐγὼ ποιήσω μὲν ὡς ἂν σὺ κελεύῃς·
καὶ γὰρ ἂν δεινὸν εἴη· [n]δεῖ μέντοι καὶ τὸ σαυτοῦ καὶ
τοὐμὸν λογίσασθαι. ἐμοὶ συμβέβηκεν, [o]ἀφ' οὗ περὶ τῶν 891
κοινῶν λέγειν ἠρξάμην, μηδὲ πρὸς ἓν πρᾶγμα ἴδιον προσ-
εληλυθέναι· ἀλλὰ καὶ τῆς πολιτείας αὐτῆς τὰ τοιαῦτα
[p]ἐξέστηκα . . . . .

[y] γενήσεσθαι] γεγενῆσθαι F.Q. [z] δ' οὔτε] δ' οὐ S. [a] κλητεύεις S. κλητεύσεις vulgo. [b] ἐστὶν ἐλπὶς] ἐλπίς ἐστιν F.Q. [c] παρακρούσεσθαι] παρακρούσασθαι A.F.Q.r. [d] Δημοσθένην] δημοσθένη$^{\nu}$ F. δημοσθένη Q. [e] ἐμὲ] με A.r. [f] ἐξάγειν] ἐξαγαγεῖν A.r. [g] ἐστὶ μὲν S. ἐστιν vulgo. [h] ὦ ἄνδρες Ἀθηναῖοι om. A.r. [i] Δημοσθένης] ὁ δημοσθένης A.r. [k] ὄμνυμι] ὀμνύω A. [l] προσελθόντος] προελθόντος Q. [m] δ' om. A.r. [n] δεῖ μέντοι] διὰ μέντοι σὲ A.r. [o] ἀφ'] ἐφ' A.r. [p] Post ἐξέστηκα nonnulla excidisse animadvertit Reiskius. Cujus sententiam confirmat S. in quo trium versuum lacuna est signis SSSSS sæpius repetitis indicata, post quæ sequitur subscriptio πρὸς Ζηνόθεμιν παραγραφή.

ΛΓ.

ΠΡΟΣ ΑΠΑΤΟΥΡΙΟΝ ΠΑΡΑΓΡΑΦΗ.

ΥΠΟΘΕΣΙΣ.

Ὁ παραγραφόμενος τὴν δίκην ἰδίᾳ μέν τινα συμβόλαια πρὸς Ἀπατούριον ἔχων ἄφεσιν ἐπ᾽ ἐκείνοις καὶ ἀπαλλαγὴν ἐποιήσατο, νῦν δὲ ὑπὲρ Παρμένοντος ἐγκαλεῖται καὶ ἀπαιτεῖται χρήματα. ὁ γὰρ Παρμένων πολίτης μὲν ἦν τοῦ ἐμπόρου τοῦ Ἀπατουρίου Βυζάντιος, φυγὴν δὲ ἐκ τῆς πατρίδος κατεδεδίκαστο. φίλῳ δὲ κατ᾽ ἀρχὰς τῷ Ἀπατουρίῳ χρώμενος, ὕστερον προσκρούσας εἰς δίκας ἦλθε, καὶ ἐδίωκε τὸν Ἀπατούριον πληγῶν τε καὶ βλάβης, κἀκεῖνος αὖθις τῷ Παρμένοντι δίκην ἀντέλαχεν. ὁ μὲν οὖν Ἀπατούριος [q] ἑνὶ διαιτητῇ τὸ πρᾶγμα ἐπιτραπῆναί φησιν Ἀριστοκλεῖ, κἀκεῖνον καταγνῶναι τοῦ Παρμένοντος· διόπερ ἐπὶ τοῦτον ἥκει τὸν νῦν παραγραφόμενον τὴν δίκην, ἐγγυητὴν τοῦ Παρμένοντος γεγενῆσθαι φάσκων. ὁ δὲ οὐδὲν τούτων ὁμολογεῖ, ἀλλὰ πρῶτον μέν φησι τρισὶν αὐτοὺς ἐπιτρέψαι διαιτηταῖς, οὐχ ἑνὶ τῷ Ἀριστοκλεῖ, ἔπειτα ἐγγυητὴν τοῦ Παρμένοντος ἐν ταῖς συνθήκαις Ἄρχιππον γραφῆναι, κἀκείνας δὲ ἀφανισθῆναι τὰς συνθήκας κακουργίᾳ τοῦ Ἀπατουρίου, [r] πείσαντος τὸν Ἀριστοκλέα τὸν ἔχοντα αὐτὰς μὴ κομίζειν εἰς μέσον, ἀλλὰ λέγειν ὡς ἀπολώλεκε 892 *τὸ γραμματεῖον καθεύδων ὁ παῖς· ἑτέρας δὲ οὐκέτι γραφῆναι συνθήκας, οὐδὲ ἐπιτραπῆναι τὸ πρᾶγμα [s] διαίτῃ, τῆς μὲν πρότερον ἀναιρεθείσης τῇ τῶν συνθηκῶν ἀπωλείᾳ, δευτέρας δὲ οὐκέτι συμβαθείσης αὐτοῖς· τὸν δὲ Ἀριστοκλέα παρὰ πάντα τὰ δίκαια κατὰ τοῦ Παρμένοντος ἀποφήνασθαι οὐκέτ᾽ ὄντα διαιτητὴν, καὶ ταῦτα ἀποδημοῦντός τε τοῦ Παρμένοντος κατὰ συμφορὰν μεγάλην καὶ ἀπηγορευκότος αὐτῷ μὴ διαιτᾶν. ταῦτά τε οὖν ὁ τὴν δίκην φεύγων προτείνεται τὰ δίκαια, καὶ παραγράφεται τὸν ἀγῶνα, λέγων ἐπὶ μὲν τοῖς γενομένοις αὐτῷ πρὸς Ἀπατούριον συμβολαίοις ἄφεσιν ὑπάρξαι, ὕστερον δὲ οὐδὲν ἔτι γεγενῆσθαι συμβόλαιον, περὶ δὲ τῶν τοιούτων τοὺς νόμους μὴ διδόναι δικάζεσθαι.*

ΤΟΙΣ μὲν ἐμπόροις, ὦ ἄνδρες [t] δικασταὶ, καὶ τοῖς ναυκλήροις κελεύει ὁ νόμος εἶναι τὰς δίκας πρὸς τοὺς [u] θεσμοθέτας, ἐάν τι ἀδικῶνται ἐν τῷ [x] ἐμπορίῳ ἢ ἐνθένδε ποι πλέοντες ἢ ἑτέρωθεν δεῦρο, καὶ τοῖς ἀδικοῦσι δεσμὸν ἔταξε

[q] ἑνὶ Wolfius. ἐν vulgo. V. p. 897, 2. [r] πείσαντος] πείσαντες F. [s] διαίτῃ Bekkerus. Legebatur διαιτητῇ. [t] δικασταὶ S. et γρ. Q. Legebatur Ἀθηναῖοι. [u] θεσμοθέτας] νομοθέτας A.r. [x] ἐμπορίῳ] ἐμπορείῳ pr. S.

τοὐπιτίμιον, ἕως ἂν ἐκτίσωσιν ὅ τι ἂν αὐτῶν καταγνωσθῇ, 2 ἵνα μηδεὶς ἀδικῇ μηδένα τῶν ἐμπόρων εἰκῇ. τοῖς δὲ περὶ τῶν [y] μὴ γενομένων συμβολαίων εἰς κρίσιν [z] καθισταμένοις ἐπὶ τὴν παραγραφὴν καταφεύγειν ἔδωκεν ὁ νόμος, ἵνα [a] μηδεὶς συκοφαντῆται, ἀλλ' αὐτοῖς τοῖς τῇ ἀληθείᾳ 893 ἀδικουμένοις τῶν ἐμπόρων καὶ τῶν ναυκλήρων αἱ δίκαι ὦσιν. καὶ πολλοὶ ἤδη τῶν φευγόντων ἐν ταῖς ἐμπορικαῖς παραγραψάμενοι κατὰ τὸν νόμον [b] τουτονὶ καὶ εἰσελθόντες εἰς ὑμᾶς ἐξήλεγξαν τοὺς δικαζομένους ἀδίκως ἐγκαλοῦντας καὶ ἐπὶ τῇ προφάσει τοῦ ἐμπορεύεσθαι συκοφαντοῦντας. 3 ὁ μὲν οὖν μετὰ τούτου μοι ἐπιβεβουλευκὼς καὶ τὸν ἀγῶνα τουτονὶ κατεσκευακὼς προϊόντος τοῦ λόγου καταφανὴς ὑμῖν ἔσται· ἐγκαλοῦντος δέ μοι Ἀπατουρίου τὰ ψευδῆ καὶ παρὰ τοὺς νόμους δικαζομένου, καὶ ὅσα μὲν ἐμοὶ καὶ τούτῳ ἐγένετο συμβόλαια, πάντων ἀπαλλαγῆς καὶ ἀφέσεως γενομένης, [c] ἄλλου δὲ συμβολαίου οὐκ ὄντος ἐμοὶ πρὸς τοῦτον, [d] οὔτε ναυτικοῦ οὔτ' [e] ἐγγείου, παρεγραψάμην τὴν δίκην μὴ εἰσαγώγιμον εἶναι κατὰ τοὺς νόμους [f] τουτουσί.

4 ΝΟΜΟΙ.

Ὡς τοίνυν παρὰ τοὺς νόμους τούτους εἴληχέ μοι τὴν δίκην Ἀπατούριος καὶ τὰ ψευδῆ ἐγκέκληκεν, ἐκ πολλῶν [g] ὑμῖν τοῦτ' ἐπιδείξω. ἐγὼ γάρ, ὦ ἄνδρες δικασταί, πολὺν ἤδη χρόνον ἐπὶ τῆς ἐργασίας ὢν [h] τῆς κατὰ θάλατταν μέχρι μέν τινος αὐτὸς ἐκινδύνευον, οὔπω δ' ἔτη ἐστὶν ἑπτὰ ἀφ' οὗ τὸ μὲν πλεῖν καταλέλυκα, μέτρια δ' 5 ἔχων τούτοις πειρῶμαι ναυτικοῖς ἐργάζεσθαι. διὰ δὲ τὸ ἀφῖχθαι πολλαχόσε καὶ διὰ τὸ εἶναί μοι τὰς διατριβὰς

[y] μὴ om. S. [z] καθισταμένοις] καθεσταμένοις F.Q. [a] μηδεὶς συκοφαντῆται] μὴ συκοφαντῶνται F.Q. [b] τουτονὶ S. Scribebatur τοῦτον. [c] ἄλλου δὲ] ἀλλ' οὐδὲ Q. [d] οὔτε ναυτικοῦ οὔτ' ἐγγείου] οὔτ' ἐμπορικοῦ οὔτ' ἰδιωτικοῦ A.r. [e] ἐγγείου] Scribebatur ἐγγαίου, ad quod Wolfius annotavit "Alias ἐγγείου." [f] τουτουσί] τούτους F.Q. [g] ὑμῖν] ἂν ὑμῖν S. [h] τῆς κατὰ] τὴν κατὰ F.Q.

περὶ τὸ ἐμπόριον γνωρίμως ἔχω τοῖς πλείστοις τῶν πλεόντων τὴν θάλατταν· τούτοις δὲ τοῖς ἐκ Βυζαντίου καὶ πάνυ οἰκείως χρῶμαι διὰ τὸ ἐνδιατρῖψαι αὐτόθι. ἔχοντος δέ μου οὕτως ὡς [i]λέγω, κατέπλευσαν [k]δεῦρο τρίτον ἔτος 894
οὗτός τε καὶ πολίτης αὐτοῦ Παρμένων, Βυζάντιος μὲν τὸ
6 γένος, φυγὰς δ' ἐκεῖθεν. [l]προσιόντες [m]δέ μοι ἐν τῷ [n]ἐμπορίῳ οὗτος καὶ [o]ὁ Παρμένων ἐμνήσθησαν περὶ ἀργυρίου. ἔτυχε δὲ οὑτοσὶ ὀφείλων ἐπὶ τῇ νηὶ τῇ [p]ἑαυτοῦ τετταράκοντα μνᾶς, καὶ οἱ χρῆσται κατήπειγον αὐτὸν ἀπαιτοῦντες καὶ ἐνεβάτευον εἰς τὴν ναῦν, εἰληφότες τῇ ὑπερημερίᾳ.
7 ἀπορουμένῳ δ' αὐτῷ μνᾶς μὲν δέκα ὁ Παρμένων ὡμολόγησε δώσειν, τριάκοντα δὲ μνᾶς ἐδεῖτό μου [q]οὗτος συνευπορῆσαι, αἰτιώμενος τοὺς χρήστας ἐπιθυμοῦντας τῆς νεὼς διαβεβληκέναι αὐτὸν ἐν τῷ [r]ἐμπορίῳ, ἵνα κατάσχωσι τὴν ναῦν εἰς ἀπορίαν καταστήσαντες τοῦ ἀποδοῦναι τὰ
8 χρήματα. ἐμοὶ μὲν [s]οὖν οὐκ ἔτυχε παρὸν ἀργύριον, χρώμενος δ' Ἡρακλείδῃ τῷ τραπεζίτῃ ἔπεισα αὐτὸν δανεῖσαι τὰ χρήματα λαβόντα [t]ἐμὲ ἐγγυητήν. ἤδη δὲ τῶν τριάκοντα μνῶν πεπορισμένων ἔτυχε προσκεκρουκώς [u]τι τούτῳ ὁ Παρμένων· ὡμολογηκὼς δ' εὐπορήσειν αὐτῷ δέκα μνᾶς, καὶ [x]τούτων δεδωκὼς τὰς τρεῖς, διὰ τὸ [y]προειμένον ἀρ-
9 γύριον ἠναγκάζετο καὶ τὸ λοιπὸν διδόναι. αὐτὸς μὲν οὖν διὰ τοῦτ' οὐκ ἐβούλετο ποιήσασθαι τὸ συμβόλαιον, ἐμὲ δ' [z]ἐκέλευε πρᾶξαι ὅπως αὐτῷ ὡς ἀσφαλέστατα [a]ἕξει. λαβὼν δ' [b]ἐγὼ τὰς ἑπτὰ μνᾶς παρὰ τοῦ Παρμένοντος, καὶ τὰς τρεῖς, ἃς προειλήφει οὗτος παρ' ἐκείνου, ἀνθομολογησάμενος πρὸς τοῦτον, ὠνὴν [c]ποιοῦμαι τῆς νεὼς καὶ

[i] λέγω] ἐγὼ λέγω A.r. [k] δεῦρο] ὧδε r. [l] προσιόντες] προσελθόντες A.r. [m] δέ μοι A.S.Q.r. δ' ἐμοὶ vulgo. [n] ἐμπορίῳ] ἐμπορείῳ S. [o] ὁ om. F.Q. [p] ἑαυτοῦ A.S.r. αὐτοῦ vulgo. [q] οὗτος S. Legebatur οὑτοσί. [r] ἐμπορίῳ] ἐμπορείῳ S. [s] οὖν om. F.Q. [t] ἐμὲ] με F.Q. [u] τι om. A. [x] τούτων] τούτῳ A.r. τοῦτον Q. [y] προειμένον Wolfius. προϊέμενον A.S.r. προειρημένον F.Q. [z] ἐκέλευε] ἐκέλευσε A.r. [a] ἕξει] ἕξῃ A. [b] ἐγὼ om. S. [c] ποιοῦμαι τῆς] ποιούμενος, ut videtur, pr. S.

τῶν παίδων, ἕως ἀποδοίη τάς [d] τε δέκα μνᾶς, ἃς δι' ἐμοῦ ἔλαβε, καὶ τὰς τριάκοντα, ὧν κατέστησεν ἐμὲ ἐγγυητὴν τῷ τραπεζίτῃ. καὶ ὡς ἀληθῆ λέγω, ἀκούσατε τῶν μαρ- 895 τυριῶν.

ΜΑΡΤΥΡΙΑΙ.

10 Τὸν μὲν τρόπον τοῦτον ἀπήλλαξε τοὺς χρήστας Ἀπατούριος οὑτοσί. οὐ πολλῷ δὲ χρόνῳ μετὰ ταῦτα τῆς τραπέζης ἀνασκευασθείσης, καὶ τοῦ Ἡρακλείδου κατ' ἀρχὰς κεκρυμμένου, ἐπιβουλεύει οὑτοσὶ τούς τε παῖδας ἐκπέμψαι Ἀθήνηθεν καὶ τὴν ναῦν ἐξορμίσαι [e] ἐκ τοῦ λιμένος.
11 ὅθεν ἐμοὶ πρὸς τοῦτον ἡ πρώτη διαφορὰ ἐγένετο. αἰσθόμενος γὰρ ὁ Παρμένων ἐξαγομένων τῶν παίδων ἐπιλαμβάνεται καὶ τὴν ναῦν κατεκώλυσεν αὐτὸν ἐξορμίζειν, καὶ μεταπεμψάμενος ἐμὲ λέγει τὸ πρᾶγμα. ὡς δ' ἤκουσα, τοῦτον μὲν ἀνοσιώτατον ἡγησάμην εἶναι τῷ ἐπιχειρήματι, ἐσκοπούμην δὲ ὅπως αὐτός τε ἀπολυθήσομαι τῆς ἐγγύης τῆς ἐπὶ τὴν τράπεζαν, καὶ ὁ ξένος μὴ ἀπο-
12 λεῖ ἃ δι' ἐμοῦ τούτῳ ἐδάνεισεν. καταστήσας δὲ φύλακας τῆς νεὼς διηγησάμην τοῖς ἐγγυηταῖς τῆς τραπέζης τὴν πρᾶξιν, καὶ παρέδωκα τὸ ἐνέχυρον, εἰπὼν αὐτοῖς ὅτι δέκα μναῖ ἐνείησαν τῷ ξένῳ ἐν τῇ νηί. ταῦτα δὲ πράξας [f] κατηγγύησα τοὺς παῖδας, ἵν' εἴ τις ἔνδεια γίγνοιτο, τὰ ἐλλείποντα ἐκ τῶν παίδων εἴη. καὶ ἐγὼ μὲν ἐπειδὴ ἔλαβον τοῦτον ἀδικοῦντα, διωρθωσάμην ὑπὲρ ἐμαυτοῦ καὶ τοῦ
13 ξένου· ὁ δ' ὥσπερ ἀδικούμενος, ἀλλ' οὐκ ἀδικῶν ἐμέμφετό μοι, καὶ ἠρώτα [g] εἰ οὐχ ἱκανόν μοι εἴη [h] αὐτῷ ἀπολυθῆναι τῆς ἐγγύης τῆς [i] πρὸς τὴν [j] τράπεζαν, ἀλλὰ καὶ ὑπὲρ τοῦ ἀργυρίου τοῦ Παρμένοντος τὴν ναῦν κατεγγυῷ καὶ τοὺς παῖδας, καὶ ὑπὲρ ἀνθρώπου φυγάδος ἀπεχθανοίμην 896

[d] τε om. F.S.Q. [e] ἐκ supra versum a pr. m., sed in litura, habet S. [f] κατηγγύησα] κατενεγύησα A. κατενεγγύησα r. [g] εἰ] ἢ F.S.Q. [h] αὐτῷ om. A.r. [i] πρὸς τὴν in marg. a m. pr. habet S. [j] τράπεζαν] τραπέζης pr. S.

14 αὐτῷ. ἐγὼ δὲ τὸν [k]πιστεύοντα ἐμαυτῷ τοσούτῳ ἔφην
ἧττον ἂν περιιδεῖν, ὅσῳ φυγὰς ὢν καὶ ἀτυχῶν ἠδικεῖτο
ὑπὸ τούτου. πάντα δὲ ποιήσας καὶ εἰς [l]πᾶσαν ἀπέχθει-
αν τούτῳ ἐλθὼν μόλις εἰσέπραξα τὸ ἀργύριον, πραθείσης
15 τῆς νεὼς τετταράκοντα μνῶν, ὅσουπερ ἡ θέσις ἦν. ἀπο-
δοθεισῶν δὲ τῶν τριάκοντα μνῶν ἐπὶ τὴν τράπεζαν καὶ
τῶν δέκα [m]μνῶν τῷ Παρμένοντι, ἐναντίον πολλῶν μαρ-
τύρων τάς τε συγγραφὰς ἀνειλόμεθα, καθ' ἃς ἐδανείσθη
τὰ χρήματα, καὶ τῶν συναλλαγμάτων ἀφεῖμεν καὶ ἀπηλ-
λάξαμεν ἀλλήλους, ὥστε μήτε τούτῳ πρὸς ἐμὲ μήτ' ἐμοὶ
πρὸς τοῦτον πρᾶγμ' εἶναι μηδέν. καὶ ὡς ἀληθῆ λέγω,
ἀκούσατε τῶν μαρτυριῶν.

ΜΑΡΤΥΡΙΑΙ.

16 Μετὰ ταῦτα τοίνυν ἐμοὶ μὲν οὔτε μεῖζον οὔτ' ἔλαττον
πρὸς αὐτὸν [n]συμβόλαιον γέγονεν· ὁ δὲ Παρμένων ἐδικά-
ζετο τούτῳ τῶν τε πληγῶν ὧν ἔλαβεν ὑπὸ τούτου, ὅτε
τῶν παίδων ἐξαγομένων ἐπελάβετο, καὶ ὅτι τοῦ εἰς Σι-
κελίαν πλοῦ διὰ τοῦτον κατεκωλύθη. ἐνεστηκυίας δὲ τῆς
δίκης δίδωσιν ὁ Παρμένων ὅρκον τούτῳ περί τινων ἐγκλη-
μάτων. καὶ οὗτος ἐδέξατο, ἐπιδιαθέμενος ἀργύριον, ἐὰν
μὴ ὀμόσῃ τὸν ὅρκον. καὶ ὅτι ἀληθῆ λέγω, λαβέ μοι τὴν
μαρτυρίαν.

ΜΑΡΤΥΡΙΑ.

17 Δεξάμενος τοίνυν τὸν ὅρκον, εἰδὼς ὅτι πολλοὶ αὐτῷ
[o]συνείσονται ἐπιορκήσαντι, ἐπὶ μὲν [p]τὸ ὀμόσαι οὐκ ἀπήν-
τα, ὡς δὲ δίκῃ λύσων τὸν ὅρκον προσκαλεῖται τὸν Παρ-
μένοντα. ἐνεστηκυιῶν δ' αὐτοῖς τῶν δικῶν πεισθέντες ὑπὸ
τῶν παρόντων εἰς ἐπιτροπὴν ἔρχονται, καὶ γράψαντες 897

[k] πιστεύοντα S. Legebatur πιστεύσαντα. πιστεύσοντα (α supra ο) F. πιστεύσοντα Q.
[l] πᾶσαν S. ἅπασαν vulgo. [m] μνῶν om. A.r. [n] συμβόλαιον] σύμβο-
λον r. [o] συνείσονται ἐπιορκήσαντι] συνήσονται (συνίσονται A. litera ι a
correctore posita) ἐπιορκήσοντι A.r. [p] τὸ] τοῦ A.r.

συνθήκας [q]ἐπιτρέπουσιν ἑνὶ μὲν διαιτητῇ κοινῷ [r]Φωκρίτῳ
πολίτῃ [s]αὐτῶν, ἕνα δ' ἑκάτερος [t]παρεκαθίσατο, οὗτος μὲν
18 Ἀριστοκλέα Οἴηθεν, ὁ δὲ Παρμένων ἐμέ. καὶ συνέθεντο ἐν
ταῖς συνθήκαις, εἰ μὲν τρεῖς ὄντες ὁμογνώμονες γενοίμεθα, ταῦτα κύρια εἶναι αὐτοῖς, εἰ δὲ μή, οἷς οἱ δύο γνοίησαν, τούτοις ἐπάναγκες εἶναι ἐμμένειν. συνθέμενοι δὲ ταῦτα ἐγγυητὰς τούτων ἀλλήλοις κατέστησαν, οὗτος μὲν ἐκείνῳ τὸν Ἀριστοκλέα, ὁ δὲ Παρμένων τούτῳ Ἄρχιππον Μυρρινούσιον. καὶ τὸ μὲν πρῶτον ἐτίθεντο τὰς συνθήκας παρὰ τῷ Φωκρίτῳ, εἶτα κελεύσαντος τοῦ Φωκρίτου παρ' ἄλλῳ τινὶ θέσθαι τίθενται παρὰ τῷ Ἀριστοκλεῖ. καὶ ὡς ἀληθῆ λέγω, ἀκούσατε τῶν μαρτυριῶν.

[u]ΜΑΡΤΥΡΙΑΙ.

19 Ὅτι μὲν ἐτέθησαν αἱ συνθῆκαι παρὰ [x]Ἀριστοκλεῖ καὶ
ἡ ἐπιτροπὴ ἐγένετο Φωκρίτῳ καὶ Ἀριστοκλεῖ καὶ ἐμοί, οἱ εἰδότες ταῦτα μεμαρτυρήκασιν ὑμῖν. δέομαι δὲ [y]ὑμῶν, [z]ὦ ἄνδρες δικασταί, τὰ μετὰ ταῦτα πραχθέντ' ἀκοῦσαί μου· ἐντεῦθεν γὰρ [a]ἔσται φανερὸν ὑμῖν ὅτι συκοφαντοῦ-
20 μαι ὑπὸ τουτουὶ Ἀπατουρίου. ἐπειδὴ γὰρ ᾔσθετο ὁμογνώμονας ὄντας ἐμὲ καὶ τὸν Φώκριτον καὶ ἔγνω καταδιαιτήσοντας ἡμᾶς ἑαυτοῦ, λῦσαι βουλόμενος τὴν ἐπιτροπὴν διαφθεῖραι τὰς συνθήκας ἐπεχείρησε μετὰ τοῦ ἔχοντος αὐτάς. καὶ ἦλθεν ἐπὶ τὸ [b]ἀμφισβητεῖν ὡς αὐτῷ διαιτητὴς εἴη [c]ὁ Ἀριστοκλῆς, τὸν δὲ Φώκριτον καὶ ἐμὲ
21 οὐδενὸς κυρίους [d]ἔφησεν εἶναι ἀλλ' ἢ τοῦ [e]διαλῦσαι. ἀγανακτήσας [f]δὴ τῷ λόγῳ ὁ Παρμένων ἠξίου τὸν Ἀριστο-

[q] ἐπιτρέπουσιν additum ex A.r. et legisse videtur scriptor argumenti p. 891, 11. [r] Φωκρίτῳ] φωκρίτῃ r. [s] αὐτῶν] ἑαυτῶν A.r. [t] παρεκαθίσατο] παρεκαθήσατο A. [u] ΜΑΡΤΥΡΙΑΙ] ΜΑΡΤΥΡΙΑ S. [x] Ἀριστοκλεῖ] τῷ ἀριστοκλεῖ B. [y] ὑμῶν om. S.r. [z] ὦ ἄνδρες δικασταὶ] ὦ (θ superscr.) A. [a] ἔσται φανερὸν] φανερὸν ἔσται A.r. [b] ἀμφισβητεῖν] διαμφισβητεῖν A.r. et γρ. F.Q. [c] ὁ om. A. [d] ἔφησεν S. et γρ. Q. ἔφη vulgo. [e] διαλῦσαι S. Legebatur συνδιαλῦσαι. [f] δὴ] δε A.r.

κλέα ἐκφέρειν τὰς συνθήκας, οὐ πόρρω φάσκων εἶναι τὸν 898
ἔλεγχον, εἴ τι κακουργοῖτο περὶ τὰ γράμματα· γεγραφέναι γὰρ αὐτὰ οἰκέτην ἑαυτοῦ. ὁμολογήσας δ' ἐξοίσειν τὰς συνθήκας ὁ Ἀριστοκλῆς ἐμφανεῖς μὲν [g] οὔπω καὶ τήμερον ἐνήνοχεν, εἰς δὲ τὴν ἡμέραν τὴν συγκειμένην ἀπαν-
22 τήσας εἰς τὸ Ἡφαιστεῖον προὐφασίζετο ὡς ὁ παῖς περιμένων αὐτὸν ἀπολωλεκὼς εἴη τὸ [h] γραμματεῖον καθεύδων. ὁ δὲ ταῦτα [i] κατασκευάζων ἦν [j] Ἐρυξίας ὁ ἰατρὸς ὁ ἐκ Πειραιῶς, οἰκείως ἔχων τῷ Ἀριστοκλεῖ· ὅσπερ καὶ ἐμοὶ τοῦ ἀγῶνος αἴτιός ἐστι, διαφόρως ἔχων. καὶ ὡς ἐσκήψατο [k] ἀπολωλέναι ὁ Ἀριστοκλῆς, ἀκούσατε τῶν μαρτυριῶν.

ΜΑΡΤΥΡΙΑΙ.

23 Ἐντεῦθεν τοίνυν τὸ μὲν τῆς ἐπιτροπῆς ἐλέλυτο, ἠφανισμένων τῶν συνθηκῶν καὶ τῶν διαιτητῶν ἀντιλεγομένων· ἐπιχειροῦντες δὲ γράφειν ἑτέρας συνθήκας περὶ τούτων διηνέχθησαν, οὗτος μὲν ἀξιῶν τὸν Ἀριστοκλέα, ὁ δὲ Παρμένων τοὺς τρεῖς, οἷσπερ [l] καὶ ἐξ ἀρχῆς ἡ ἐπιτροπὴ ἐγέ-
24 νετο. οὐ γραφεισῶν δ' ἑτέρων συνθηκῶν, τῶν δ' ἐξ ἀρχῆς ἀφανισθεισῶν εἰς τοῦτ' ἦλθεν ἀναιδείας ὁ ἠφανικὼς τὰς συνθήκας, ὥστε εἷς ὢν ἀποφανεῖσθαι ἔφη τὴν δίαιταν. παρακαλέσας δ' ὁ Παρμένων μάρτυρας ἀπεῖπε τῷ Ἀριστοκλεῖ μὴ ἀποφαίνεσθαι παρὰ τὰς συνθήκας καθ' αὑτοῦ ἄνευ τῶν [m] συνδιαιτητῶν. καὶ ὧν ἐναντίον ἀπεῖπεν, ἀκούσατε [n] τῆς μαρτυρίας.

ΜΑΡΤΥΡΙΑ.

25 Μετὰ ταῦτα τοίνυν [o] τῷ Παρμένοντι συνέβη συμφορὰ δεινή, ὦ ἄνδρες δικασταί. οἰκοῦντος [p] γὰρ αὐτοῦ ἐν Ὀφρυ- 899

[g] οὔπω] οὐδέπω A.r. [h] γραμματεῖον] γραμματίον A. γραμμάτιον r. [i] κατασκευάζων ἦν] συγκατασκευάζων ἐστὶν F.Q. [j] Ἐρυξίας] ἔρυξις A.r. Non liquet utra vera sit scriptura. [k] ἀπολωλέναι A.r. Legebatur ἀπολωλεκέναι. Conf. var. lect. ad p. 904, 16. [l] καὶ ἐξ] τὸ ἐξ A.r. [m] συνδιαιτητῶν] διαιτητῶν A.r. [n] τῆς] τὰς B. [o] τῷ] τῷ μὲν A.F.Q.r. [p] γὰρ] δ' r.

νίῳ διὰ τὴν οἴκοθεν φυγήν, ὅτε ὁ σεισμὸς ἐγένετο ὁ περὶ
Χερρόνησον, [q]συμπεσούσης αὐτῷ τῆς οἰκίας ἀπώλοντο ἡ
26 γυνὴ καὶ οἱ παῖδες. καὶ ὁ μὲν πυθόμενος τὴν συμφορὰν
ᾤχετο ἐνθένδε ἀποπλέων· ὁ δ' Ἀριστοκλῆς, [r]διαμαρτυρα-
μένου τοῦ ἀνθρώπου ἐναντίον μαρτύρων μὴ ἀποφαίνεσθαι
καθ' αὑτοῦ ἄνευ τῶν [s]συνδιαιτητῶν, ἀποδημήσαντος τοῦ
ἀνθρώπου διὰ τὴν συμφορὰν ἐρήμην κατ' αὐτοῦ ἀπεφή-
27 νατο τὴν δίαιταν. καὶ ἐγὼ μὲν καὶ ὁ Φώκριτος ἐν ταῖς
[t]αὐταῖς συνθήκαις γεγραμμένοι, [u]ὅτι [x]ἠμφεσβήτησεν οὗ-
τος μὴ εἶναι ἡμᾶς διαιτητὰς αὐτῷ, ἐφύγομεν τὸ διαιτῆ-
σαι· ὁ δ' οὐ μόνον ἀμφισβητηθεὶς, ἀλλὰ καὶ ἀπορρηθὲν
αὐτῷ, οὐδὲν ἧττον τὴν ἀπόφασιν ἐποιήσατο. ὃ οὔθ' ὑμῶν
οὔτε τῶν ἄλλων Ἀθηναίων ὑπομεῖναι [y]ἂν ποιῆσαι οὐδείς.
28 Ἃ μὲν οὖν περὶ τὴν ἀφάνισιν τῶν συνθηκῶν καὶ περὶ
τὴν γνῶσιν τῆς διαίτης Ἀπατουρίῳ καὶ τῷ διαιτητῇ πέ-
πρακται, ἐάν ποτε σωθῇ ὁ ἠδικημένος, δίκην παρ' αὐτῶν
λήψεται· ἐπειδὴ δ' εἰς τοῦτο ἐλήλυθεν Ἀπατούριος ἀναι-
δείας, ὥστε [z]κἀμοὶ [a]δικάζεται, ἐπιφέρων αἰτίαν ὡς [b]ἀνε-
δεξάμην ἐκτίσειν, εἴ τι καταγνωσθείη τοῦ Παρμένοντος,
καὶ φησὶν ἐγγραφῆναι εἰς τὰς συνθήκας ἐμὲ ἐγγυητήν,
ὥσπερ προσήκει τοιαύτην αἰτίαν ἀπολύσασθαι, πρῶτον
μὲν ὑμῖν μάρτυρας παρασχήσομαι ὡς οὐκ ἠγγυησάμην
ἐγὼ τὸν Παρμένοντα, ἀλλ' Ἄρχιππος [c]Μυρρινούσιος,
ἔπειτα πειράσομαι καὶ ἐκ τεκμηρίων τὴν ἀπολογίαν ποι-
29 ήσασθαι, ὦ ἄνδρες δικασταί. πρῶτον μὲν οὖν τὸν χρόνον
ἐμαυτῷ ἡγοῦμαι μάρτυρα εἶναι τοῦ μὴ ἀληθὲς τὸ ἔγκλη- 900
μα εἶναι. ἡ μὲν γὰρ ἐπιτροπὴ τούτῳ πρὸς τὸν Παρμένον-
τα τρίτον ἔτος γέγονε καὶ ἡ γνῶσις τοῦ Ἀριστοκλέους· αἱ

[q] συμπεσούσης] καὶ συμπεσούσης F.Q. [r] διαμαρτυραμένου] διαμαρτυρουμένου A.r. [s] συνδιαιτητῶν] διαιτητῶν A.r. [t] αὐταῖς om. A.r. [u] ὅτι] ὅτε A. [x] ἠμφεσβήτησεν] ἠμφισβήτησεν A.F.Q.r. [y] ἂν] ἄν τις F.Q.r. [z] κἀμοὶ] καὶ ἐμοὶ S. [a] δικάζεται] δικάζεσθαι S.Q. [b] ἀνεδεξάμην] ἂν ἐδεξάμην Q. [c] Μυρρινούσιος] ὁ μυρρινούσιος r. ὁ μυρρηνούσιος A.

δὲ λήξεις [d]τῶν δικῶν τοῖς ἐμπόροις ἔμμηνοί εἰσιν ἀπὸ τοῦ
βοηδρομιῶνος μέχρι τοῦ μουνυχιῶνος, ἵνα παραχρῆμα τῶν
30 δικαίων τυχόντες ἀνάγωνται. εἰ [e]δὴ τῇ ἀληθείᾳ ἐγγυητὴς
ἦν τοῦ Παρμένοντος, διὰ τί πρῶτον [f]μὲν οὐκ εὐθὺς τῆς
γνώσεως γενομένης [g]ἐπράττετο τὴν ἐγγύην; οὐ γὰρ δὴ
τοῦτό γ' [h]αὐτῷ ἔνι εἰπεῖν, ὡς διὰ τὴν πρὸς ἐμὲ φιλίαν
ὤκνει [i]μοι [k]ἀπεχθέσθαι. [l]αὐτὸς [m]γὰρ εἰσεπέπρακτο ὑπ'
ἐμοῦ πρὸς ἔχθραν τὰς χιλίας δραχμὰς τὰς τοῦ Παρμέ-
νοντος, καὶ ὅτ' ἐξώρμιζε τὴν ναῦν ἐπιβουλεύων ἀποδρᾶναι
καὶ ἀποστερῆσαι τὸ ἐπὶ τὴν τράπεζαν [n]χρέως, ἐκωλύθη
ὑπ' ἐμοῦ. ὥστε εἰ ἦν [o]ἐγγεγυημένος ἐγὼ τὸν Παρμένον-
τα, οὐκ ἂν τρίτῳ ἔτει ὕστερον, ἀλλ' εὐθὺς τότε εἰσέπρατ-
31 τεν [p]ἄν με τὴν ἐγγύην. ἀλλὰ νὴ Δία εὐπόρως διέκειτο,
ὥστ' ἐνεδέχετο αὐτῷ καὶ ὕστερον ἐπ' ἐμὲ ἐλθεῖν, τότε δ'
ἀσχόλως εἶχε περὶ ἀναγωγὴν ὤν. ἀλλὰ δι' ἀπορίαν [q]ἐξ-
ειστήκει τῶν ἑαυτοῦ καὶ τὴν ναῦν ἐπεπράκει. εἰ δ' ἄρ'
ἐμποδών τι αὐτῷ [r]ἐγένετο τοῦ μὴ εὐθὺς τότε δικάσα-
σθαι, διὰ τί πέρυσιν ἐπιδημῶν, μὴ ὅτι δικάσασθαι, ἀλλ'
32 οὐδ' ἐγκαλέσαι μοι ἐτόλμησεν; καίτοι προσῆκεν, εἰ ὁ
μὲν Παρμένων ὠφλήκει αὐτῷ τὴν δίκην, ἐγὼ δ' ἐγγυητὴς
ἦν, προσελθεῖν αὐτόν μοι ἔχοντα μάρτυρας καὶ ἀπαιτῆ-
σαι τὴν ἐγγύην, εἰ μὴ προπέρυσιν, ἐν τῷ ἐξελθόντι ἐνιαυ-
τῷ· καὶ εἰ μὲν αὐτῷ ἀπεδίδουν, κομίσασθαι, εἰ δὲ μή,
33 δικάζεσθαι. τῶν γὰρ τοιούτων ἐγκλημάτων πρότερον τὰς 901
ἀπαιτήσεις ποιοῦνται ἅπαντες ἢ δικάζονται. οὐκ ἔστι

[d] τῶν δικῶν τοῖς ἐμπόροις] τοῖς ἐμπόροις τῶν δικῶν A.r. τοῖς ἐμπόροις om. S. [e] δὴ A.r. δὲ vulgo. [f] μὲν om. A.r. [g] ἐπράττετο pro vulgato εἰσεπράττετο addidit Reiskius, ex A. ut ait: quod falsum est. Neque ex B. sumsit, qui ipse quoque in vulgata scriptura consentit. Legitur vero ἐπράττετο in S. et in marg. ed. Paris. a. 1570. [h] αὐτῷ] αὐτὸν A.r. [i] μοι] μὲν A.r. [k] ἀπεχθέσθαι] ἀπέχεσθαι F.S.Q. et ed. Aldina. ἀπεχθάνεσθαι A.r. Correxit Felicianus, nisi quod ἀπέχθεσθαι scripsit. [l] αὐτὸς] ^α^οὗτος F. [m] γὰρ] δὲ r. [n] χρέως] χρέος r. [o] ἐγγεγυημένος] ἐγγυημένος A.r. [p] ἄν με] ἂν μετὰ S. [q] ἐξειστήκει] ἐξεστήκει A.r. [r] ἐγένετο A.S.r. Legebatur ἐγεγόνει.

τοίνυν ὅστις μαρτυρήσει παραγενέσθαι, ὅπου οὗτος ἢ πέρυσιν [s] ἢ προπέρυσιν ἐδικάσατό [t] μοι ἢ λόγον ὁντινοῦν ἐποιήσατο πρὸς ἐμὲ περὶ ὧν νυνί μοι δικάζεται. ὅτι δ' ἐπεδήμει πέρυσιν, ὅτε αἱ δίκαι ἦσαν, λαβέ μοι τὴν μαρτυρίαν.

ΜΑΡΤΥΡΙΑ.

34 Λαβὲ δή μοι καὶ τὸν νόμον, ὃς κελεύει τὰς ἐγγύας [u] ἐπετείους εἶναι. καὶ [x] οὐκ ἰσχυρίζομαι τῷ νόμῳ, ὡς οὐ δεῖ με δίκην δοῦναι, εἰ [y] ἠγγυησάμην, ἀλλὰ [z] μάρτυρά μοί φημι τὸν νόμον εἶναι τοῦ μὴ ἐγγυήσασθαι καὶ αὐτὸν τοῦτον· ἐδεδίκαστο γὰρ ἄν μοι τῆς ἐγγύης ἐν τῷ χρόνῳ τῷ ἐν τῷ νόμῳ γεγραμμένῳ.

ΝΟΜΟΣ.

35 Γενέσθω τοίνυν καὶ τοῦτο [a] ὑμῖν τεκμήριον τοῦ ψεύδεσθαι Ἀπατούριον· εἰ γὰρ [b] ἠγγυησάμην ἐγὼ τούτῳ τὸν Παρμένοντα, οὐκ ἔστιν ὅπως τούτῳ μὲν ὑπὲρ ἐκείνου [c] ἀπηχθόμην, πρόνοιαν ποιούμενος ὅπως μὴ ἀπολεῖ ἃ δι' ἐμοῦ [d] τούτῳ [e] συνέβαλεν, αὐτὸς δ' ἐμαυτὸν περιεῖδον ἂν
36 [f] ὑπ' ἐκείνου πρὸς τοῦτον ἐν ἐγγύῃ καταλειπόμενον. τίνα γὰρ ἐλπίδα ἔσχον τοῦτον ἀποσχήσεσθαί μου, ὃν αὐτὸς ἠναγκάκειν ἐκείνῳ τὰ δίκαια [g] ποιῆσαι; καὶ τὴν ἐγγύην αὐτὸν [h] εἰσπράξας τὴν [i] πρὸς τὴν τράπεζαν πρὸς ἀπέχθειαν, τί προσεδόκων ὑπὸ τούτου [k] αὐτὸς πείσεσθαι;

37 Ἄξιον [l] τοίνυν καὶ τοῦτ' ἐνθυμηθῆναι, ὦ ἄνδρες δικασταί, ὅτι οὐκ ἄν ποτε ἔξαρνος ἐγενόμην, εἰ [m] ἐγγεγυήμην· πολὺ γὰρ ὁ λόγος [n] ἦν μοι ἰσχυρότερος ὁμολογοῦντι τὴν

[s] ἢ προπέρυσιν in γρ. F.Q. [t] μοι om. S. [u] ἐπετείους] ἐπαιτίους S. ἐπετίους A.r. quod a m. antiqua correctus habet S. [x] οὐκ (οὐχ S.) ἰσχυρίζομαι] οὐ διισχυρίζομαι A.r. [y] ἠγγυησάμην S. ἐνεγυησάμην Q. et correctus A. ἐνεγγυησάμην r. et pr. A. ἐνηγγυησάμην F. [z] μάρτυρά μοι φημι] μαρτύρομαι B. (qui alteram lectionem in marg. habet) F.Q. [a] ὑμῖν] ἡμῖν S. [b] ἠγγυησάμην S. ἐνεγυησάμην A.Q. ἐνεγγυησάμην vulgo. [c] ἀπηχθόμην S. ἀπηχθανόμην A.F.Q.r. [d] τούτῳ om. A.r. [e] συνέβαλεν A.S.r. συνέβαινεν F.Q. [f] ὑπ'] ὑπὲρ A.r. [g] ποιῆσαι] ποιήσειν A.r. [h] εἰσπράξας] εἰσπρᾶξαι F.Q. [i] πρὸς A.S.r. Legebatur εἰς. [k] αὐτὸς] αὐτοῦ A.r. [l] τοίνυν] δὲ F.Q. [m] ἐγγεγυήμην S. ἐνεγεγυήμην A.F.Q. ἐνεγγυήμην r. [n] ἦν μοι] μοι ἦν A.r.

ἐγγύην ἐπὶ τὰς συνθήκας ἰέναι, καθ' [o] *ἃς ἡ ἐπιτροπὴ*
ἐγένετο. ὅτι μὲν γὰρ τρισὶν ἐπετράπη διαιτηταῖς, μεμαρ-
38 *τύρηται ὑμῖν· ὁπότε δὲ μὴ ἔγνωσται ὑπὸ τῶν τριῶν, τί*
βουλόμενος ἠρνούμην ἂν τὴν ἐγγύην; μὴ γὰρ γενομένης 902
τῆς γνώσεως κατὰ τὰς συνθήκας, οὐδ' ἂν [p] *ἐγὼ τῆς ἐγ-*
γύης ὑπόδικος ἦν. ὥστε οὐκ ἄν ποτε, ὦ ἄνδρες δικασταί,
[q] *παραλιπὼν* [r] *τὴν οὖσάν μοι ἀπολογίαν, εἰ* [s] *ἠγγυησάμην,*
ἐπὶ τὸ ἀρνεῖσθαι [t] *ἦλθον.*

39 *Ἀλλὰ μὴν καὶ τοῦτο μεμαρτύρηται ὑμῖν, ὅτι ἐπειδὴ*
ἠφανίσθησαν αἱ συνθῆκαι ὑπὸ τούτων, ἐζήτουν ἑτέρας γρά-
φεσθαι οὗτος καὶ ὁ Παρμένων, ὡς ἀκύρων [u] *ὄντων αὐτοῖς*
τῶν [x] *πρότερον ὡμολογημένων. καίτοι ὁπότε περὶ τῆς μελ-*
λούσης γνώσεως [y] *γενήσεσθαι ἑτέρας ἐνεχείρουν συνθήκας*
40 [z] *γράφεσθαι, ἐπειδὴ αἱ ὑπάρχουσαι ἀπώλοντο, πῶς* [a] *ἐνῆν*
μὴ γραφεισῶν συνθηκῶν [b] *ἑτέρων ἢ δίαιταν γενέσθαι ἢ*
ἐγγύην; περὶ αὐτοῦ γὰρ τούτου διενεχθέντες οὐκ ἔγραψαν
ἕτερα γράμματα, ὁ μὲν ἀξιῶν ἕνα διαιτητὴν αὐτῷ εἶναι,
ὁ δὲ τρεῖς. ὁπότε δ' αἱ μὲν ἐξ ἀρχῆς συνθῆκαι ἠφανίσθη-
σαν, καθ' ἃς ἐμέ φησι γενέσθαι ἐγγυητήν, ἕτεραι δὲ μὴ
ἐγράφησαν, πῶς ὀρθῶς [c] *ἂν ἐμοὶ δικάζοιτο, καθ' οὗ μὴ*
ἔχει παρασχέσθαι συνθήκας;

41 *Ἀλλὰ μὴν καὶ ὡς* [d] *ἀπηγόρευεν ὁ Παρμένων τῷ Ἀρι-*
στοκλεῖ καθ' αὑτοῦ μὴ γιγνώσκειν ἄνευ τῶν συνδιαιτη-
τῶν, μεμαρτύρηται ὑμῖν. ὅταν [e] *δὴ* [f] *ὁ αὐτὸς ἠφανικὼς*
φαίνηται τὰ γράμματα, καθ' ἃ [g] *ἔδει τὴν δίαιταν γενέ-*
σθαι, καὶ ἄνευ τῶν [h] *συνδιαιτητῶν παρὰ τὴν ἀπόρρησιν*
φῇ δεδιῃτηκέναι, πῶς ἂν τούτῳ τῷ ἀνθρώπῳ πιστεύσαν-

[o] *ἃς* A.S.r. Legebatur *ἃς καί.* [p] *ἐγὼ*] *ἔτι* F.Q. [q] *παραλιπὼν*] *παραλείπων* S. [r] *τὴν οὖσάν μοι*] *μοι τὴν οὖσαν* A.r. [s] *ἠγγυησάμην* S. Scribebatur *ἐνεγγυησάμην. ἐνεγυησάμην* A. *ἐνηγγυησάμην* B. [t] *ἦλθον*] *ἀνῆλθον* A.Q.r. *ἀπῆλθον* (ν superscr.) F. [u] *ὄντων αὐτοῖς*] *αὐτοῖς ὄντων* A.r. [x] *πρότερον*] *προτέρων* S. [y] *γενήσεσθαι* om. F.Q. [z] *γράφεσθαι* om. A.r. [a] *ἐνῆν* om. A.r. [b] *ἑτέρων*] *ἑτέρων ἐνδέχεται* A.r. [c] *ἂν ἐμοὶ*] *ἄν μοι* F.Q. [d] *ἀπηγόρευεν*] *ἀπηγόρευσεν* F. [e] *δὴ*] *δ'* A.r. *δὲ* F.Q. [f] *ὁ αὐτὸς* et *τὰ γράμματα* om. F.Q. [g] *ἔδει*] *δεῖ* F.Q. [h] *συνδιαιτητῶν*] *διαιτητῶν* F.

42 τες δικαίως ἐμὲ [i] ἀπολέσαιτε: σκέψασθε γὰρ τοῦτ᾽, ὦ
ἄνδρες δικασταί. εἰ μὴ ἐμὲ νυνί, ἀλλὰ τὸν Παρμένοντα
ἐδίωκεν Ἀπατούριος οὑτοσί, εἰσπράττων τὰς εἴκοσι μνᾶς,
ἰσχυριζόμενος τῇ Ἀριστοκλέους γνώσει, ὁ δὲ Παρμένων 903
παρὼν ἀπελογεῖτο ὑμῖν καὶ μάρτυρας παρείχετο, τοῦτο
μὲν [k] ὅτι οὐ μόνῳ τῷ Ἀριστοκλεῖ, ἀλλὰ τρίτῳ ἐπέτρεψεν,
43 εἶθ᾽ ὅτι ἀπεῖπεν αὐτῷ ἄνευ τῶν συνδιαιτητῶν καθ᾽ αὑτοῦ
μὴ ἀποφαίνεσθαι, καὶ ὅτι [l] ἀπολομένης αὐτῷ τῆς γυναι-
κὸς καὶ τῶν παίδων ὑπὸ τοῦ σεισμοῦ καὶ ἐπὶ τηλικαύτην
συμφορὰν [m] ἀπάραντος οἴκαδε ὁ τὰς συνθήκας ἠφανικὼς
ἐρήμην αὐτοῦ ἐν τῇ ἀποδημίᾳ κατέγνω τὴν δίαιταν, ἔστιν
ὅστις ἂν ὑμῶν ταῦτα τοῦ Παρμένοντος ἀπολογουμένου τὴν
οὕτω παρανόμως γνωσθεῖσαν δίαιταν κυρίαν ἔγνω εἶναι;
44 μὴ γὰρ [n] ὅτι ἀμφισβητουμένων ἁπάντων, ἀλλ᾽ εἰ ἦσαν
μὲν αἱ συνθῆκαι, [o] ὡμολογεῖτο δ᾽ [p] εἷς εἶναι ὁ διαιτητὴς
Ἀριστοκλῆς, μὴ ἀπεῖπε δὲ ὁ Παρμένων αὐτῷ καθ᾽ αὑτοῦ
μὴ διαιτᾶν, ἀλλὰ συνέβη [q] πρὶν τὴν [r] ἀπόφασιν γενέσθαι
τῆς διαίτης ἡ συμφορὰ τῷ ἀνθρώπῳ, τίς οὕτως ὠμός
45 ἐστιν ἀντίδικος ἢ διαιτητὴς ὃς οὐκ [s] ἂν [t] ἀνεβάλετο εἰς τὸ
ἐπιδημῆσαι τὸν ἄνθρωπον; εἰ δ᾽ ὁ Παρμένων εἰς λόγον
καταστὰς πανταχοῦ δικαιότερ᾽ ἂν φαίνοιτο λέγων τού-
του, πῶς ἂν ὀρθῶς ἐμοῦ καταγιγνώσκοιτε, ᾧ τὸ παράπαν
πρὸς τὸν ἄνθρωπον τουτονὶ μηδὲν συμβόλαιόν ἐστιν;
46 Ὅτι μὲν οὖν ἐγὼ μὲν ὀρθῶς τὴν παραγραφὴν πεποίη-
μαι, Ἀπατούριος δὲ τὰ ψευδῆ [u] μοι ἐγκέκληκε καὶ
παρὰ τοὺς νόμους τὴν λῆξιν πεποίηται, ἐκ πολλῶν οἶμαι
ἐπιδεδεῖχθαι [x] τοῦτο ὑμῖν, ὦ ἄνδρες δικασταί· τὸ δὲ κε-
φάλαιον, πρὸς ἐμὲ οὐδ᾽ ἐπιχειρήσει λέγειν Ἀπατούριος,

[i] ἀπολέσαιτε] ἀπολέσετε S. [k] ὅτι] ὡς A.r. [l] ἀπολομένης] ἀπολουμένης r. Litera υ a m. recentissima superscripta in A. [m] ἀπάραντος] ἀπαίροντος A.r. [n] ὅτι] ὅτι γε F.Q. [o] ὡμολογεῖτο] ὡμολόγητο A.r. [p] εἷς εἶναι] εἰσιέναι F.Q. [q] πρὶν] Legebatur πρὶν ἤ. [r] ἀπόφασιν A.S. Legebatur ἀπόφανσιν. [s] ἂν additum ex A.S. [t] ἀνεβάλετο] ἀνεβάλλετο A. [u] μοι om. S. [x] τοῦτο ὑμῖν] ὑμῖν τοῦτο A.r.

ὡς συνθῆκαί τινες αὐτῷ εἰσίν. ὅταν δὲ λέγῃ ψευδόμενος
ὡς ἐν ταῖς πρὸς τὸν Παρμένοντα συνθήκαις [y] ἐνεγράφην 904
47 ἐγγυητὴς, ἀπαιτεῖτε αὐτὸν τὰς συνθήκας. καὶ ἐνταῦθ᾽
αὐτῷ ἀπαντᾶτε, ὅτι πάντες ἄνθρωποι, ὅταν πρὸς ἀλλή-
λους ποιῶνται συγγραφὰς, τούτου ἕνεκα σημηνάμενοι τί-
θενται παρ᾽ οἷς [z] ἂν [a] πιστεύσωσιν, ἵν᾽ ἐάν τι [b] ἀντι-
λέγωσιν, [c] ᾖ [d] αὐτοῖς [e] ἐπανελθοῦσιν ἐπὶ τὰ γράμματα
ἐντεῦθεν τὸν ἔλεγχον ποιήσασθαι περὶ τοῦ ἀμφισβητου-
μένου. ὅταν δ᾽ ἀφανίσας τις [f] τἀκριβὲς λόγῳ ἐξαπατᾶν
48 πειρᾶται, πῶς ἂν δικαίως [g] πιστεύοιτο; ἀλλὰ νὴ Δία
(τὸ ῥᾷστον τοῖς ἀδικεῖν καὶ συκοφαντεῖν προῃρημένοις)
μαρτυρήσει τις αὐτῷ κατ᾽ ἐμοῦ. ἐὰν οὖν ἐπισκήψωμαι
αὐτῷ, πόθεν τὴν ἀπόδειξιν ποιήσεται τοῦ ἀληθῆ μαρτυ-
ρεῖν; ἐκ τῶν συνθηκῶν; τοῦτο τοίνυν μὴ ἀναβαλλέσθω,
49 ἀλλ᾽ ἤδη φερέτω ὁ ἔχων τὰς συνθήκας. εἰ δ᾽ [h] ἀπολω-
λέναι [i] φησὶ, πόθεν [k] λάβω ἐγὼ τὸν ἔλεγχον καταψευδο-
μαρτυρηθείς; εἰ [l] μὲν γὰρ παρ᾽ [m] ἐμοὶ ἐτέθη τὸ [n] γραμμα-
τεῖον, ἐνῆν [o] αἰτιάσασθαι [p] Ἀπατουρίῳ ὡς ἐγὼ διὰ τὴν
ἐγγύην ἠφάνικα τὰς συνθήκας· εἰ δὲ παρὰ τῷ Ἀριστο-
κλεῖ, διὰ τί, εἴπερ ἄνευ τῆς [q] τούτου γνώμης ἀπολώλασιν
αἱ συνθῆκαι, [r] τῷ μὲν λαβόντι [s] αὐτὰς καὶ οὐ παρέχοντι οὐ
δικάζεται, ἐμοὶ δ᾽ ἐγκαλεῖ, μάρτυρα παρεχόμενος κατ᾽
ἐμοῦ τὸν ἠφανικότα τὰς συνθήκας, ᾧ προσῆκεν αὐτὸν ὀρ-
γίζεσθαι, εἴπερ μὴ [t] κοινῇ μετὰ τούτου ἐκακοτέχνει;
50 Εἴρηταί μοι τὰ δίκαια, ὅσα ἠδυνάμην. ὑμεῖς οὖν
κατὰ τοὺς νόμους γιγνώσκετε τὰ δίκαια.

[y] ἐνεγράφην] ἐνεγράφη F.Q. [z] ἂν] ἐὰν F.S.Q. [a] πιστεύσωσιν] τι πιστεύσωσι S. [b] ἀντιλέγωσιν] λέγωσιν S. [c] ᾖ om. F.Q. [d] αὐτοῖς] ἑαυτοῖς Q. [e] ἐπανελθοῦσιν] ἐπανέλθωσιν F.Q. [f] τἀκριβὲς] τἀληθὲς F.Q. [g] πιστεύοιτο] πιστεύοιτε S.Q. [h] ἀπολωλέναι] ἀπολωλεκέναι A.r. Conf. var. lect. ad p. 898, 12. [i] φησὶ] φήσει A.r. φησὶ τότε F.Q. [k] λάβω ἐγὼ] ἐγὼ λάβω A.r. [l] μὲν om. F.Q. [m] ἐμοὶ] ἐμοῦ A.r. [n] γραμματεῖον] γραμματίον A. γραμμάτιον r. [o] αἰτιάσασθαι] ἂν αἰτιᾶσθαι A.r. [p] Ἀπατουρίῳ] ἀπατούριον F.S.Q. [q] τούτου] τούτων A.r. [r] τῷ] καὶ τῷ F. [s] αὐτὰς] ταύτας A. [t] κοινῇ] κοινῶς F.Q.

ΛΔ.

[u]ΠΡΟΣ ΦΟΡΜΙΩΝΑ [x]ΠΕΡΙ ΔΑΝΕΙΟΥ.

ΥΠΟΘΕΣΙΣ.

Φορμίων ἔμπορος δανείζεται παρὰ Χρυσίππου μνᾶς εἴκοσι πλέων εἰς Βόσπο- 905
ρον. ἀφικόμενος δὲ ἐκεῖσε κατέλαβεν ἀπρασίαν τῶν φορτίων ὧν ἐκόμιζε. διόπερ τοῦ ναυκλήρου Λάμπιδος ἀποπλεῖν [y]βουλομένου Ἀθήναζε, καὶ κελεύοντος αὐτὸν ἐνθέσθαι τῇ νηὶ τὰ ἀγοράσματα τῶν χρημάτων τῶν παρὰ Χρυσίππου (τοῦτο γὰρ ἔφραζεν ἡ συγγραφή) οὔτε φόρτον τινὰ ἐνέθετο οὔτε ἀργύριον, ἀλλ' ἔφη πρὸς τὸν Λάμπιν ἀδυνάτως ἔχειν ἐν τῷ παρόντι ποιῆσαι ταῦτα, μικρὸν δ' ὕστερον ἐφ' ἑτέρας ἐκπλευσεῖσθαι νεὼς ἅμα τοῖς χρήμασιν. ἡ μὲν οὖν τοῦ Λάμπιδος ναῦς ἀναχθεῖσα διαφθείρεται, καὶ μετ' [z]ὀλίγων ὁ Λάμπις ἐν τῷ λέμβῳ σώζεται, καὶ ἀφικόμενος Ἀθήναζε μηνύει Χρυσίππῳ τὸ εὐτύχημα τοῦ Φορμίωνος, ὡς ἀπελείφθη τε ἐν τῷ Βοσπόρῳ καὶ εἰς τὴν ναῦν οὐδὲν ἐνέθετο. ὁ δὲ Φορμίων, καταπλεύσας ὕστερον καὶ τὸ ἀργύριον ἀπαιτούμενος, τὸ μὲν πρῶτον, ὡς ἔφη Χρύσιππος, καὶ ὀφείλειν ὡμολόγει καὶ ἀποδώσειν ὑπισχνεῖτο, ἔπειτα ὡς ἀποδεδωκὼς Λάμπιδι [a]μηδὲν ὀφείλειν ἔλεγε· τὴν γὰρ συγγραφὴν κελεύειν παθούσης τι κατὰ θάλατταν τῆς νεὼς ἀπηλλάχθαι τοῦ ὀφλήματος τὸν Φορμίωνα· ἔλαχεν οὖν δίκην αὐτῷ ὁ Χρύσιππος. ὁ δὲ [b]παρεγράψατο. καὶ Λάμπις ἐμαρτύρησε παρὰ τῷ διαιτητῇ ὡς ἀπειληφὼς εἴη παρὰ Φορμίωνος ἐν Βοσπόρῳ τὰ χρήματα καὶ ἀπολωλεκὼς μετὰ τῶν ἄλλων ἐν τῇ
ναυαγίᾳ. πρότερον δὲ τἀναντία τούτων εἰρήκει πρὸς Χρύσιππον, ὡς οὐδὲν ὁ 906
Φορμίων εἰς τὴν ναῦν ἐντέθεικεν. ἐλεγχόμενος δὲ ἐπὶ τούτοις ὁ Λάμπις ἐξεστηκέναι τότε ἔφησεν, ὅτε ἐκεῖνα πρὸς τὸν Χρύσιππον ἔλεγε. τούτων ἀκούσας ὁ διαιτητὴς καὶ μηδὲν ἀποφηνάμενος εἰς τὸ δικαστήριον τὸ πρᾶγμα πέπομφε. καὶ ὁ ἀγὼν ὀνόματι μέν ἐστι παραγραφικὸς, τῷ δὲ ἀληθεῖ [c]τὴν εὐθεῖαν γίγνεται· εὖ γὰρ καὶ ὁ ῥήτωρ κατ' ἀρχὰς ἐπισημαίνεται ὡς οὐκ ἔστιν [d]ὅλως παραγραφὴ τὸ λέγειν πεποιηκέναι πάντα κατὰ τὰ συγκείμενα, ἀποδόναι τὰ χρήματα Λάμπιδι, κελευούσης τοῦτο τῆς συγγραφῆς καὶ [e]ἀφιείσης ἐπὶ τοιούτῳ πάθει τὸ ὄφλημα· ταῦτα γάρ ἐστι τὴν εὐθυδικίαν ἀγωνιζομένου καὶ τοῖς ἐπιφερομένοις ἐγκλήμασιν ἀπαντῶντος, ἀλλ' [f]οὐχὶ ἀναιροῦντος τὸν

[u] ΠΡΟΣ—ΔΑΝΕΙΟΥ] Ὑπὲρ Χρυσίππου πρὸς τὴν Φορμίωνος παραγραφὴν A. [x] ΠΕΡΙ] ὑπὲρ B. [y] βουλομένου Ἀθήναζε] ἀθήναζε βουλομένου F. [z] ὀλίγων Wolfius. ὀλίγον libri. [a] μηδὲν Wolfius. μηδενὸς libri. [b] παρεγράψατο Wolfius. συνεγράψατο libri. [c] τὴν Bekkerus. παρὰ τὴν libri. [d] ὅλως Bekkerus. ὅλον libri. [e] ἀφιείσης Wolfius. ἀφικούσης libri. [f] οὐχὶ F. οὐκ vulgo.

περὶ αὐτῶν ἀγῶνα καὶ τὴν εἰσαγωγὴν τῆς δίκης· παραγραφὴν δὲ, φησὶν, ὁ νόμος δίδωσι περὶ τῶν μὴ [g]γενομένων ὅλως Ἀθήνησι μηδὲ εἰς Ἀθήνας συμβολαίων.

Τετήρηται δὲ ἐν τῷ λόγῳ ταὐτὸν ὅπερ καὶ περὶ [h]τὸν κατὰ Νεαίρας, ὅτι μὴ ὑφ' ἑνὸς εἴρηται προσώπου. ἀλλ' [i]ἐκεῖ μὲν ἑκατέρου διαστολὴ φανερὰ, ἐνταῦθα δὲ συγκέχυται. δοκεῖ δὲ ἔμοιγε [k]ἐντεῦθεν ὁ δεύτερος λέγειν "ἀκούσας τοίνυν ἡμῶν, "ὦ ἄνδρες Ἀθηναῖοι, Θεόδοτος πολλάκις, καὶ νομίσας τὸν Λάμπιν ψευδῆ "μαρτυρεῖν." δῆλον δὲ ὅτι κοινωνοί τινές εἰσιν οἱ πρὸς τὸν Φορμίωνα ἀγωνιζόμενοι.

ΔΙΚΑΙΑ ὑμῶν δεησόμεθ', [l]ὦ ἄνδρες δικασταὶ, ἀκοῦσαι 907 ἡμῶν μετ' εὐνοίας ἐν τῷ μέρει λεγόντων, [m]γνόντας ὅτι ἰδιῶται παντελῶς ἐσμὲν, καὶ πολὺν χρόνον εἰς τὸ ὑμέτερον [n]ἐμπόριον εἰσαφικνούμενοι καὶ συμβόλαια πολλοῖς [o]συμβάλλοντες οὐδεμίαν πώποτε δίκην πρὸς ὑμᾶς [p]εἰσήλθο-
2 μεν, οὔτ' ἐγκαλοῦντες οὔτ' ἐγκαλούμενοι ὑφ' ἑτέρων. οὐδ' ἂν νῦν, ἀκριβῶς ἴστε, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ ὑπελαμβάνομεν ἀπολωλέναι τὰ χρήματα [q]ἐπὶ τῆς νεὼς τῆς διαφθαρείσης, ἃ [r]ἐδανείσαμεν Φορμίωνι, οὐκ ἄν ποτ' ἐλάχομεν τὴν δίκην [s]αὐτῷ· οὐχ οὕτως ἡμεῖς ἀναίσχυντοί ἐσμεν οὐδ' ἄπειροι τοῦ ζημιοῦσθαι. πολλῶν δ' ἡμᾶς κακιζόντων, καὶ μάλιστα [t]τῶν ἐν Βοσπόρῳ ἐπιδημησάντων ἅμα Φορμίωνι, οἵπερ τοῦτον ᾔδεσαν οὐ συναπολέσαντα τὰ χρήματα ἐν τῇ νηὶ, δεινὸν ἡγούμεθ' εἶναι τὸ μὴ βοηθῆσαι ἡμῖν [u]αὐτοῖς ἀδικουμένοις ὑπὸ τούτου.

3 Περὶ μὲν οὖν τῆς παραγραφῆς βραχύς ἐστιν ὁ λόγος· καὶ γὰρ οὗτοι οὐ τὸ παράπαν συμβόλαιον ἐξαρνοῦνται μὴ γενέσθαι ἐν τῷ [x]ἐμπορίῳ τῷ ὑμετέρῳ, ἀλλ' οὐκέτι εἶναί φασι πρὸς ἑαυτοὺς οὐδὲν [y]συμβόλαιον· πε-

[g] *γενομένων* Bekkerus. *γινομένων* libri. [h] *τὸν* Wolfius. *τῶν* libri. [i] Addidi *ἐκεῖ μὲν*, præeunte Wolfio, qui *ἐκεῖ μὲν ἢ* pro *ἑκατέρου* scribi voluit. [k] *ἐντεῦθεν*] p. 913, 20. [l] *ὦ ἄνδρες δικασταὶ*] *ὦ ἀθηναῖοι* A.r. [m] *γνόντας*] *γνόντες* A.r. [n] *ἐμπόριον*] *ἐμπόρειον* S. hic et p. 908, 4. [o] *συμβάλλοντες*] *συμβαλόντες* A.r. [p] *εἰσήλθομεν*] *ἤλθομεν* S. [q] *ἐπὶ*] *ὑπὸ* F.Q. [r] *ἐδανείσαμεν*] *δεδανείκαμεν* A.r. [s] *αὐτῷ*] *αὐτῶν* r. [t] *τῶν ἐν βοσπόρῳ* A.r. *τῶν ἐμπόρων* S. *τῶν ἐμπόρων τῶν* vulgo. Aut *ἐν Βοσπόρῳ* dicendum erat aut *ἐν τῷ ἐμπορίῳ*, ut p. 917, 12. [u] *αὐτοῖς* om. F.S.Q. [x] *ἐμπορίῳ*] *ἐμπορείῳ* S. [y] *συμβόλαιον*] *τὸ συμβόλαιον* A.r.

ποιηκέναι γὰρ οὐδὲν ἔξω τῶν ἐν τῇ συγγραφῇ γεγραμ- 908
4 μένων. οἱ [z] μὲν οὖν νόμοι, καθ' οὓς ὑμεῖς δικασταὶ κάθησθε, οὐχ [a] οὕτω λέγουσιν, ἀλλ' ὑπὲρ [b] μὲν τῶν μὴ γενομένων ὅλως συμβολαίων Ἀθήνησι μηδ' εἰς τὸ Ἀθηναίων ἐμπόριον [c] παραγράφεσθαι δεδώκασιν, ἐὰν δέ τις γενέσθαι μὲν ὁμολογῇ, [d] ἀμφισβητῇ δὲ ὡς [e] πάντα πεποίηκε τὰ συγκείμενα, ἀπολογεῖσθαι κελεύουσιν εὐθυδικίαν εἰσιόντα, οὐ κατηγορεῖν τοῦ διώκοντος. οὐ μὴν ἀλλ' ἔγωγε ἐλπίζω καὶ ἐξ αὐτοῦ τοῦ πράγματος δείξειν εἰσαγώγιμον τὴν δί-
5 κην οὖσαν. σκέψασθε δ', ὦ ἄνδρες Ἀθηναῖοι, τί ὁμολογεῖται παρ' αὐτῶν τούτων καὶ τί ἀντιλέγεται· οὕτω γὰρ ἂν ἄριστα [f] ἐξετάσαιτε. οὐκοῦν δανείσασθαι μὲν [g] τὰ χρήματα· ὁμολογοῦσι καὶ συνθήκας ποιήσασθαι τοῦ δανείσματος, φασὶ δ' ἀποδεδωκέναι τὸ χρυσίον Λάμπιδι τῷ Δίωνος οἰκέτῃ ἐν Βοσπόρῳ. ἡμεῖς τοίνυν οὐ [h] μόνον τοῦτο δείξομεν, ὡς οὐκ [i] ἀποδέδωκεν, ἀλλ' ὡς οὐδ' [k] ἐξῆν αὐτῷ ἀποδοῦναι. ἀναγκαῖον δ' ἐστὶ βραχέα τῶν ἐξ ἀρχῆς διηγήσασθαι ὑμῖν.

6 Ἐγὼ γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, ἐδάνεισα Φορμίωνι τούτῳ εἴκοσι μνᾶς ἀμφοτερόπλουν εἰς τὸν Πόντον ἐπὶ ἑτέρᾳ [l] ὑποθήκῃ, καὶ συγγραφὴν ἐθέμην παρὰ [m] Κίττῳ τῷ τραπεζίτῃ. κελευούσης δὲ τῆς συγγραφῆς ἐνθέσθαι εἰς τὴν ναῦν τετρακισχιλίων φορτία ἄξια, πρᾶγμα ποιεῖ πάντων δεινότατον· εὐθὺς γὰρ ἐν τῷ Πειραιεῖ ἐπιδανείζεται λάθρᾳ ἡμῶν παρὰ μὲν Θεοδώρου τοῦ Φοίνικος τετρακισχιλίας πεντακοσίας δραχμάς, παρὰ δὲ τοῦ ναυκλήρου Λάμπιδος
7 [n] χιλίας. δέον δ' αὐτὸν καταγοράσαι φορτία Ἀθήνηθεν μνῶν ἑκατὸν [o] καὶ δέκα καὶ πέντε, εἰ ἤμελλε τοῖς δανεισταῖς 909

[z] μὲν οὖν] μέντοι A.r. [a] οὕτω] οὕτως S. [b] μὲν om. A.r. [c] παραγράφεσθαι] παραγράψασθαι F. [d] ἀμφισβητῇ] ἀμφισβητεῖ A. [e] πάντα] ἅπαντα A.r. [f] ἐξετάσαιτε] ἐξετάσετε A.S. ἐξετάσεται F.Q. [g] τὰ χρήματα in γρ. F.Q. [h] μόνον om. F.Q. [i] ἀποδέδωκεν] ἀπέδωκεν S. [k] ἐξῆν] ἦν A.r. [l] ὑποθήκῃ] γ' ὑποθήκῃ A.r. [m] Κίττῳ A.r. Κιττῷ vulgo. Accentu caret S. Recto accentu scriptum ap. Isocratem p. 360 seqq. [n] χιλίας] χιλίας δραχμὰς F.S.Q. [o] καὶ δέκα καὶ πέντε A.r. Legebatur δεκαπέντε.

[p] πᾶσι [q] ποιήσειν τὰ ἐν ταῖς συγγραφαῖς γεγραμμένα, οὐ κατηγόρασεν ἀλλ' ἢ πεντακισχιλίων καὶ πεντακοσίων δραχμῶν, σὺν τῷ ἐπισιτισμῷ· ὀφείλει δ' ἑβδομήκοντα μνᾶς καὶ πέντε. ἀρχὴ μὲν οὖν αὕτη ἐγένετο τοῦ ἀδικήματος, ὦ ἄνδρες Ἀθηναῖοι· οὔτε γὰρ τὴν ὑποθήκην [r] παρέσχετο οὔτε [s] τὰ χρήματ' ἐνέθετ' εἰς τὴν ναῦν, κελευούσης τῆς συγγραφῆς ἐπάναγκες ἐντίθεσθαι. καί μοι λαβὲ τὴν συγγραφήν.

8 ΣΥΓΓΡΑΦΗ.

Λαβὲ δὴ καὶ τὴν τῶν [t] πεντηκοστολόγων ἀπογραφὴν καὶ τὰς μαρτυρίας.

ΑΠΟΓΡΑΦΗ. [u] ΜΑΡΤΥΡΙΑΙ.

Ἐλθὼν τοίνυν εἰς τὸν Βόσπορον, ἔχων ἐπιστολὰς παρ' ἐμοῦ, ἃς [x] ἔδωκ' αὐτῷ ἀπενεγκεῖν τῷ παιδὶ τῷ ἐμῷ παραχειμάζοντι ἐκεῖ καὶ κοινωνῷ τινί, γράψας ἐν τῇ ἐπιστολῇ τό τε ἀργύριον ὃ ἐδεδανείκειν καὶ τὴν ὑποθήκην, καὶ προστάξας, ἐπειδὰν τάχιστ' ἐξαιρεθῇ τὰ χρήματα, ἐξε-
9 τάζειν καὶ [y] παρακολουθεῖν, τὰς μὲν ἐπιστολὰς οὐκ ἀποδίδωσιν οὗτος, ἃς ἔλαβε παρ' ἐμοῦ, ἵνα μηδὲν εἰδείησαν ὧν ἔπραττεν οὗτος, καταλαβὼν δ' ἐν τῷ Βοσπόρῳ μοχθηρὰ [z] τὰ πράγματα διὰ τὸν συμβάντα πόλεμον τῷ [a] Παρεισάδῃ πρὸς τὸν Σκύθην καὶ τῶν φορτίων ὧν ἦγε πολλὴν ἀπρασίαν, ἐν πάσῃ ἀπορίᾳ ἦν· καὶ γὰρ οἱ δανει-
10 σταὶ εἴχοντο αὐτοῦ οἱ τὰ [b] ἑτερόπλοα δανείσαντες. ὥστε τοῦ ναυκλήρου κελεύοντος αὐτὸν κατὰ τὴν συγγραφὴν ἐντίθεσθαι τὰ ἀγοράσματα τῶν ἐμῶν χρημάτων, εἶπεν οὗτος ὁ νῦν φάσκων ἀποδεδωκέναι τὸ χρυσίον, ὅτι οὐκ ἂν δύναιτο ἐνθέσθαι εἰς τὴν ναῦν τὰ χρήματα. ἄπρατον γὰρ 910

[p] πᾶσι om. F.Q. [q] ποιήσειν] ποιεῖν F.Q. [r] παρέσχετο] παρέσχεν A.r. [s] τὰ χρήματ' ἐνέθετ' εἰς om. S. [t] πεντηκοστολόγων] πεντηκοστόλων A.r. [u] ΜΑΡΤΥΡΙΑΙ] ΜΑΡΤΥΡΙΑ S. [x] ἔδωκ'] δέδωκ' A.F.Q.r. [y] παρακολουθεῖν] ἐπακολουθεῖν F.Q. [z] τὰ om. A.r. [a] Παρεισάδῃ] παρυσάδῃ A.r. Recta nominis scriptura Παιρισάδης est, restituenda fortasse et hic et p. 917, 25. [b] ἑτερόπλοα] ἑτερόπλοια A.F.S.Q. hic et alibi plerumque.

εἶναι τὸν [c]ῥῶπον. [d]κἀκεῖνον μὲν [e]ἐκέλευεν ἀνάγεσθαι· αὐτὸς δ', ἐπειδὰν [f]διαθῆται τὰ φορτία, ἐφ' ἑτέρας νεὼς ἔφη ἐκπλεύσεσθαι. καί μοι [g]λέγε ταύτην τὴν μαρτυρίαν.

ΜΑΡΤΥΡΙΑ.

11 Μετὰ ταῦτα τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, οὗτος μὲν ἐν τῷ Βοσπόρῳ [h]κατελέλειπτο, ὁ δὲ Λάμπις ἀναχθεὶς ἐναυάγησεν οὐ μακρὰν ἀπὸ τοῦ [i]ἐμπορίου· γεγεμισμένης γὰρ ἤδη τῆς νεώς, ὡς ἀκούομεν, μᾶλλον τοῦ δέοντος, προσανέλαβεν ἐπὶ τὸ κατάστρωμα χιλίας βύρσας, ὅθεν καὶ ἡ διαφθορὰ τῇ νηὶ συνέβη. καὶ αὐτὸς μὲν [k]ἀπεσώθη ἐν τῷ λέμβῳ μετὰ τῶν ἄλλων παίδων [l]τῶν Δίωνος, ἀπώλεσε δὲ [m]πλέον ἢ [n]τριάκοντα σώματα χωρὶς τῶν ἄλ-
12 λων. πολλοῦ δὲ πένθους ἐν τῷ Βοσπόρῳ ὄντος, ὡς ἐπύθοντο τὴν διαφθορὰν τῆς νεώς, εὐδαιμόνιζον [o]τὸν Φορμίωνα [p]πάντες τουτονὶ [q]ὅτι οὔτε συνανήχθη οὔτ' ἐνέθετο εἰς τὴν ναῦν οὐδέν. συνέβαινε [r]δὲ παρά τε τῶν ἄλλων καὶ [s]παρὰ τούτου ὁ αὐτὸς λόγος. καί μοι ἀνάγνωθι ταύτας τὰς μαρτυρίας.

ΜΑΡΤΥΡΙΑΙ.

13 Αὐτὸς [t]μὲν τοίνυν ὁ Λάμπις, ᾧ [u]φησὶν ἀποδεδωκέναι τὸ χρυσίον (τούτῳ γὰρ προσέχετε τὸν νοῦν), προσελθόντος αὐτῷ ἐμοῦ, ἐπειδὴ τάχιστα κατέπλευσεν ἐκ τῆς ναυαγίας Ἀθήναζε, καὶ ἐρωτῶντος ὑπὲρ [x]τούτων, ἔλεγεν ὅτι οὔτε [y]τὰ χρήματα ἔνθοιτο εἰς τὴν ναῦν οὗτος κατὰ τὴν συγγραφὴν, οὔτε τὸ χρυσίον εἰληφὼς εἴη [z]παρ' αὐτοῦ ἐν

[c] ῥῶπον] ὥρωπον A.r. ἄνθρωπον F.Q. et ἄνωπον scriptum in litura S. [d] κἀκεῖνον A.r. καὶ ἐκεῖνον vulgo. [e] ἐκέλευεν ἀνάγεσθαι] ἀνάγεσθαι ἐκέλευεν A.r. [f] διαθῆται Q. διάθηται vulgo. [g] λέγε] λαβὲ A.r. [h] κατελέλειπτο margo ed. Paris. a. 1570. κατελείπετο S. Legebatur καταλέλειπτο. [i] ἐμπορίου] ἐμπορείου S. [k] ἀπεσώθη] ἐσώθη A.r. [l] τῶν Δίωνος] τοῦ δίωνος A.S.r. [m] πλέον—σώματα] πλείω ἢ διακόσια σώματα ἐλεύθερα A.r. [n] τριάκοντα margo ed. Paris. a. 1570. Legebatur τριακόσια. [o] τὸν om. A.r. [p] πάντες] ἅπαντες F.Q. [q] ὅτι οὔτε] ὅτι οὐ F.Q. [r] δὲ] τε A.r. [s] παρὰ τούτου] παρ' αὐτοῦ τούτου A.r. [t] μὲν om. A.r. [u] φησὶν] φασὶν F.Q. [x] τούτων] τούτου F.Q. [y] τὰ om. A.r. Conf. p. 912, 23. 913, 15. 914, 1. 915, 6. [z] παρ' αὐτοῦ A.S.r. Legebatur παρὰ τούτου.

[a]Βοσπόρῳ [b]τότε. καί μοι ἀνάγνωθι τὴν μαρτυρίαν τῶν
[c]παραγενομένων.

ΜΑΡΤΥΡΙΑ. 911

14 Ἐπειδὴ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, ἐπεδήμησε [d]Φορ-
μίων [e]οὑτοσὶ σεσωσμένος ἐφ' ἑτέρας νεώς, προσῄειν αὐτῷ
ἀπαιτῶν τὸ δάνειον. καὶ οὗτος [f]κατὰ μὲν ἀρχὰς οὐδε-
πώποτ', ὦ ἄνδρες Ἀθηναῖοι, εἶπε τὸν λόγον τοῦτον ὃν
[g]νυνὶ λέγει, ἀλλ' ἀεὶ ὡμολόγει ἀποδώσειν· [h]ἐπεὶ δ'
[i]ἀνεκοινώσατο τοῖς νῦν παροῦσιν αὐτῷ καὶ συνδικοῦσιν,
15 ἕτερος ἤδη ἦν καὶ οὐχ ὁ αὐτός. ὡς δ' ᾐσθόμην αὐτὸν δια-
κρουόμενόν με, προσέρχομαι τῷ Λάμπιδι, λέγων ὅτι [k]οὐ-
δὲν ποιεῖ τῶν δικαίων Φορμίων οὐδ' ἀποδίδωσι τὸ δάνειον,
καὶ ἅμα ἠρόμην αὐτὸν εἰ εἰδείη ὅπου ἐστὶν, ἵνα προσ-
καλεσαίμην αὐτόν. ὁ δ' ἀκολουθεῖν μ' ἐκέλευεν ἑαυτῷ,
καὶ καταλαμβάνομεν πρὸς τοῖς [l]μυροπωλείοις [m]τουτονί·
16 κἀγὼ κλητῆρας ἔχων προσεκαλεσάμην αὐτόν. καὶ ὁ Λάμ-
πις, ὦ ἄνδρες Ἀθηναῖοι, [n]παρὼν [o]προσκαλουμένῳ μοι
οὐδαμοῦ ἐτόλμησεν εἰπεῖν ὡς ἀπείληφε παρὰ τούτου τὸ
χρυσίον, οὐδ' ὃ εἰκὸς ἦν [p]εἶπε "Χρύσιππε, [q]μαίνει· τί
"τοῦτον [r]προσκαλεῖ; ἐμοὶ γὰρ ἀποδέδωκε τὸ χρυσίον."
ἀλλὰ [s]μὴ ὅτι [t]ὁ Λάμπις [u]ἐφθέγξατο, ἀλλ' οὐδ' αὐτὸς
[x]οὗτος ἠξίωσεν εἰπεῖν, παρεστηκότος τοῦ Λάμπιδος, ᾧ
17 νῦν φησὶν ἀποδεδωκέναι τὸ χρυσίον. καίτοι εἰκός γ' ἦν

[a] Βοσπόρῳ] τῷ βοσπόρῳ A.r. [b] τότε om. A.r. [c] παραγενομένων] παραγεγενημένων A.r. [d] Φορμίων] ὁ φορμίων F.Q. [e] Post οὑτοσὶ in S. duæ literæ erasæ, quæ ει videntur fuisse. [f] κατὰ μὲν ἀρχὰς] κατ' ἀρχὰς μὲν A.r. [g] νυνὶ] νῦν F.Q. [h] ἐπεὶ S. Legebatur ἐπειδή. ἐπειδὰν A.r. [i] ἀνεκοινώσατο] ἐκοινώσατο A.r. [k] οὐδὲν] οὐδέν μοι A.r. [l] μυροπωλείοις r. μυροπωλίοις vulgo. Conf. ad p. 786, 9. [m] τουτονί A.S.r. Legebatur αὐτόν. [n] παρὼν—οὐδ' ὃ in litura a m. pr. scripta habet S., excepta verbi παρὼν litera prima. [o] προσκαλουμένῳ μοι] προσκαλουμένου μου A.r. [p] εἶπε] εἰπεῖν A.r. [q] μαίνει] μένει S. μαίνῃ A.F.Q.r. [r] προσκαλεῖ] προσκαλεῖς F.Q. προσκαλῇ A.r. [s] μὴ] μὴν Q. [t] ὁ om. A.S.r. [u] ἐφθέγξατο A.S.r. Legebatur οὐκ ἐφθέγξατο. Sic apud Aristidem vol. I. p. 292, 5. τοῖς ἰατροῖς—μὴ ὅτι ὠφελεῖν ἔχουσιν, ἀλλ' οὐδὲ γνωρίσαι ὅ τι εἴη τὸ σύμπαν, codex Florentinus οὐκ ἔχουσιν a correctore. [x] οὗτος A.S.r. Legebatur οὑτοσὶ οὐδέν.

[y] αὐτὸν εἰπεῖν, ὦ ἄνδρες Ἀθηναῖοι, "τί με [z] προσκαλεῖ, "[a] ἄνθρωπε; ἀποδέδωκα γὰρ τούτῳ τῷ παρεστηκότι τὸ "χρυσίον" καὶ ἅμα ὁμολογοῦντα παρέχειν τὸν Λάμπιν· [b] νῦν δ' [c] οὐδέτερος αὐτῶν οὐδ' ὁτιοῦν εἶπεν ἐν [d] τοιούτῳ καιρῷ. καὶ ὅτι ἀληθῆ λέγω, λαβέ μοι τὴν μαρτυρίαν τῶν [e] κλητήρων.

18 [f] ΜΑΡΤΥΡΙΑΙ. 912

Λαβὲ δή μοι καὶ τὸ ἔγκλημα ὃ ἔλαχον αὐτῷ πέρυσιν· ὅ ἐστιν οὐδενὸς ἔλαττον τεκμήριον ὅτι [g] οὐδέπω τότ' ἔφησε Φορμίων ἀποδεδωκέναι τὸ χρυσίον Λάμπιδι.

ΕΓΚΛΗΜΑ.

19 Τοῦτο τὸ ἔγκλημα [h] ἔλαχον ἐγώ, ὦ ἄνδρες Ἀθηναῖοι, οὐδαμόθεν ἄλλοθεν σκοπῶν ἀλλ' ἢ ἐκ τῆς [i] ἀπαγγελίας τῆς Λάμπιδος, ὃς οὐκ ἔφασκεν οὔτε τὰ χρήματα ἐντεθεῖσθαι τοῦτον οὔτε τὸ χρυσίον ἀπειληφέναι· μὴ γὰρ οἴεσθέ με οὕτως ἀπόπληκτον εἶναι καὶ παντελῶς μαινόμενον, ὥστε [k] τοιοῦτο γράφειν ἔγκλημα ὁμολογοῦντος τοῦ Λάμπιδος ἀπειληφέναι τὸ χρυσίον, ὑφ' οὗ ἤμελλον ἐξελεγχθήσεσθαι.

20 Ἔτι δ', ὦ ἄνδρες Ἀθηναῖοι, κἀκεῖνο σκέψασθε· αὐτοὶ γὰρ οὗτοι παραγραφὴν [l] διδόντες πέρυσιν, οὐκ ἐτόλμησαν ἐν τῇ παραγραφῇ γράψαι ὡς ἀποδεδώκασι Λάμπιδι τὸ χρυσίον. καί μοι [m] λαβὲ [n] ταύτην τὴν παραγραφήν.

ΠΑΡΑΓΡΑΦΗ.

21 Ἀκούετε, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι οὐδαμοῦ γέγραπται ἐν τῇ παραγραφῇ ὡς ἀποδέδωκε τὸ χρυσίον Φορμίων

[y] αὐτὸν εἰπεῖν] εἰπεῖν αὐτὸν A.r. [z] προσκαλεῖ] προσκαλῇ A. προσκαλεῖς F.Q. [a] ἄνθρωπε A.S. Legebatur ὦ ἄνθρωπε. [b] νῦν A.r. Scribebatur νυνί. [c] οὐδέτερος] Ante τ in S. litera una erasa, quæ α fuisse videtur. [d] τοιούτῳ] τῷ τοιούτῳ F.Q. [e] κλητήρων F.Q. Legebatur κλητόρων. Conf. ad p. 244, 4. 1147, 6. [f] ΜΑΡΤΥΡΙΑΙ] ΜΑΡΤΥΡΙΑ S. [g] οὐδέπω τότ' Reiskius. Legebatur οὐδεπώποτ'. [h] ἔλαχον] ἔγραφον A.r. [i] ἀπαγγελίας] ἀγγελίας F.S.Q. [k] τοιοῦτο A.S.r. Scribebatur τοιοῦτον. Tum addebatur ὦ ἄνδρες Ἀθηναῖοι, quod om. A.S. [l] διδόντες] δόντες τῆς δίκης r. [m] λαβὲ] λέγε F.Q. [n] ταύτην] αὐτὴν A.r.

Λάμπιδι, καὶ ταῦτ' ἐμοῦ διαρρήδην γράψαντος εἰς τὸ ἔγκλημα, ὃ ἠκούσατ' ἀρτίως, ὅτι οὔτε τὰ χρήματ' [o] ἔνθοιτο εἰς τὴν ναῦν οὔτ' [p] ἀπέδωκε τὸ χρυσίον. τίνα οὖν [q] ἄλλον χρὴ περιμένειν ὑμᾶς μάρτυρα, ὅταν τηλικαύτην μαρτυρίαν παρ' αὐτῶν τούτων ἔχητε;

22 Μελλούσης [r] δὲ τῆς δίκης εἰσιέναι εἰς τὸ δικαστήριον ἐδέοντο [s] ἡμῶν ἐπιτρέψαι τινί· καὶ ἡμεῖς ἐπετρέψαμεν Θεοδότῳ ἰσοτελεῖ κατὰ συνθήκας. καὶ ὁ Λάμπις μετὰ ταῦτα νομίσας αὐτῷ ἀσφαλὲς ἤδη εἶναι πρὸς διαιτητῇ μαρτυρεῖν ὅ τι βούλοιτο, μερισάμενος τὸ ἐμὸν χρυσίον 913
μετὰ Φορμίωνος [t] τουτουὶ [u] ἐμαρτύρει [x] τἀναντία οἷς πρότε-
23 ρον [y] εἰρήκει. οὐ γὰρ ὅμοιόν ἐστιν, ὦ ἄνδρες Ἀθηναῖοι, εἰς τὰ ὑμέτερα πρόσωπα [z] ἐμβλέποντα τὰ ψευδῆ μαρτυρεῖν καὶ πρὸς διαιτητῇ· παρ' ὑμῖν μὲν γὰρ [a] καὶ ὀργὴ μεγάλη καὶ τιμωρία [b] ὑπόκειται τοῖς [c] τὰ ψευδῆ μαρτυροῦσι, πρὸς δὲ τῷ διαιτητῇ ἀκινδύνως καὶ ἀναισχύντως μαρτυροῦσιν ὅ τι ἂν βούλωνται. ἀγανακτοῦντος δέ μου καὶ σχετλιάζοντος, ὦ ἄνδρες Ἀθηναῖοι, ἐπὶ τῇ τόλμῃ τοῦ Λάμ-
24 πιδος, καὶ παρεχομένου πρὸς τὸν διαιτητὴν τὴν αὐτὴν μαρτυρίαν, ἥνπερ καὶ νῦν πρὸς ὑμᾶς παρέχομαι, τῶν ἐξ ἀρχῆς προσελθόντων αὐτῷ μεθ' ἡμῶν, ὅτε οὔτε τὸ χρυσίον ἔφη ἀπειληφέναι παρὰ τούτου οὔτε [d] τὰ χρήματ' [e] αὐτὸν ἐνθέσθαι εἰς τὴν ναῦν, οὕτως ὁ Λάμπις κατὰ κράτος ἐξελεγχόμενος [f] τὰ ψευδῆ μαρτυρῶν [g] καὶ πονηρὸς ὢν ὡμολόγει μὲν εἰρηκέναι ταῦτα πρὸς τοῦτον, οὐ μέντοι [h] γε ἐντὸς ὢν εἰπεῖν αὐτοῦ. καί μοι ἀνάγνωθι ταύτην τὴν μαρτυρίαν.

[o] ἔνθοιτο] ἔνθοιντο A.r. [p] ἀπέδωκε S. Legebatur ἀποδέδωκε. [q] ἄλλον] μᾶλλον A.r. [r] δὲ] τε A. [s] ἡμῶν] ὑμῶν F.Q. [t] τουτουὶ] τούτου A.F.Q.r. [u] ἐμαρτύρει om. F.S.Q. [x] τἀναντία] τὰ ἐναντία S. [y] εἰρήκει] εἴρηκεν F.Q. [z] ἐμβλέποντα τὰ] ἐμβλέψοντα A.r. [a] καὶ addidi ex S. [b] ὑπόκειται] ἀπόκειται A.r. [c] τὰ om. A.r. [d] τὰ addidi ex A.r. Conf. ad p. 910, 26. [e] αὐτὸν ἐνθέσθαι] ἐνθέσθαι αὐτὸν A.r. [f] τὰ additum ex A.S.r. [g] καὶ πονηρὸς ὢν om. A.r. [h] γε ἐντὸς ὢν εἰπεῖν] ἐντὸς ὢν εἶπεν A.r.

ΜΑΡΤΥΡΙΑ.

25 Ἀκούσας τοίνυν ἡμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, [i] ὁ Θεόδοτος
πολλάκις, καὶ νομίσας [k] τὸν Λάμπιν ψευδῆ μαρτυρεῖν,
οὐκ ἀπέγνω τῆς δίκης, ἀλλ' [l] ἐφῆκεν ἡμᾶς εἰς τὸ [m] δικα-
στήριον· καταγνῶναι μὲν γὰρ οὐκ [n] ἠβουλήθη διὰ τὸ οἰ-
κείως ἔχειν Φορμίωνι τούτῳ, ὡς ἡμεῖς ὕστερον ἐπυθόμεθα·
ἀπογνῶναι δὲ τῆς δίκης ὤκνει, ἵν' [o] αὐτὸς μὴ [p] ἐπιορκή-
26 σειεν. ἐξ αὐτοῦ [q] δὴ τοῦ πράγματος λογίσασθε, ὦ ἄνδρες
δικασταὶ, παρ' ὑμῖν αὐτοῖς ὁπόθεν ἤμελλεν [r] οὗτος ἀπο-
δώσειν τὸ χρυσίον. ἐνθένδε μὲν γὰρ ἐξέπλει οὐκ ἐνθέμενος
εἰς τὴν ναῦν τὰ χρήματα καὶ ὑποθήκην οὐκ ἔχων, ἀλλ' 914
ἐπὶ τοῖς ἐμοῖς χρήμασιν ἐπιδανεισάμενος· [s] ἐν Βοσπόρῳ
δ' ἀπρασίαν τῶν φορτίων κατέλαβε, καὶ τοὺς τὰ ἑτερό-
27 πλοα δανείσαντας μόλις ἀπήλλαξεν. καὶ οὗτος μὲν ἐδά-
νεισεν αὐτῷ δισχιλίας δραχμὰς ἀμφοτερόπλουν, ὥστ' ἀπο-
λαβεῖν Ἀθήνησι δισχιλίας ἑξακοσίας δραχμάς· Φορμίων
δέ φησιν ἀποδοῦναι Λάμπιδι ἐν Βοσπόρῳ ἑκατὸν καὶ
εἴκοσι στατῆρας Κυζικηνοὺς (τούτῳ γὰρ προσέχετε τὸν
νοῦν) δανεισάμενος ἐγγείων τόκων. ἦσαν δὲ [t] ἔφεκτοι οἱ
ἔγγειοι τόκοι, ὁ δὲ Κυζικηνὸς ἐδύνατο ἐκεῖ εἴκοσι καὶ ὀκτὼ
28 δραχμὰς Ἀττικάς. δεῖ δὴ μαθεῖν ὑμᾶς ὅσα φησὶ χρήματ'
ἀποδεδωκέναι. τῶν μὲν γὰρ ἑκατὸν [u] καὶ εἴκοσι στατή-
ρων γίγνονται τρισχίλιαι τριακόσιαι ἑξήκοντα, ὁ δὲ τό-
κος [x] ὁ ἔγγειος [y] ὁ [z] ἔφεκτος τῶν τριάκοντα μνῶν καὶ τριῶν
καὶ ἑξήκοντα, πεντακόσιαι δραχμαὶ καὶ ἑξήκοντα· τὸ δὲ
29 [a] σύμπαν κεφάλαιον γίγνεται τόσον καὶ τόσον. ἔστιν οὖν,

[i] ὁ om. A.r. et Libanius in argumento p. 906, 23. [k] τὸν Λάμπιν om. r. [l] ἐφῆκεν] ἀφῆκεν S. [m] δικαστήριον] δικαστήριον ἰέναι A.r. [n] ἠβουλήθη] ἐβουλήθη S. [o] αὐτὸς om. A.r. [p] ἐπιορκήσειεν] ἐπιορκήσῃ correctus S. ἐπιορκήσει pr. S. [q] δὴ] δὲ A.r. [r] οὗτος ἀποδώσειν] ἀποδώσειν οὗτος F.Q. [s] ἐν om. r. [t] ἔφεκτοι] Scribebatur ἐφεκτοί. Recto accentu ap. Harpocr. s. v. Ἔφεκτος τόκος. [u] καὶ addidi ex A.r. [x] ὁ om. S.Q. [y] ὁ om. F. [z] ἔφεκτος] Hic quoque libri ἐφεκτός. Accentu caret S. [a] σύμπαν S. et B. quod fugit Reiskium. Scribebatur ξύμ-

ὦ ἄνδρες δικασταί, [b]οὗτος ὁ ἄνθρωπος ἦ γενήσεταί [c]ποτε,
ὃς ἀντὶ δισχιλίων [d]καὶ ἑξακοσίων δραχμῶν τριάκοντα μνᾶς
καὶ τριακοσίας [e]καὶ ἑξήκοντα ἀποτίνειν προείλετ' ἄν, καὶ
τόκον πεντακοσίας δραχμὰς καὶ ἑξήκοντα δανεισάμενος,
ἃς [f]φησιν ἀποδεδωκέναι Φορμίων Λάμπιδι, τρισχιλίας
ἐννακοσίας εἴκοσιν; ἐξὸν δ' αὐτῷ ἀμφοτερόπλουν Ἀθή-
νησιν ἀποδοῦναι τὸ ἀργύριον, ἐν Βοσπόρῳ [g]ἀπέδωκε,
30 τρισὶ καὶ δέκα [h]μναῖς πλέον; καὶ τοῖς μὲν τὰ [i]ἑτερόπλοα
δανείσασι [k]μόλις τἀρχαῖα ἀποδέδωκας, οἳ [l]συνέπλευσάν
σοι καὶ προσήδρευον· τούτῳ δὲ τῷ μὴ παρόντι οὐ [m]μόνον
τἀρχαῖα καὶ τοὺς τόκους ἀπεδίδους, ἀλλὰ καὶ τὰ ἐπι- 915
τίμια τὰ ἐκ τῆς συγγραφῆς [n]ἀπέτινες, οὐδεμιᾶς σοι ἀνάγ-
31 κης οὔσης; κἀκείνους μὲν οὐκ ἐδεδίεις, οἷς αἱ συγγρα-
φαὶ ἐν Βοσπόρῳ τὴν πρᾶξιν ἐδίδοσαν [o]τοῦ δανείου· τού-
του δὲ φῂς φροντίζειν, ὃν ἐξ [p]ἀρχῆς εὐθὺς ἠδίκεις οὐκ
ἐνθέμενος τὰ χρήματ' εἰς τὴν ναῦν κατὰ τὴν συγγρα-
φὴν Ἀθήνηθεν; καὶ νῦν μὲν εἰς τὸ ἐμπόριον ἥκων, οὗ τὸ
συμβόλαιον ἐγένετο, οὐκ ὀκνεῖς ἀποστερεῖν τὸν δανείσαντα·
ἐν Βοσπόρῳ δὲ [q]πλείω τῶν δικαίων φῂς ποιεῖν, οὗ δίκην
32 οὐκ ἔμελλες δώσειν; καὶ οἱ μὲν ἄλλοι πάντες οἱ τὰ [r]ἀμ-
φοτερόπλοα δανειζόμενοι, ὅταν ἀποστέλλωνται ἐκ τῶν ἐμ-
πορίων, πολλοὺς παρίστανται, ἐπιμαρτυρόμενοι ὅτι τὰ χρή-

παν. Qua forma non utitur Demosthenes. ξυμμάχων male libri nonnulli p. 369, 27. [b] οὗτος ὁ] τοιοῦτος A.r. [c] ποτε] Quod Reiskius ex A. affert πώποτε, id neque in hoc codice neque in B. legitur, sed sumptum est ex marg. ed. Paris. a. 1570. In S. πο scriptum in fine versus, proximo versu, literis duabus male repetitis, a ποτε incipiente. Cujusmodi ex errore ortum illud πώποτε est. [d] καὶ addidi ex A.r. Conf. p. 919, 12. [e] καὶ ἑξήκοντα in γρ. F. [f] φησιν] φασιν A. [g] ἀπέδωκε S. Legebatur ἀποδέδωκε. ἀποδεδωκέναι A.r. [h] μναῖς] μνας S. ι ab eadem m. [i] ἑτερόπλοα] ἑτερόπλοια S. [k] μόλις τἀρχαῖα] μόλις τἀρχαῖον Q. μάλιστ' ἀρχαῖα A.r. [l] συνέπλευσάν] συνέπλεον A. [m] μόνον τἀρχαῖα] μόνον τὰ χρήματα A.r. [n] ἀπέτινες] ἀπέτεινες pr. S. [o] τοῦ δανείου om. A.r. [p] ἀρχῆς] Addebatur ὥς φασιν, quod om. A.r. ὥς φησιν est in S. [q] πλείω τῶν δικαίων] τῶν δικαίων πλείω A.r. [r] ἀμφοτερόπλοα] ἑτερόπλοα S. ἑτερόπλοια F.Q.

ματα [s] ἤδη κινδυνεύεται τῷ δανείσαντι· σὺ [t] δ' ἐνὶ σκήπτει
μάρτυρι αὐτῷ τῷ [u] συναδικοῦντι, καὶ [x] οὔτε τὸν παῖδα τὸν
ἡμέτερον παρέλαβες ἐν Βοσπόρῳ ὄντα οὔτε τὸν κοινωνὸν,
[y] οὐδὲ τὰς ἐπιστολὰς ἀπέδωκας αὐτοῖς, ἃς ἡμεῖς [z] ἐπεθή-
καμεν, ἐν αἷς ἐγέγραπτο παρακολουθεῖν σοι, οἷς ἂν πράτ-
33 της; καίτοι, ὦ ἄνδρες [a] δικασταὶ, τί οὐκ ἂν πράξειεν ὁ
τοιοῦτος, ὅστις γράμματα λαβὼν μὴ [b] ἀποδέδωκεν ὀρθῶς
καὶ δικαίως; ἢ πῶς οὐ φανερόν ἐστιν ὑμῖν τὸ τούτου
κακούργημα ἐξ αὐτῶν ὧν ἔπραττεν; καίτοι, ὦ γῆ καὶ θεοὶ,
προσῆκέ γε [c] τοσοῦτο χρυσίον ἀποδιδόντα, καὶ [d] πλέον τοῦ
δανείσματος, περιβόητον ποιεῖν ἐν τῷ [e] ἐμπορίῳ, καὶ πα-
ρακαλεῖν πάντας ἀνθρώπους, πρῶτον δὲ τὸν παῖδα [f] τὸν
34 τούτου καὶ τὸν κοινωνόν· ἴστε γὰρ δήπου πάντες ὅτι δα-
νείζονται μὲν μετ' ὀλίγων μαρτύρων, ὅταν δ' [g] ἀποδιδῶσι,
πολλοὺς παρίστανται μάρτυρας, ἵν' ἐπιεικεῖς δοκῶσιν εἶ- 916
ναι περὶ τὰ συμβόλαια. σοὶ δ' ἀποδιδόντι τό τε δάνειον
καὶ τοὺς τόκους ἀμφοτέρους, [h] ἑτεροπλόῳ τῷ ἀργυρίῳ κε-
χρημένῳ, καὶ προστιθέντι ἑτέρας [i] τρεῖς καὶ δέκα μνᾶς, πῶς
οὐχὶ πολλοὺς ἦν παραληπτέον μάρτυρας; καὶ εἰ τοῦτ'
ἔπραξας, οὐδ' ἂν εἷς σοῦ μᾶλλον τῶν πλεόντων ἐθαυμά-
35 ζετο. σὺ δ' ἀντὶ τοῦ πολλοὺς μάρτυρας τούτων ποιεῖσθαι
πάντας ἀνθρώπους λανθάνειν ἐπειρῶ, ὥσπερ ἀδικῶν [k] τι.
καὶ εἰ μὲν ἐμοὶ τῷ δανείσαντι ἀπεδίδους, οὐδὲν ἔδει [l] μαρ-
τύρων· τὴν γὰρ συγγραφὴν ἀνελόμενος [m] ἀπήλλαξο ἂν

[s] ἤδη om. F.Q. [t] δ' ἐνὶ σκήπτει Wolfius (qui σκήπτῃ scripsit). δ' ἐπι-σκήπτηι F.S.Q. δὲ σκήπτει (ηι superscr.) A. δὲ σκήπτῃ vulgo. [u] συναδικοῦντι] συνδικοῦντι F.S. συνδιοικοῦντι Q. [x] οὔτε] οὐδὲ F.Q. [y] οὐδὲ Bekkerus. οὔτε vulgo. [z] ἐπεθήκαμεν] ἀπεδώκαμεν F.Q. [a] δικασταὶ S. Legebatur Ἀθηναῖοι. [b] ἀποδέδωκεν] ἀπέδωκεν F.Q. [c] τοσοῦτο] τοσοῦτον F.Q. τοῦτον A.r. [d] πλέον A. Scribebatur πλεῖον. [e] ἐμπορίῳ] ἐμπορείῳ correctus a pr. m. S. [f] τὸν om. F.Q. [g] ἀποδιδῶσι] ἀπολύσωσιν F.Q. [h] ἑτεροπλόῳ] ἑτερόπλω A.r. [i] τρεῖς καὶ δέκα] τρεισκαίδεκα S. τρισκαίδεκα A.F.Q.r. [k] τι] τις A.r. [l] μαρτύρων· τὴν γὰρ] τῶν μαρτύρων. τὴν A.r. [m] ἀπήλλαξο] ἀπήλλαξα F. ἀπηλλάξω Q.

τοῦ συμβολαίου· νῦν δ' [n] οὐκ ἐμοὶ, ἀλλ' ἑτέρῳ ὑπὲρ ἐμοῦ
[o] ἀποδιδοὺς, καὶ οὐκ Ἀθήνησιν, ἀλλ' ἐν Βοσπόρῳ, καὶ τῆς
συγγραφῆς σοι κειμένης Ἀθήνησι καὶ πρὸς ἐμὲ, καὶ ᾧ τὸ
χρυσίον ἀπεδίδους ὄντος θνητοῦ καὶ πέλαγος τοσοῦτον
μέλλοντος πλεῖν, μάρτυρα οὐδένʼ ἐποιήσω, οὔτε δοῦλον οὔτ'
36 ἐλεύθερον. ἡ γὰρ συγγραφή [p] με, φησὶ, τῷ ναυκλήρῳ ἐκέ-
λευεν ἀποδοῦναι τὸ χρυσίον. μάρτυρας δέ [q] τοι οὐκ ἐκώλυε
[r] παρακαλεῖν, οὐδὲ τὰς ἐπιστολὰς ἀποδοῦναι. καὶ οἵδε
μὲν πρὸς σὲ δύο συγγραφὰς ἐποιήσαντο ὑπὲρ τοῦ συμβο-
λαίου, ὡς [s] ἂν οἱ μάλιστ' ἀπιστοῦντες· σὺ δὲ μόνος μόνῳ
φῂς δοῦναι τῷ ναυκλήρῳ τὸ χρυσίον, εἰδὼς κατὰ σοῦ κει-
μένην Ἀθήνησι συγγραφὴν πρὸς τοῦτον.
37 [t] Λέγει δ' ὡς ἡ συγγραφὴ σωθείσης τῆς νεὼς αὐτὸν
ἀποδοῦναι κελεύει τὰ χρήματα. καὶ [u] γὰρ ἐνθέσθαι τὰ-
γοράσματα εἰς τὴν ναῦν κελεύει σε, εἰ δὲ μὴ, πεντακισ-
χιλίας δραχμὰς ἀποτίνειν. σὺ δὲ τοῦτο μὲν τῆς συγ-
γραφῆς οὐ [x] λαμβάνεις, παραβεβηκὼς δ' [y] εὐθὺς [z] ἐξ ἀρ-
χῆς καὶ τὰ χρήματα οὐκ ἐνθέμενος ἀμφισβητεῖς πρὸς ἓν 917
ῥῆμα τῶν ἐν τῇ συγγραφῇ, καὶ τοῦτ' [a] ἀνῃρηκὼς αὐτός.
ὁπότε γὰρ [b] ἐν τῷ Βοσπόρῳ φῂς μὴ τὰ χρήματ' ἐνθέσθαι
εἰς τὴν ναῦν, ἀλλὰ τὸ χρυσίον [c] τῷ ναυκλήρῳ ἀποδοῦναι,
τί ἔτι περὶ τῆς νεὼς [d] διαλέγει; οὐ γὰρ μετέσχηκας τοῦ
38 κινδύνου διὰ τὸ [e] μηδὲν ἐνθέσθαι. καὶ τὸ μὲν πρῶτον, ὦ
ἄνδρες Ἀθηναῖοι, ὥρμησεν ἐπὶ ταύτην τὴν σκῆψιν, ὡς [f] ἐν-
τεθειμένος τὰ χρήματα εἰς τὴν ναῦν· ἐπειδὴ δὲ τοῦτο ἐκ

[n] οὐκ] οὐδ' F.Q. [o] ἀποδιδοὺς] ἀπεδίδους F.Q. ἀπεδίδου$^{\varsigma}$ S. litera ς a m. alia superscripta. [p] με om. A. [q] τοι S. Legebatur γ'. [r] παρακαλεῖν] παραλαβεῖν A.r. [s] ἂν οἱ S. ἄν σοι vulgo. [t] λέγει] λέγε F. [u] γὰρ ἐνθέσθαι] παρενθέσθαι S. [x] λαμβάνεις] παραλαμβάνεις A.r. [y] εὐθὺς] εὐθὺς δ' A. interpunctione post παραβεβηκὼς δὲ posita. [z] ἐξ ἀρχῆς ante οὐκ F.Q. [a] ἀνῃρηκὼς] ἀνειρηκὼς S. [b] ἐν τῷ Βοσπόρῳ φῂς] φῂς ἐν τῷ βοσπόρῳ A.r. [c] τῷ ναυκλήρῳ ἀποδοῦναι] ἀποδοῦναι τῷ ναυκλήρῳ αὐτῷ A.r. [d] διαλέγει S. Scribebatur διαλέγῃ. [e] μηδὲν] μὴ A.r. [f] ἐντεθειμένος] ἐνθέμενος A.r.

πολλῶν [g] ἤμελλεν ἐλεγχθήσεσθαι ψευδόμενος, ἔκ τε τῆς ἀπογραφῆς τῆς ἐν Βοσπόρῳ παρὰ τοῖς [h] ἐλλιμενισταῖς καὶ ὑπὸ τῶν ἐν τῷ ἐμπορίῳ ἐπιδημούντων κατὰ τὸν αὐτὸν χρόνον, τηνικαῦτα [i] μεταβαλλόμενος συνίσταται μετὰ τοῦ
39 Λάμπιδος καὶ φησὶν ἐκείνῳ τὸ χρυσίον ἀποδεδωκέναι, ἐφόδιον μὲν λαβὼν τὸ τὴν συγγραφὴν κελεύειν, οὐκ ἂν ἡγούμενος δ' ἡμᾶς εὐπόρως [k] ἐξελέγξαι ὅσα μόνοι πρὸς αὑτοὺς [l] αὐτοὶ πράξειαν. καὶ ὁ Λάμπις, ὅσα μὲν εἶπε [m] πρὸς ἐμὲ πρὶν ὑπὸ τούτου διαφθαρῆναι, οὐκ ἐντὸς ὢν αὑτοῦ φησὶν εἰπεῖν· ἐπειδὴ δὲ τὸ χρυσίον τοὐμὸν ἐμερίσατο, τότ' ἐντὸς εἶναί φησιν αὑτοῦ καὶ πάντ' ἀκριβῶς μνημονεύειν.

40 Εἰ μὲν οὖν, ὦ ἄνδρες δικασταί, ἐμοῦ μόνου [n] κατεφρόνει Λάμπις, οὐδὲν ἂν ἦν θαυμαστόν· νῦν δὲ πολλῷ δεινότερα τούτου πέπρακται αὐτῷ πρὸς πάντας [o] ὑμᾶς. [p] κήρυγμα γὰρ ποιησαμένου [q] Παρεισάδου ἐν Βοσπόρῳ, ἐάν τις βούληται Ἀθήναζε εἰς τὸ Ἀττικὸν [r] ἐμπόριον σιτηγεῖν, ἀτελῆ τὸν σῖτον [s] ἐξάγειν, ἐπιδημῶν ἐν τῷ Βοσπόρῳ [t] ὁ Λάμπις ἔλαβε τὴν ἐξαγωγὴν τοῦ σίτου καὶ τὴν ἀτέλειαν ἐπὶ τῷ
41 τῆς πόλεως ὀνόματι, γεμίσας δὲ ναῦν μεγάλην σίτου ἐκόμισεν εἰς Ἄκανθον κἀκεῖ διέθετο [u] προσκοινωνήσας τούτῳ 918 ἀπὸ τῶν ἡμετέρων [x] χρημάτων. καὶ ταῦτ' ἔπραξεν, ὦ ἄνδρες δικασταί, οἰκῶν μὲν Ἀθήνησιν, οὔσης δ' αὐτῷ γυναικὸς ἐνθάδε καὶ παίδων, τῶν δὲ νόμων τὰ ἔσχατα ἐπιτίμια [y] προτεθεικότων, εἴ τις οἰκῶν Ἀθήνησιν [z] ἄλλοσέ ποι

[g] ἤμελλεν ἐλεγχθήσεσθαι S. Legebatur ἔμελλεν ἐξελεγχθήσεσθαι. [h] ἐλλιμενισταῖς] ἐνλιμενισταῖς A.S.r. [i] μεταβαλλόμενος] μεταβαλόμενος F.Q. [k] ἐξελέγξαι] ἐλέγξαι Q. [l] αὐτοὶ] οὗτοι A.r. [m] πρὸς ἐμὲ om. F. in γρ. habet Q. Conf. p. 913, 17. [n] κατεφρόνει Λάμπις] καταφρονεῖν λάμπις ἐτόλμησεν A.r. [o] ὑμᾶς om. F. in γρ. habet Q. [p] κήρυγμα] κηρύγματα A.r. [q] Παρεισάδου] παρυσάδου A.r. Vid. ad p. 909, 22. [r] ἐμπόριον] ἐμπόρειον S. χωρίον A.r. [s] ἐξάγειν] εἰσάγειν A.r. [t] ὁ om. F.Q. [u] προσκοινωνήσας] κοινωνήσας A.r. [x] χρημάτων om. A.r. [y] προτεθεικότων Wolfius. προστεθεικότων libri. [z] ἄλλοσέ ποι Bekkerus. Legebatur ἄλλοθί που. ἄλλοθί ποι Reiskius. Conf. p. 941, 4. 17.

42 σιτηγήσειεν ἢ εἰς τὸ Ἀττικὸν [a] ἐμπόριον, ἔτι δ' ἐν [b] τοιούτῳ καιρῷ, ἐν ᾧ ὑμῶν οἱ μὲν ἐν τῷ ἄστει οἰκοῦντες [c] διεμετροῦντο [d] τὰ ἄλφιτα ἐν τῷ [e] ᾠδείῳ, οἱ δ' ἐν τῷ Πειραιεῖ ἐν τῷ νεωρίῳ [f] ἐλάμβανον κατ' ὀβολὸν τοὺς ἄρτους καὶ [g] ἐπὶ τῆς μακρᾶς στοᾶς, τὰ ἄλφιτα καθ' ἡμίεκτον μετρούμενοι καὶ καταπατούμενοι. καὶ ὅτι ἀληθῆ λέγω, λαβέ [h] μοι τήν [i] τε μαρτυρίαν καὶ τὸν νόμον.

ΜΑΡΤΥΡΙΑ. ΝΟΜΟΣ.

43 Φορμίων τοίνυν τούτῳ χρώμενος κοινωνῷ καὶ μάρτυρι οἴεται δεῖν ἀποστερῆσαι τὰ χρήμαθ' ἡμᾶς, [k] οἵ γε σιτηγοῦντες διατετελέκαμεν εἰς τὸ ὑμέτερον ἐμπόριον, καὶ τριῶν ἤδη καιρῶν κατειληφότων [l] τὴν πόλιν, ἐν οἷς ὑμεῖς τοὺς χρησίμους τῷ δήμῳ [m] ἐξητάζετε, οὐδενὸς τούτων ἀπολελείμμεθα, ἀλλ' ὅτε μὲν [n] εἰς Θήβας Ἀλέξανδρος [o] παρήει,
44 ἐπεδώκαμεν ὑμῖν τάλαντον [p] ἀργυρίου, ὅτε δ' ὁ σῖτος ἐπετιμήθη πρότερον καὶ ἐγένετο ἑκκαίδεκα δραχμῶν, εἰσαγαγόντες πλείους ἢ μυρίους μεδίμνους πυρῶν διεμετρήσαμεν ὑμῖν τῆς καθεστηκυίας τιμῆς, πέντε δραχμῶν [q] τὸν μέδιμνον· καὶ ταῦτα πάντες ἴστε ἐν τῷ [r] πομπείῳ διαμετρούμενοι· πέρυσι δ' εἰς τὴν σιτωνίαν τὴν ὑπὲρ τοῦ δήμου τάλαντον ὑμῖν ἐπεδώκαμεν ἐγώ τε καὶ ὁ ἀδελφός. καί μοι ἀνάγνωθι τούτων τὰς μαρτυρίας.

ΜΑΡΤΥΡΙΑΙ.

45 Ἀλλὰ μὴν [s] εἴ γε δεῖ καὶ τούτοις τεκμαίρεσθαι, οὐκ 919
εἰκὸς ἦν ἐπιδιδόναι μὲν ἡμᾶς τοσαῦτα χρήματα, ἵνα παρ' ὑμῖν [t] εὐδοξῶμεν, συκοφαντεῖν δὲ Φορμίωνα, ἵνα [u] καὶ

[a] ἐμπόριον] ἐμπόρειον S. hic et l. 18. [b] τοιούτῳ] τῷ τοιούτῳ F. [c] διεμετροῦντο] διεμετροῦντα (sic) S. [d] τὰ om. F.Q. [e] ᾠδείῳ] ᾠδίῳ A. [f] ἐλάμβανον S. διελάμβανον vulgo. [g] ἐπὶ] ἔτι S. [h] μοι] μου S. [i] τε om. A.r. [k] οἵ γε] οἳ A.r. [l] τὴν πόλιν] τῇ πόλει S. [m] ἐξητάζετε] ἐξετάζετε A.r. [n] εἰς θήβας ἀλέξανδρος A.S.r. Legebatur Ἀλέξανδρος εἰς Θήβας. [o] παρήει] ἀπήει A.r. [p] ἀργυρίου] ἀργύριον A.r. [q] τὸν] τὸ A.r. [r] πομπείῳ] πομπίῳ A. [s] εἴ γε] εἴτι A.r. [t] εὐδοξῶμεν] δόξαν ἔχωμεν F.Q. [u] καὶ om. F.Q.

τὴν ὑπάρχουσαν ἐπιείκειαν [x] ἀποβάλωμεν. δικαίως ἂν οὖν [y] βοηθήσαιτε ἡμῖν, ὦ ἄνδρες δικασταί. ἐπέδειξα γὰρ ὑμῖν οὔτ᾽ ἐξ ἀρχῆς τὰ φορτία ἐνθέμενον τοῦτον εἰς τὴν ναῦν ἁπάντων ὧν ἐδανείσατο Ἀθήνηθεν, τῶν τ᾽ ἐν [z] Βοσπόρῳ πραθέντων τοὺς τὰ [a] ἑτερόπλοα δανείσαντας μόλις διαλύ-
46 σαντα, ἔτι δ᾽ οὔτ᾽ εὐποροῦντα οὔθ᾽ οὕτως ὄντ᾽ ἀβέλτερον ὥστ᾽ ἀντὶ δισχιλίων καὶ ἑξακοσίων δραχμῶν τριάκοντα μνᾶς καὶ ἐννέα ἀποδοῦναι, πρός τε τούτοις, [b] ὅτε ἀποδοῦναί φησι τὸ χρυσίον [c] τῷ Λάμπιδι, οὔτε [d] τὸν παῖδα παραλαβόντα τὸν ἐμὸν οὔτε τὸν κοινωνὸν ἐπιδημοῦντα ἐν [e] Βοσπόρῳ. ἐμοὶ [f] δὲ Λάμπις αὐτὸς [g] μαρτυρῶν φαίνεται ὡς οὐκ ἀπείληφε τὸ χρυσίον, πρὶν ὑπὸ τούτου διαφθαρῆναι.
47 καίτοι εἰ καθ᾽ ἓν ἕκαστον οὕτως ἐδείκνυε Φορμίων, οὐκ οἶδ᾽ ὅπως ἂν ἄλλως ἄμεινον ἀπελογήσατο. ὑπὲρ δὲ τοῦ τὴν δίκην εἰσαγώγιμον [h] εἶναι ὁ νόμος αὐτὸς διαμαρτύρεται, κελεύων τὰς δίκας εἶναι τὰς ἐμπορικὰς τῶν συμβολαίων [i] τῶν Ἀθήνησι καὶ εἰς τὸ [k] Ἀθηναίων [l] ἐμπόριον, καὶ οὐ μόνον [m] τῶν Ἀθήνησιν, ἀλλὰ καὶ ὅσ᾽ ἂν γένηται ἕνεκα τοῦ πλοῦ τοῦ Ἀθήναζε. λαβὲ [n] δή μοι τοὺς νόμους.

ΝΟΜΟΙ.

48 Ὡς μὲν τοίνυν γέγονέ [o] μοι τὸ συμβόλαιον πρὸς Φορμίων᾽ Ἀθήνησιν, οὐδ᾽ αὐτοὶ ἔξαρνοί εἰσι, παραγράφονται δὲ [p] ὡς οὐκ εἰσαγώγιμον [q] τὴν δίκην οὖσαν. ἀλλ᾽ εἰς ποῖον δικαστήριον εἰσέλθωμεν, [r] ὦ ἄνδρες δικασταὶ, εἰ μὴ πρὸς 920 ὑμᾶς, οὗπερ τὸ συμβόλαιον ἐποιησάμεθα; δεινὸν γὰρ ἂν εἴη, εἰ μὲν ἕνεκα τοῦ πλοῦ τοῦ Ἀθήναζε [s] ἠδικούμην, εἶναί

[x] ἀποβάλωμεν] ἀπολάβωμεν F.Q. [y] βοηθήσαιτε] βοηθήσετε S. [z] Βοσπόρῳ r. Legebatur τῷ Βοσπόρῳ. [a] ἑτερόπλοα] ἑτερόπλοια A.B. [b] ὅτε] ὅτι F.Q. οὔτε S. [c] τῷ addidi ex A.S.r. [d] τὸν παῖδα παραλαβόντα] παραλαβόντα τὸν παῖδα F.Q. [e] Βοσπόρῳ] βοσπόρῳ οὔτε τὸν λάμπιν A.r.

[f] δὲ] δὲ (τ supra) F. [g] μαρτυρῶν om. S. [h] εἶναι om. r. [i] τῶν om. F.Q. [k] Ἀθηναίων] τῶν ἀθηναίων F. [l] ἐμπόριον] ἐμπόρειον S. et sic constanter infra per diphthongum. [m] τῶν om. F.Q. [n] δή om. A.r. [o] μοι om. Q. [p] ὡς om. F.Q. [q] τὴν δίκην post δὲ F.Q. post οὖσαν A.r. [r] ὦ om. S. [s] ἠδικούμην] ἠδικούμην τι A.r.

μοι παρ' ὑμῖν τὸ δίκαιον λαβεῖν παρὰ Φορμίωνος, ἐπειδὴ
δὲ τὸ συμβόλαιον ἐν τῷ [t] ὑμετέρῳ ἐμπορίῳ γέγονε, μὴ
49 φάσκειν [u] παρ' ὑμῖν τούτους ὑφέξειν τὴν δίκην. καὶ ὅτε
μὲν Θεοδότῳ τὴν δίαιταν ἐπετρέψαμεν, ὡμολόγησαν εἶ-
ναι καθ' αὑτῶν ἐμοὶ τὴν δίκην εἰσαγώγιμον· [x] νυνὶ δὲ [y] τοὐ-
ναντίον λέγουσιν ὧν πρότερον αὐτοὶ συγκεχωρήκασιν, ὡς
δέον παρὰ μὲν [z] τῷ Θεοδότῳ τῷ ἰσοτελεῖ ὑποσχεῖν αὐτοὺς
δίκην [a] ἄνευ παραγραφῆς, ἐπειδὴ δὲ εἰς τὸ Ἀθηναίων δι-
καστήριον εἰσερχόμεθα, μηκέτ' εἰσαγώγιμον [b] τὴν δίκην
50 εἶναι. ἐνθυμοῦμαι δ' ἔγωγε τί ἄν ποτε εἰς τὴν παραγραφὴν
ἔγραψεν, εἰ [c] ὁ Θεόδοτος ἀπέγνω τῆς δίκης, ὅπου νῦν
γνόντος τοῦ Θεοδότου ἀπιέναι ἡμᾶς εἰς τὸ δικαστήριον οὔ
[d] φησι τὴν δίκην εἶναι εἰσαγώγιμον παρ' ὑμῖν, πρὸς οὓς
ἐκεῖνος ἔγνω ἀπιέναι. πάθοιμι μέντἂν [e] τὰ δεινότατα, εἰ οἱ
μὲν νόμοι τῶν Ἀθήνησι συμβολαίων κελεύουσι τὰς δίκας
εἶναι πρὸς τοὺς θεσμοθέτας, ὑμεῖς δ' ἀπογνοίητε [f] τῆς δί-
κης ὀμωμοκότες κατὰ τοὺς νόμους ψηφιεῖσθαι.

51 Τοῦ μὲν οὖν δανεῖσαι ἡμᾶς τὰ χρήματα αἵ τε συν-
θῆκαι καὶ αὐτὸς οὗτός ἐστι μάρτυς· τοῦ δ' ἀποδεδωκέναι
οὐδείς ἐστι μάρτυς ἔξω τοῦ Λάμπιδος τοῦ συναδικοῦντος.
καὶ [g] οὗτος μὲν εἰς ἐκεῖνον μόνον ἀναφέρει τὴν [h] ἀπόδοσιν,
ἐγὼ δ' εἴς τε τὸν Λάμπιν αὐτὸν καὶ τοὺς ἀκούσαντας
52 αὐτοῦ ὅτι οὐκ ἔφη ἀπειληφέναι τὸ χρυσίον. τούτῳ μὲν
οὖν τοὺς [i] ἐμοὺς μάρτυρας ἔξεστι κρίνειν, εἰ μή φησι [k] τἀ-
ληθῆ μαρτυρεῖν αὐτούς· ἐγὼ δ' οὐκ ἔχω τί [l] χρήσωμαι 921
τοῖς τούτου μάρτυσιν, οἵ φασιν εἰδέναι τὸν Λάμπιν μαρ-
τυροῦντα ἀπειληφέναι τὸ χρυσίον. εἰ μὲν γὰρ ἡ μαρτυρία
ἡ τοῦ Λάμπιδος [m] κατεβάλλετο ἐνταῦθ', ἴσως ἂν ἔφασαν

[t] ὑμετέρῳ] ἡμετέρῳ S. [u] παρ' ὑμῖν τούτους] τούτους παρ' ὑμῖν F.Q. [x] νυνὶ] νῦν F.Q.r. [y] τοὐναντίον] τἀναντία A.r. [z] τῷ om. A.r. [a] ἄνευ] ἂν S. [b] τὴν δίκην εἶναι S. εἶναι τὴν δίκην vulgo. [c] ὁ om. A.r. [d] φησι] φασι A.r. [e] τὰ addidi ex S. [f] τῆς δίκης om. r. [g] οὗτος] αὐτὸς S. [h] ἀπόδοσιν] ἐπίδοσιν F. (ἀ ο superscr.) [i] ἐμοὺς] ἐμοῦ A.r. [k] τἀληθῆ] ἀληθῆ F.Q. [l] χρήσωμαι] χρήσομαι A.F.Q.r. [m] κατεβάλλετο] κατεβάλετο S.

[n]οὗτοι δίκαιον εἶναι ἐπισκήπτεσθαί μ' ἐκείνῳ· νῦν δ' οὔτε τὴν μαρτυρίαν ταύτην ἔχω, οὑτοσί τε οἴεται δεῖν ἀθῷος εἶναι οὐδὲν [o]βέβαιον [p]ἐνέχυρον καταλιπὼν ὧν πείθει ὑμᾶς
53 [q]ψηφίζεσθαι. πῶς δ' οὐκ ἂν εἴη ἄτοπον, [r]εἰ αὐτοῦ Φορμίωνος ὁμολογοῦντος δανείσασθαι, φάσκοντος δ' ἀποδεδωκέναι, τὸ μὲν ὁμολογούμενον [s]ὑπ' αὐτοῦ τούτου ἄκυρον [t]ποιήσετε, τὸ δ' ἀμφισβητούμενον κύριον [u]ψηφιεῖσθε; καὶ ὁ μὲν Λάμπις, ᾧ οὗτος σκήπτεται [x]μάρτυρι, ἔξαρνος γενόμενος τὸ ἐξ ἀρχῆς ὡς οὐκ ἀπείληφε τὸ χρυσίον, [y]νῦν τὰ ἐναντία μαρτυρεῖ· ὑμεῖς δὲ γνόντες ὡς [z]οὐκ [a]ἀπείληφ'
54 [b]ἐκεῖνος, οὐκ [c]ἐστὲ μάρτυρες τοῦ πράγματος; καὶ ὅσα μὲν εἶπε μετὰ τῆς ἀληθείας, μὴ [d]χρῆσθε [e]τεκμηρίῳ, ἃ δ' ἐψεύσατο τὸ ὕστερον, ἐπειδὴ διεφθάρη, πιστότερα ταῦθ' [f]ὑπολάβοιτε εἶναι; καὶ μήν, ὦ ἄνδρες Ἀθηναῖοι, πολὺ δικαιότερόν ἐστι τοῖς ἐξ ἀρχῆς [g]ῥηθεῖσι τεκμαίρεσθαι μᾶλλον ἢ τοῖς ὕστερον [h]τεκταινομένοις. τὰ μὲν γὰρ οὐκ ἐκ [i]παρασκευῆς, ἀλλ' ἐκ τῆς ἀληθείας ἔλεγε, τὰ δ' ὕστερον
55 ψευδόμενος καὶ πρὸς τὸ συμφέρον αὑτῷ. ἀναμνήσθητε δ', ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι οὐδ' αὐτὸς ὁ Λάμπις ἔξαρνος ἐγένετο ὡς οὐκ [k]εἴη εἰρηκὼς ὅτι οὐκ ἀπείληφε τὸ χρυσίον, ἀλλ' εἰπεῖν μὲν ὡμολόγει, οὐ μέντοι γ' ἐντὸς ὢν αὑτοῦ εἰπεῖν. οὐκ οὖν ἄτοπον, εἰ τῆς ἐκείνου μαρτυρίας τὸ μὲν πρὸς τοῦ ἀποστεροῦντος πιστῶς ἀκούσεσθε, τὸ δ' ὑπὲρ 922
56 τῶν ἀποστερουμένων ἄπιστον [l]ἔσται παρ' ὑμῖν; μηδαμῶς, ὦ ἄνδρες δικασταί. ὑμεῖς γάρ ἐστε οἱ αὐτοὶ οἱ τὸν [m]ἐπι-

[n] οὗτοι] αὐτοὶ F.Q. [o] βέβαιον om. A.r. [p] ἐνέχυρον] ἐχυρὸν A.r. [q] ψηφίζεσθαι S. Legebatur ψηφίσασθαι. [r] εἰ om. A.r. [s] ὑπ'] ἀπ' A.r. [t] ποιήσετε] ποιήσαιτε A.r. et pr. S. [u] ψηφιεῖσθε] ψηφίσαισθε A.r. ψηφίσησθε Q. [x] μάρτυρι] μαρτυρεῖ F.Q. et pr. A. [y] νῦν τὰ ἐναντία μαρτυρεῖ om. F.S.Q. [z] οὐκ om. F.Q. [a] ἀπείληφ'] ἀπείληφεν A. [b] ἐκεῖνος] ἐκεῖνος ᾧ F.S.Q. [c] ἐστὲ] εἰσί τε S. quod ex εἴητε corruptum videtur, quæ scriptura annotata est in marg. ed. Paris. [d] χρῆσθε] χρῆσθαι pr. S. [e] τεκμηρίῳ] ἐν τεκμηρίῳ F.Q. [f] ὑπολάβοιτε] ὑπολαμβάνοιτε A.r. et margo S. a m. rec. [g] ῥηθεῖσι] λεχθεῖσι A.r. [h] τεκταινομένοις] μετακινουμένοις A.r. [i] παρασκευῆς] παιδεύσεως F.Q. [k] εἴη om. A.r. [l] ἔσται] εἶναι S. [m] ἐπιδεδανεισμένον] ἐπιδανεισάμενον A.r.

δεδανεισμένον ἐκ τοῦ ἐμπορίου πολλὰ χρήματα καὶ τοῖς δανεισταῖς οὐ παρασχόντα τὰς ὑποθήκας θανάτῳ ζημιώσαντες εἰσαγγελθέντα ἐν τῷ δήμῳ, καὶ ταῦτα πολίτην

57 ὑμέτερον ὄντα καὶ πατρὸς ἐστρατηγηκότος. ἡγεῖσθε γὰρ τοὺς τοιούτους οὐ μόνον τοὺς ἐντυγχάνοντας ἀδικεῖν, ἀλλὰ καὶ κοινῇ βλάπτειν τὸ ἐμπόριον ὑμῶν, εἰκότως. αἱ γὰρ [n] εὐπορίαι τοῖς ἐργαζομένοις οὐκ ἀπὸ τῶν δανειζομένων, ἀλλ᾽ ἀπὸ τῶν δανειζόντων εἰσὶ, καὶ οὔτε ναῦν οὔτε ναύκληρον οὔτ᾽ ἐπιβάτην ἔστ᾽ ἀναχθῆναι, τὸ τῶν δανειζόντων

58 μέρος ἂν [o] ἀφαιρῆτε. ἐν μὲν οὖν τοῖς νόμοις πολλαὶ καὶ καλαὶ βοήθειαί εἰσιν [p] αὐτοῖς· ὑμᾶς δὲ δεῖ [q] συνεπανορθοῦντας φαίνεσθαι καὶ μὴ [r] συγχωροῦντας τοῖς πονηροῖς, ἵν᾽ ὑμῖν ὡς πλείστη [s] ὠφέλεια [t] παρὰ τὸ ἐμπόριον ᾖ. ἔσται δ᾽, ἐὰν [u] διαφυλάττητε τοὺς τὰ ἑαυτῶν προϊεμένους, καὶ μὴ ἐπιτρέπητε ἀδικεῖσθαι ὑπὸ [x] τῶν τοιούτων θηρίων.

Ἐγὼ μὲν οὖν, ὅσαπερ οἷός τ᾽ [y] ἦν, εἴρηκα. καλῶ δὲ καὶ ἄλλον τινὰ τῶν φίλων, ἐὰν κελεύητε [z].

ΛΕ.

ΠΡΟΣ ΤΗΝ ΛΑΚΡΙΤΟΥ ΠΑΡΑΓΡΑΦΗΝ.

ΥΠΟΘΕΣΙΣ.

Ἀνδροκλῆς δανείσας χρήματα Ἀρτέμωνι Φασηλίτῃ τὸ γένος, ἐμπόρῳ, τελευτήσαντος ἐκείνου πρὶν ἀποδοῦναι τὸ ἀργύριον, εἰσπράττει τὸν ἀδελφὸν αὐτοῦ Λάκριτον τὸν σοφιστὴν, δύο προβαλλόμενος δίκαια, ὅτι τε παρόντος Λακρίτου καὶ ἀναδεξαμένου τὸ ἀργύριον ἐδάνεισε τῷ Ἀρτέμωνι, καὶ ὅτι κληρονό- 923

[n] εὐπορίαι] εμπορειαι S. ἐμπορίαι F.Q. [o] ἀφαιρῆτε S. Legebatur ἀφαιρεθῇ. [p] αὐτοῖς] αὑτοῖς S. [q] συνεπανορθοῦντας] τοὺς ἐπανορθοῦντας F.Q. [r] συγχωροῦντας τοῖς πονηροῖς] τοῖς πονηροῖς συγχωροῦντας A.r. [s] ὠφέλεια] εὐπορία A.r. [t] παρὰ] περὶ A.S.Q.r. [u] διαφυλάττητε] φυλάττητε F.Q. [x] τῶν om. A.r. [y] ἦν] ἦν εἰπεῖν r. [z] In B. subscriptum πρὸς φορμίωνα ὑπὲρ δανείου. In S. ὑπὲρ χρυσίππου πρὸς τὴν φορμίωνος παραγραφή.

μος ἐστὶ τῶν Ἀρτέμωνος Λάκριτος. ὁ δὲ τῆς μὲν κληρονομίας ἀφίστασθαί φησι, παραγράφεται δὲ τὴν δίκην, λέγων μηδὲν ἑαυτῷ πρὸς Ἀνδροκλέα συμβόλαιον εἶναι μηδὲ συγγραφὴν μηδεμίαν. πάντως δὲ καὶ τὸ [a] ἀναδεδέχθαι ἔξαρνος γίνεται· οὐδὲ γὰρ ἂν τοῦτο ὁμολογῶν ἠγνωμόνει πρὸς τὴν ἔκτισιν.

Οὐκ ὀρθῶς δέ τινες ἐνόμισαν τὸν λόγον μὴ γνήσιον εἶναι, ἀμυδροῖς ἀπατηθέντες τεκμηρίοις. τὸ μὲν γὰρ τῆς φράσεως ἀνειμένον οὐκ ἀπρεπὲς ἰδιωτικοῖς ἀγῶσι, τὸν δὲ Δία τὸν [b] ἄνακτα κατὰ τὴν τοῦ προσώπου [c] τοῦ ὑποκειμένου συνήθειαν δῆλός ἐστιν ὠνομακώς, πρὸς δὲ τὴν παραγραφὴν ἀσθενέστερον ἀπήντηκε διὰ τὸ πρᾶγμα τὸ πονηρόν.

ΟΥΔΕΝ καινὸν διαπράττονται [d] οἱ Φασηλῖται, ὦ ἄνδρες δικασταί, ἀλλ᾽ ἅπερ εἰώθασιν. οὗτοι γὰρ δεινότατοι μέν εἰσι δανείσασθαι χρήματ᾽ ἐν τῷ [e] ἐμπορίῳ, ἐπειδὰν δὲ λάβωσι καὶ συγγραφὴν συγγράψωνται ναυτικήν, εὐθὺς ἐπελάθοντο καὶ τῶν συγγραφῶν καὶ τῶν νόμων καὶ ὅτι
2 δεῖ [f] ἀποδοῦναι αὐτοὺς ἃ ἔλαβον, καὶ οἴονται, ἐὰν ἀποδῶσιν, ὥσπερ τῶν ἰδίων τι τῶν ἑαυτῶν [g] ἀπολωλεκέναι, 924
ἀλλ᾽ ἀντὶ τοῦ ἀποδοῦναι σοφίσματα εὑρίσκουσι καὶ παραγραφὰς καὶ προφάσεις, καὶ εἰσὶ πονηρότατοι ἀνθρώπων καὶ ἀδικώτατοι. τεκμήριον δὲ τούτου· πολλῶν γὰρ ἀφικνουμένων εἰς τὸ ὑμέτερον ἐμπόριον καὶ Ἑλλήνων καὶ βαρβάρων, πλείους δίκαι εἰσὶν ἑκάστοτε αὐτῶν τῶν Φασηλιτῶν ἢ τῶν ἄλλων ἁπάντων. οὗτοι μὲν οὖν τοιοῦτοί εἰσιν.
3 ἐγὼ [h] δ᾽, ὦ ἄνδρες δικασταί, χρήματα δανείσας Ἀρτέμωνι τῷ τούτου ἀδελφῷ κατὰ τοὺς ἐμπορικοὺς νόμους, εἰς τὸν Πόντον καὶ πάλιν Ἀθήναζε, τελευτήσαντος [i] ἐκείνου [j] πρὶν ἀποδοῦναί μοι τὰ χρήματα, Λακρίτῳ [k] τούτῳ εἴληχα τὴν δίκην ταύτην κατὰ τοὺς αὐτοὺς νόμους τούτους, καθ᾽
4 οὕσπερ τὸ συμβόλαιον ἐποιησάμην, ἀδελφῷ ὄντι τούτῳ ἐκείνου καὶ ἔχοντι [l] ἅπαντα τὰ Ἀρτέμωνος, καὶ ὅσ᾽ ἐνθάδε

[a] ἀναδεδέχθαι F. ἀναδέχεσθαι vulgo. [b] ἄνακτα] ἄτακτα F. V. p. 937, 22. [c] τοῦ om. F. [d] οἱ Φασηλῖται, ὦ ἄνδρες δικασταὶ] ὦ οἱ φασηλῖται A. (δ supra ω) ὦ ἄνδρες οἱ φασηλῖται r. [e] ἐμπορίῳ] Per diphthongum in hac quoque oratione constanter S. [f] ἀποδοῦναι αὐτοὺς] αὐτοὺς ἀποδοῦναι A.r. [g] ἀπολωλεκέναι] ἀποδεδωκέναι F.S.Q. [h] δ᾽] μὲν δε S. [i] ἐκείνου] δ᾽ ἐκείνου B.Q. [j] πρὶν] Legebatur πρὶν ἤ. Simplex πρὶν legisse videtur scriptor argumenti p. 922 extr. [k] τούτῳ om. r. [l] ἅπαντα S. Legebatur πάντα.

[m]κατέλιπε καὶ ὅσα ἦν αὐτῷ ἐν τῇ [n]Φασήλιδι, [o]καὶ κλη-
ρονόμῳ ὄντι τῶν ἐκείνου ἁπάντων, καὶ οὐκ ἂν ἔχοντος τού-
του δεῖξαι νόμον, ὅστις αὐτῷ δίδωσιν ἐξουσίαν ἔχειν μὲν
[p]τὰ τοῦ ἀδελφοῦ καὶ διῳκηκέναι ὅπως ἐδόκει αὐτῷ, μὴ
[q]ἀποδοῦναι δὲ [r]τἀλλότρια χρήματα, ἀλλὰ λέγειν [s]νῦν ὅτι
5 οὐκ ἔστι κληρονόμος, ἀλλ' ἀφίσταται τῶν ἐκείνου. ἡ μὲν
[t]τουτουὶ Λακρίτου [u]πονηρία τοιαύτη ἐστίν· ἐγὼ δ' ὑμῶν
δέομαι, ὦ ἄνδρες δικασταὶ, εὐνοϊκῶς ἀκοῦσαί μου περὶ
τοῦ πράγματος [x]τουτουί· κἂν [y]ἐξελέγξω αὐτὸν ἀδικοῦντα
ἡμᾶς [z]τε τοὺς δανείσαντας καὶ ὑμᾶς οὐδὲν ἧττον, βοηθεῖτε
ἡμῖν τὰ δίκαια.
6 Ἐγὼ γὰρ, ὦ ἄνδρες δικασταὶ, [a]αὐτὸς μὲν οὐδ' ὁπωσ-
τιοῦν ἐγνώριζον τοὺς ἀνθρώπους τούτους· Θρασυμήδης δ' 925
ὁ Διοφάντου υἱὸς, ἐκείνου τοῦ Σφηττίου, καὶ Μελάνωπος
ὁ ἀδελφὸς αὐτοῦ ἐπιτήδειοί μοί εἰσι, καὶ [b]χρώμεθ' ἀλλή-
λοις ὡς οἷόν τε μάλιστα. οὗτοι προσῆλθόν μοι μετὰ Λα-
κρίτου τουτουὶ, ὁπόθεν [c]δήποτε [d]ἐγνωρισμένοι τούτῳ (οὐ
7 γὰρ οἶδα), καὶ ἐδέοντό μου δανεῖσαι χρήματ' εἰς τὸν Πόν-
τον Ἀρτέμωνι τῷ τούτου ἀδελφῷ καὶ Ἀπολλοδώρῳ, ὅπως
[e]ἂν [f]ἐνεργοὶ ὦσιν, οὐδὲν εἰδὼς, ὦ ἄνδρες δικασταὶ, [g]οὐδ'
ὁ Θρασυμήδης τὴν τούτων πονηρίαν, ἀλλ' οἰόμενος εἶναι
ἐπιεικεῖς ἀνθρώπους καὶ οἷοίπερ προσεποιοῦντο καὶ ἔφασαν
εἶναι, καὶ ἡγούμενος [h]ποιήσειν αὐτοὺς πάντα [i]ὅσαπερ [k]ὑπι-
8 σχνεῖτο καὶ ἀνεδέχετο Λάκριτος οὑτοσί. πλεῖστον δ' [l]ἄρ'
ἦν ἐψευσμένος, καὶ οὐδὲν ᾔδει οἵοις θηρίοις ἐπλησίαζε τοῖς
ἀνθρώποις τούτοις. κἀγὼ πεισθεὶς ὑπὸ τοῦ Θρασυμήδους

[m] κατέλιπε] κατέλειπεν S. [n] Φασήλιδι] φασηλίδι A.r. Proparoxytonum probavit Herodianus ap. Steph. Byz. s. v. Φάσηλις. [o] καὶ om. A.r. [p] τὰ τοῦ ἀδελφοῦ] τἀδελφοῦ r., non A. [q] ἀποδοῦναι] ἀποδιδόναι A.r. [r] τἀλλότρια] τὰ ἀλλότρια S. [s] νῦν ὅτι] ὅτι νῦν A.r. [t] τουτουὶ] τούτου καὶ S. [u] πονηρία] πολιτεία r. [x] τουτουί] τούτου A.r. [y] ἐξελέγξω] ἐλέγξω A.r. [z] τε om. A. [a] αὐτὸς μὲν om. F.Q. [b] χρώμεθ'] ἐχρώμεθ' A.r. [c] δήποτε] δήποθεν F.Q. [d] ἐγνωρισμένοι] ἐγνωσμένοι A.r. [e] ἂν addidi ex A.S.r. [f] ἐνεργοὶ] εὐεργοὶ A.r. [g] οὐδ'] οὔτε S. [h] ποιήσειν αὐτοὺς] αὐτοὺς ποιήσειν F.Q. [i] ὅσαπερ] ὅσα A.r. [k] ὑπισχνεῖτο] ὑπισχνοῦντο A.r. [l] ἄρ' ἦν] ἦν ἄρα F.Q.

καὶ τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ Λακρίτου τουτουὶ ἀναδεχο-
μένου μοι [m] πάντ᾽ ἔσεσθαι τὰ δίκαια παρὰ τῶν ἀδελφῶν
τῶν αὑτοῦ, ἐδάνεισα μετὰ ξένου τινὸς [n] ἡμετέρου Καρυστίου
9 τριάκοντα μνᾶς ἀργυρίου. βούλομαι [o] οὖν, ὦ ἄνδρες δι-
κασταί, τῆς συγγραφῆς ἀκοῦσαι ὑμᾶς πρῶτον, καθ᾽ ἣν
ἐδανεισάμεν τὰ χρήματα, καὶ τῶν μαρτύρων τῶν παρα-
γενομένων τῷ δανείσματι· [p] ἔπειτα περὶ τῶν ἄλλων ἐπι-
δείξομεν, οἷα ἐτοιχωρύχησαν οὗτοι περὶ τὸ δάνειον. λέγε
τὴν συγγραφήν, [q] εἶτα τὰς μαρτυρίας.

[r] ΣΥΓΓΡΑΦΗ.

10 Ἐδάνεισαν Ἀνδροκλῆς Σφήττιος καὶ [s] Ναυσικράτης Καρύστιος
Ἀρτέμωνι καὶ Ἀπολλοδώρῳ Φασηλίταις [t] δραχμὰς [u] ἀργυρίου
τρισχιλίας Ἀθήνηθεν εἰς Μένδην ἢ Σκιώνην, καὶ ἐντεῦθεν εἰς Βοσ- 926
πορον, ἐὰν δὲ βούλωνται, τῆς ἐπ᾽ [x] ἀριστερὰ μέχρι Βορυσθένους
καὶ πάλιν Ἀθήναζε, ἐπὶ διακοσίαις εἴκοσι πέντε τὰς χιλίας, ἐὰν
δὲ μετ᾽ Ἀρκτοῦρον ἐκπλεύσωσιν ἐκ τοῦ Πόντου ἐφ᾽ Ἱερόν, ἐπὶ τρι-
11 ακοσίαις τὰς [y] χιλίας, ἐπὶ οἴνου κεραμίοις Μενδαίοις τρισχιλίοις,
ὃς [z] πλεύσεται ἐκ Μένδης ἢ Σκιώνης ἐν τῇ εἰκοσόρῳ, ἣν Ὑβλήσιος
[a] ναυκληρεῖ. ὑποτιθέασι δὲ ταῦτα, οὐκ ὀφείλοντες [b] ἐπὶ τούτοις
ἄλλῳ οὐδενὶ οὐδὲν ἀργύριον, οὐδ᾽ ἐπιδανείσονται. καὶ ἀπάξουσι
[c] τὰ χρήματα [d] τὰ [e] ἐκ τοῦ [f] Πόντου ἀντιφορτισθέντα [g] Ἀθήναζε
πάλιν ἐν τῷ αὐτῷ πλοίῳ ἅπαντα. σωθέντων δὲ τῶν χρημάτων
Ἀθήναζε ἀποδώσουσιν οἱ δανεισάμενοι τοῖς δανείσασι τὸ γιγνό-
μενον ἀργύριον κατὰ τὴν συγγραφὴν ἡμερῶν εἴκοσιν, ἀφ᾽ ἧς ἂν
12 ἔλθωσιν Ἀθήναζε, ἐντελὲς πλὴν ἐκβολῆς, [h] ἣν ἂν οἱ [i] σύμπλοι ψη-
φισάμενοι κοινῇ ἐκβάλωνται, καὶ ἄν τι πολεμίοις ἀποτίσωσιν· τῶν
[k] δ᾽ ἄλλων ἁπάντων ἐντελές. καὶ παρέξουσι τοῖς δανείσασι τὴν

[m] πάντ᾽] ἅπαντα A.r. [n] ἡμετέρου om. A.r. [o] οὖν] δ᾽ A.r. [p] ἔπειτα] ἔπειτα καὶ F.Q. [q] εἶτα S. Legebatur ἔπειτα. [r] Syngraphen et testimonia omnia om. S., in quo lemma hic est μάρτυρες. [s] Ναυσικράτης] ναυκράτης F.Q. hic et infra constanter. [t] δραχμὰς post τρισχιλίας F.Q.
[u] ἀργυρίου] ἀργυρίου̍ F. [x] ἀριστερὰ] ἀριστερᾶ r. [y] χιλίας A r. τρισχιλίας F.Q. [z] πλεύσεται A.r. Scribebatur πλευσεῖται. [a] ναυκληρεῖ] ἐναυκλήρει in altero syngraphes exemplo p. 937. F.Q. [b] ἐπὶ τούτοις ἄλλῳ οὐδενὶ] ἄλλῳ οὐδενὶ ἐπὶ τούτοις F.Q. infra. [c] τὰ infra om. F. [d] τὰ om. A. [e] ἐκ om. r. et infra Q. [f] Πόντου ἀντιφορτισθέντα] οἴνου ἀντιφροντισθέντα F.Q. [g] ἀθήναζε πάλιν A.r. Legebatur πάλιν Ἀθήναζε. [h] ἣν] ἧς A.r. [i] σύμπλοι ψηφισάμενοι κοινῇ ἐκβάλωνται] σύμπλοοι κοινῇ ψηφισάμενοι βάλωνται A.r. [k] δ᾽ om. F.Q.

ὑποθήκην ἀνέπαφον [l] κρατεῖν, ἕως ἂν ἀποδῶσι τὸ γιγνόμενον ἀρ-
13 γύριον κατὰ τὴν συγγραφήν. ἐὰν δὲ μὴ ἀποδῶσιν [m] ἐν τῷ συγκει-
μένῳ χρόνῳ, τὰ ὑποκείμενα τοῖς δανείσασιν ἐξέστω ὑποθεῖναι καὶ
ἀποδόσθαι τῆς ὑπαρχούσης τιμῆς· καὶ ἐάν τι ἐλλείπῃ τοῦ ἀργυ-
ρίου, [n] ὃ δεῖ [o] γενέσθαι τοῖς δανείσασι κατὰ τὴν συγγραφὴν, [p] κατὰ
Ἀρτέμωνος καὶ Ἀπολλοδώρου ἔστω [q] ἡ πρᾶξις τοῖς δανείσασι καὶ
ἐκ τῶν τούτων ἁπάντων, καὶ ἐγγείων καὶ ναυτικῶν, πανταχοῦ
ὅπου ἂν ὦσι, [r] καθάπερ δίκην ὠφληκότων καὶ ὑπερημέρων ὄντων, 927
14 καὶ ἑνὶ ἑκατέρῳ τῶν δανεισάντων καὶ ἀμφοτέροις. ἐὰν δὲ μὴ [s] εἰσ-
βάλωσι, μείναντες [t] ἐπὶ κυνὶ ἡμέρας δέκα ἐν Ἑλλησπόντῳ, ἐξελό-
μενοι ὅπου ἂν μὴ [u] σῦλαι ὦσιν Ἀθηναίοις, καὶ ἐντεῦθεν καταπλεύ-
σαντες Ἀθήναζε τοὺς τόκους ἀποδόντων [x] τοὺς πέρυσι γραφέντας
εἰς τὴν συγγραφήν. ἐὰν [y] δέ τι ἡ ναῦς πάθῃ ἀνήκεστον, ἐν ᾗ ἂν
πλέῃ τὰ χρήματα, σωτηρία [z] ἔστω τῶν ὑποκειμένων· τὰ [a] δὲ πε-
ριγενόμενα κοινὰ ἔστω τοῖς δανείσασιν. κυριώτερον δὲ περὶ τούτων
ἄλλο μηδὲν εἶναι τῆς συγγραφῆς.

[b] Μάρτυρες Φορμίων Πειραιεὺς, [c] Κηφισόδωρος Βοιώτιος, Ἡλιό-
δωρος Πιτθεύς.

15 [d] λέγε δὴ καὶ τὰς μαρτυρίας.

ΜΑΡΤΥΡΙΑΙ.

Ἀρχενομίδης Ἀρχεδάμαντος Ἀναγυράσιος μαρτυρεῖ συνθήκας
παρ' [e] ἑαυτῷ καταθέσθαι Ἀνδροκλέα Σφήττιον, Ναυσικράτην Κα-
ρύστιον, Ἀρτέμωνα, Ἀπολλόδωρον Φασηλίτας, καὶ εἶναι παρ'
ἑαυτῷ ἔτι κειμένην τὴν συγγραφήν.

16 λέγε δὴ καὶ τὴν τῶν παραγενομένων μαρτυρίαν.

ΜΑΡΤΥΡΙΑ.

Θεόδοτος [f] ἰσοτελὴς, Χαρῖνος Ἐπιχάρους Λευκονοεὺς, Φορμίων
[g] Κηφισοφῶντος Πειραιεὺς, Κηφισόδωρος Βοιώτιος, [h] Ἡλιόδωρος
Πιτθεὺς μαρτυροῦσι παρεῖναι, ὅτ' ἐδάνεισεν Ἀνδροκλῆς Ἀπολλο-

[l] κρατεῖν om. F.Q. [m] ἐν om. A.r. [n] ὃ] οὗ A. οὐ r. (παρὰ) [o] γενέσθαι] γίνεσθαι A.r. [p] κατὰ Ἀρτ.] παρὰ ἀρτ. A.r. κατὰ F. infra. [q] ἡ om. A.r. [r] καθάπερ] καὶ καθάπερ F.Q. infra. [s] εἰσβάλωσι] ἐσβάλωσι A. βάλωσι r. ἐκβάλωσι F.Q. infra. [t] ἐπὶ] τὴν ἐπὶ F.Q. infra. [u] σῦλαι] σῦλα A.r. σῦλαι est ap. Harpocr. s. v. Σύλας. [x] τοὺς] τοῦ r. [y] δέ om. Q. [z] ἔστω] δ' ἔσται A.r. [a] δὲ om. A.r. [b] Μάρτυρες—μαρτυρίας om. A.r. [c] κηφισόδωρος F.Q. infra. Legebatur Κηφισόδοτος. [d] λέγε—μαρτυρίας et mox λέγε δὴ—μαρτυρίαν] Hæc quoque verba om. S. [e] ἑαυτῷ] ἑαυτὸν F.Q. [f] ἰσοτελὴς] ἰσοτέλης A.r. [g] Κηφισοφῶντος] ὁ κηφισοφῶντος F. [h] Ἡλιόδωρος Πιτθεὺς om. F.Q.

δώρῳ καὶ Ἀρτέμωνι ἀργυρίου τρισχιλίας δραχμάς, καὶ εἰδέναι τὴν συγγραφὴν καταθεμένους παρὰ Ἀρχενομίδῃ Ἀναγυρασίῳ.

17 Κατὰ τὴν συγγραφὴν ταύτην, ὦ ἄνδρες δικασταί, ἐδάνεισα τὰ χρήματα Ἀρτέμωνι τῷ τούτου ἀδελφῷ, κελεύοντος τούτου καὶ ἀναδεχομένου [i] ἅπαντ' ἔσεσθαί μοι 928 τὰ δίκαια κατὰ τὴν συγγραφήν, καθ' ἣν ἐδάνεισα τούτου αὐτοῦ γράφοντος καὶ [k] συσσημηναμένου, ἐπειδὴ ἐγράφη. οἱ μὲν γὰρ ἀδελφοὶ οἱ τούτου [l] ἔτι νεώτεροι ἦσαν [m] καὶ
18 μειράκια παντάπασιν, οὑτοσὶ δὲ Λάκριτος Φασηλίτης, μέγα πρᾶγμα, Ἰσοκράτους μαθητής· οὗτος ἦν ὁ πάντα διοικῶν, καὶ ἑαυτῷ [n] με [o] τὸν νοῦν προσέχειν ἐκέλευεν· αὐτὸς γὰρ ἔφη ποιήσειν μοι τὰ δίκαια [p] ἅπαντα καὶ ἐπιδημήσειν [q] Ἀθήνησι, τὸν [r] δ' ἀδελφὸν [s] ἑαυτοῦ Ἀρτέμωνα [t] πλεύσεσθαι ἐπὶ τοῖς χρήμασι. καὶ τότε μέν, ὦ ἄνδρες δικασταί, ὅτ' ἐβούλετο τὰ χρήματα λαβεῖν παρ' ἡμῶν, καὶ ἀδελφὸς ἔφη εἶναι καὶ κοινωνὸς τοῦ Ἀρτέμωνος, καὶ
19 λόγους θαυμασίως [u] ὡς πιθανοὺς ἔλεγεν· ἐπειδὴ δὲ τάχιστα ἐγκρατεῖς ἐγένοντο τοῦ ἀργυρίου, τοῦτο μὲν διενείμαντο καὶ ἐχρῶντο ὅ τι ἐδόκει τούτοις, κατὰ δὲ τὴν συγγραφὴν τὴν ναυτικήν, καθ' ἣν ἔλαβον τὰ χρήματα, οὔτε μέγα οὔτε μικρὸν ἔπραττον, ὡς αὐτὸ τὸ ἔργον ἐδήλωσεν. οὑτοσὶ δὲ Λάκριτος ἁπάντων ἦν τούτων ὁ ἐξηγητής. καθ' ἕκαστον δὲ τῶν γεγραμμένων ἐν τῇ συγγραφῇ ἐπιδείξω τούτους οὐδ' ὁτιοῦν πεποιηκότας ὑγιές.

20 Πρῶτον μὲν γὰρ γέγραπται ὅτι ἐπ' οἴνου κεραμίοις τρισχιλίοις [x] ἐδανείζοντο παρ' ἡμῶν τὰς τριάκοντα μνᾶς, ὡς ὑπαρχούσης αὐτοῖς ὑποθήκης ἑτέρων τριάκοντα μνῶν, ὥστ' εἰς τάλαντον ἀργυρίου τὴν τιμὴν εἶναι τοῦ οἴνου κα-

[i] ἅπαντ'] πάντα F.Q. [k] συσσημηναμένου] συνσημηναμένου S. [l] ἔτι om. A.r. [m] καὶ μειράκια παντάπασιν A.S.r. μειράκια κομιδῇ vulgo. [n] με] μὲν pr. S. [o] τὸν νοῦν προσέχειν] προσέχειν τὸν νοῦν A.r. [p] ἅπαντα] πάντα A.r. [q] Ἀθήνησι] ἀθήναζε F.Q. [r] δ' om. F.Q. [s] ἑαυτοῦ S. Legebatur τὸν αὐτοῦ. [t] πλεύσεσθαι] Scribebatur πλευσεῖσθαι. [u] ὡς om. A.F.Q.r. [x] ἐδανείζοντο] ἐδανείσαντο A.r. ἐδανείζετο F.Q.

θισταμένην, σὺν τοῖς ἀναλώμασιν, [y]ὅσα ἔδει ἀναλίσκεσθαι εἰς τὴν κατασκευὴν τὴν περὶ τὸν οἶνον· τὰ δὲ τρισχίλια [z]κεράμια ἄγεσθαι ταῦτα εἰς τὸν Πόντον ἐν τῇ εἰκοσόρῳ, 929
21 ἣν Ὑβλήσιος ἐναυκλήρει. γέγραπται μὲν ταῦτα ἐν τῇ συγγραφῇ, ὦ ἄνδρες δικασταί, ἧς ὑμεῖς ἀκηκόατε· οὗτοι δ' ἀντὶ τῶν τρισχιλίων κεραμίων οὐδὲ πεντακόσια κεράμια [a]εἰς τὸ πλοῖον ἐνέθεντο, ἀλλ' ἀντὶ τοῦ ἠγοράσθαι αὐτοῖς τὸν οἶνον, ὅσον [b]προσῆκε, τοῖς χρήμασιν ἐχρῶντο [c]ὅ τι ἐδόκει τούτοις, τὰ δὲ κεράμια τὰ τρισχίλια οὐδ' ἐμέλλησαν οὐδὲ διενοήθησαν ἐνθέσθαι [d]εἰς τὸ πλοῖον κατὰ τὴν
22 συγγραφήν. ὅτι δ' ἀληθῆ [e]ταῦτα λέγω, λαβὲ τὴν μαρτυρίαν τῶν συμπλεόντων ἐν τῷ αὐτῷ πλοίῳ τούτοις.

[f]ΜΑΡΤΥΡΙΑ.

Ἐρασικλῆς μαρτυρεῖ κυβερνᾶν τὴν ναῦν ἣν Ὑβλήσιος ἐναυκλήρει, καὶ εἰδέναι Ἀπολλόδωρον ἀγόμενον [g]ἐν τῷ πλοίῳ οἴνου Μενδαίου κεράμια τετρακόσια πεντήκοντα, καὶ οὐ πλείω· ἄλλο δὲ μηδὲν ἀγώγιμον ἄγεσθαι ἐν τῷ πλοίῳ Ἀπολλόδωρον εἰς τὸν Πόντον.

23 [h]Ἱππίας Ἀθηνίππου [i]Ἁλικαρνασσεὺς μαρτυρεῖ συμπλεῖν ἐν τῇ Ὑβλησίου νηὶ [k]διοπεύων τὴν ναῦν, καὶ εἰδέναι Ἀπολλόδωρον τὸν Φασηλίτην ἀγόμενον ἐν τῷ πλοίῳ ἐκ Μένδης εἰς τὸν Πόντον οἴνου Μενδαίου κεράμια τετρακόσια πεντήκοντα, ἄλλο δὲ μηδὲν φορτίον.

Πρὸς τοῖσδ' ἐξεμαρτύρησεν [l]Ἀρχιάδης Μνησωνίδου Ἀχαρνεύς, Σώστρατος Φιλίππου Ἱστιαιόθεν, [m]Εὐμάριχος [n]Εὐβοίου Ἱστιαιό-

[y] ὅσα] οἷς A.r. [z] κεράμια ἄγεσθαι ταῦτα A.S.r. Legebatur ταῦτα κεράμια ἄγεσθαι. [a] εἰς τὸ πλοῖον ἐνέθεντο] ἐνέθεντο εἰς τὸ πλοῖον A.r. [b] προσῆκε] προσήκει F.Q. [c] ὅ τι] ὅσον F.Q. [d] εἰς om. r. [e] ταῦτα λέγω S. λέγω ταῦτα vulgo. [f] Testimonia om. S. [g] ἐν τῷ πλοίῳ om. F.Q. [h] Ἱππίας] ἱππασίας A.r. [i] Ἁλικαρνασσεὺς] ἁλικαρνασεὺς A. [k] διοπεύων] Legebatur διοπτεύων hic et p. 934, 22., quod collatis grammaticorum locis correxi in Thesauro vol. 2. p. 1528. Idem codicum vitium est ap. Harpocr. s. h. v., cui διοπεύων restituit Toupius Emend. vol. 3. p. 454. [l] Ἀρχιάδης Reiskius in indice. Legebatur Ἀρχάδης. ἀχράδης F.Q. ἀχράνδης A.r. [m] Εὐμάριχος Εὐβοίου Ἱστιαιόθεν addidi ex A.r. Εὐμάριχος restituit L. Dindorfius in Thesauro vol. 3. p. 2342. εὐμάχιρος A. εὔμαχος r. Similiter testis nomen Ἔνδιος Ἐπιγένους Λαμπτρεὺς vulgo omissum ex uno suppletum codice est p. 1104, 1. [n] Εὐβοίου] εὐβοΐου A. Frequens in inscriptionibus Atticis nomen est Εὔβιος. Εὔβοιος vero Parius memoratur ab Athenæo.

θεν, [o] Φιλτιάδης Κτησίου [p] Ξυπεταιὼν, Διονύσιος [q] Δημοκρατίδου [r] Χολλείδης.

24 Περὶ μὲν [s] οὖν τοῦ πλήθους τοῦ οἴνου, ὅσον [t] ἔδει αὐτοὺς
ἐνθέσθαι εἰς τὸ πλοῖον, ταῦτα διεπράξαντο. [u] καὶ ἤρξαντο
εὐθὺς ἐντεῦθεν ἀπὸ τοῦ πρώτου γεγραμμένου παραβαίνειν 930
καὶ μὴ ποιεῖν τὰ γεγραμμένα. μετὰ δὲ ταῦτ' ἔστιν ἐν
τῇ συγγραφῇ ὅτι ὑποτιθέασι ταῦτ' ἐλεύθερα καὶ οὐδενὶ
οὐδὲν ὀφείλοντες, καὶ [x] ὅτι [y] οὐδ' ἐπιδανείσονται ἐπὶ τούτοις
25 παρ' οὐδενός. ταῦτα διαρρήδην γέγραπται, ὦ ἄνδρες δι-
κασταί. οὗτοι δὲ τί ἐποίησαν; ἀμελήσαντες τῶν [z] γεγραμ-
μένων ἐν τῇ συγγραφῇ δανείζονται παρά τινος νεανίσκου,
ἐξαπατήσαντες ὡς οὐδενὶ οὐδὲν ὀφείλοντες· καὶ ἡμᾶς [a] τε
[b] παρεκρούσαντο καὶ ἔλαθον δανεισάμενοι ἐπὶ τοῖς ἡμετέ-
ροις, ἐκεῖνόν τε τὸν νεανίσκον τὸν δανείσαντα ἐξηπάτησαν
26 [c] ὡς ἐπ' ἐλευθέροις τοῖς χρήμασι [d] δανειζόμενοι· τοιαῦτα
τούτων ἐστὶ τὰ κακουργήματα. ταῦτα δὲ πάντ' ἐστὶ τὰ
σοφίσματα Λακρίτου τουτουί. ὅτι δ' ἀληθῆ λέγω καὶ
ἐπεδανείσαντο [e] χρήματα παρὰ τὴν συγγραφὴν, μαρτυ-
ρίαν ἀναγνώσεται ὑμῖν αὐτοῦ τοῦ ἐπιδανείσαντος. λέγε
τὴν μαρτυρίαν.

ΜΑΡΤΥΡΙΑ.

27 Ἄρατος [f] Ἁλικαρνασσεὺς μαρτυρεῖ δανεῖσαι Ἀπολλοδώρῳ [g] ἕνδεκα μνᾶς ἀργυρίου ἐπὶ τῇ ἐμπορίᾳ, ἣν ἦγεν [h] ἐν τῇ Ὑβλησίου νηὶ εἰς τὸν Πόντον, καὶ τοῖς ἐκεῖθεν ἀνταγορασθεῖσι, καὶ μὴ εἰδέναι αὐτὸν δεδανεισμένον παρὰ Ἀνδροκλέους ἀργύριον· οὐ γὰρ ἂν δανεῖσαι αὐτὸς Ἀπολλοδώρῳ [i] τὸ ἀργύριον.

[o] Φιλτιάδης] φιατάδης A.r. [p] Ξυπεταιὼν] ἐξυπεταίων F.Q. ξυμπετεὼν A.r. [q] Δημοκρατίδου] δημοκριτίδου A. δημοκρίτου r. [r] Χολλείδης] Libri Χολλίδης, nisi quod Χολίδης r. Rectior scriptura Χολλείδης est: de qua v. ad Aristoph. Ach. 405. Quanquam Χολλίδου in inscr. navali p. 547. ed. Boeckh. [s] οὖν] δὴ A.F.Q.r. [t] ἔδει αὐτοὺς] αὐτοὺς ἔδει A.r. [u] καὶ ἤρξαντο] om. F.Q. qui post παραβαίνειν addunt ἀρξάμενοι. [x] ὅτι om. F.Q. [y] οὐδ'] οὐκ A.r. [z] γεγραμμένων ἐν τῇ συγγραφῇ] ἐν τῇ συγγραφῇ γεγραμμένων F.Q. [a] τε om. A.r. [b] παρεκρούσαντο] παρακρούσαντες r. [c] ὡς] οὐκ F.Q. [d] δανειζόμενοι] ἐπὶ τοῖς ἡμετέροις addit A. [e] χρήματα A.F.Q.r. τὰ χρήματα vulgo. [f] Ἁλικαρνασσεὺς] ἁλικαρνασεὺς r. [g] ἕνδεκα μνᾶς ἀργυρίου] ἀργύριον ἕνδεκα μνᾶς A.r. [h] ἐν—Πόντον om. A.r. [i] τὸ om. Q.

28 Αἱ μὲν πανουργίαι τοιαῦται τῶν ἀνθρώπων τούτων εἰ-
σίν. γέγραπται δὲ μετὰ ταῦτα ἐν τῇ συγγραφῇ, ὦ ἄν-
δρες δικασταὶ, ἐπειδὰν ἀποδῶνται ἐν τῷ Πόντῳ ἃ [k] ἦγον,
[l] πάλιν ἀνταγοράζειν χρήματα καὶ [m] ἀντιφορτίζειν καὶ 931
ἀπάγειν Ἀθήναζε τὰ ἀντιφορτισθέντα, καὶ ἐπειδὰν ἀφί-
κωνται Ἀθήναζε, ἀποδοῦναι εἴκοσιν ἡμερῶν [n] τὸ ἀργύριον
ἡμῖν δόκιμον· ἕως δ' ἂν ἀποδῶσι, κρατεῖν τῶν [o] χρημά-
των ἡμᾶς, καὶ ἀνέπαφα [p] ταῦτα παρέχειν τούτους, ἕως ἂν
29 ἀπολάβωμεν. γέγραπται μὲν [q] γὰρ [r] ταῦτα οὑτωσὶ ἀκρι-
βῶς ἐν τῇ συγγραφῇ· οὗτοι δ', ὦ ἄνδρες δικασταὶ, ἐν-
ταῦθα καὶ ἐπεδείξαντο μάλιστα τὴν ὕβριν καὶ τὴν ἀναί-
δειαν τὴν ἑαυτῶν, καὶ ὅτι οὐδὲ μικρὸν προσεῖχον τοῖς
γράμμασι τοῖς γεγραμμένοις ἐν τῇ συγγραφῇ, ἀλλ'
ἡγοῦντο εἶναι τὴν συγγραφὴν ἄλλως ὕθλον καὶ φλυαρίαν.
οὔτε γὰρ [s] ἀντηγόρασαν οὐδὲν ἐν τῷ Πόντῳ οὔτε ἀντεφορ-
30 τίσαντο ὥστε ἄγειν Ἀθήναζε· ἡμεῖς [t] τε οἱ δανείσαντες
τὰ χρήματα [u] ἡκόντων αὐτῶν τούτων ἐκ τοῦ Πόντου οὐκ
εἴχομεν ὅτου ἐπιλαβοίμεθα οὐδ' ὅτου κρατοῖμεν, [x] ἕως
κομισαίμεθα τὰ ἡμέτερ' αὐτῶν· οὐδ' ὁτιοῦν γὰρ εἰσή-
γαγον εἰς τὸν λιμένα τὸν [y] ὑμέτερον οὗτοι. ἀλλὰ πεπόν-
31 θαμεν καινότατον, ὦ ἄνδρες δικασταί· ἐν γὰρ τῇ πό-
λει τῇ ἡμετέρᾳ αὐτῶν, οὐδὲν ἀδικοῦντες οὐδὲ δίκην [z] οὐδε-
μίαν ὠφληκότες τούτοις, σεσυλήμεθα τὰ ἡμέτερ' αὐτῶν
ὑπὸ τούτων Φασηλιτῶν ὄντων, ὥσπερ δεδομένων [a] συλῶν
Φασηλίταις κατ' Ἀθηναίων. ἐπειδὰν γὰρ μὴ ἐθέλωσιν
ἀποδοῦναι [b] ἃ ἔλαβον, τί ἄν [c] τις ἄλλο ὄνομ' ἔχοι θέσθαι

[k] ἦγον] ἤγαγον A.r. [l] πάλιν ἀνταγοράζειν S. Legebatur ἀνταγοράζειν πάλιν. [m] ἀντιφορτίζειν A.F.S.Q.r. Legebatur ἀντιφορτίζεσθαι. [n] τὸ ἀ. ἡμῖν] ἡμῖν τὸ ἀ. A. [o] χρημάτων S. χρημάτων ἁπάντων vulgo. [p] ταῦτα] πάντα A.r. om. F.Q. [q] γὰρ addidi ex S. [r] ταῦτα om. r. [s] ἀντηγόρασαν] ἠγόρασαν F.Q. [t] τε] δ' A.r. [u] ἡκόντων] ἡκόντων δ' A. [x] ἕως A.r. Legebatur ἕως ὅτου. [y] ὑμέτερον] ἡμέτερον A.r. [z] οὐδεμίαν ὠφληκότες τούτοις] ὠφληκότες οὐδεμίαν αὐτοῖς F.Q. [a] συλῶν] Scribebatur σύλων. Correctum ex Harpocr. s. v. Σύλας. [b] ἃ a m. antiqua insertum in S. [c] τις ἄλλο ὄνομ' ἔχοι A.S.r. ἄλλο τις ἔχοι ὄνομα vulgo. ἔχοι ἄλλο ὄνομα Harpocratio.

32 τοῖς τοιούτοις ἢ ὅτι [d]ἀφαιροῦνται βίᾳ τὰ ἀλλότρια; ἐγὼ
[e]μὲν οὐδ' ἀκήκοα πώποτε πρᾶγμα μιαρώτερον ἢ ὃ οὗτοι
[f]διαπεπραγμένοι εἰσὶ περὶ ἡμᾶς, καὶ ταῦθ' ὁμολογοῦντες
λαβεῖν παρ' ἡμῶν τὰ χρήματα. ὅσα μὲν γὰρ ἀμφισβη- 932
τήσιμά [g]ἐστι [h]τῶν συμβολαίων, κρίσεως δεῖται, ὦ ἄνδρες
δικασταί· τὰ δὲ παρ' ἀμφοτέρων ὁμολογηθέντα τῶν συν-
τιθεμένων, καὶ περὶ ὧν [i]συγγραφαὶ κεῖνται ναυτικαί,
τέλος ἔχειν ἅπαντες νομίζουσι, καὶ χρῆσθαι προσήκει
33 τοῖς γεγραμμένοις. ὅτι δὲ κατὰ τὴν συγγραφὴν [k]οὐδ'
ὁτιοῦν πεποιήκασιν, ἀλλ' εὐθὺς ἀπ' ἀρχῆς ἀρξάμενοι
ἐκακοτέχνουν καὶ ἐπεβούλευον μηδὲν ὑγιὲς ποιεῖν, ὑπό τε
τῶν [l]μαρτυριῶν καὶ αὐτοὶ ὑφ' [m]ἑαυτῶν ἐλέγχονται οὑτωσὶ
καταφανῶς.

Ὃ δὲ πάντων δεινότατον διεπράξατο Λάκριτος οὑτοσί,
δεῖ ὑμᾶς ἀκοῦσαι· οὗτος γὰρ ἦν ὁ [n]πάντα ταῦτα διοι-
34 κῶν. ἐπειδὴ γὰρ ἀφίκοντο δεῦρο, εἰς μὲν τὸ [o]ὑμέτερον
ἐμπόριον οὐ καταπλέουσιν, [p]εἰς φωρῶν δὲ [q]λιμένα ὁρμί-
ζονται, [r]ὅς ἐστιν ἔξω τῶν σημείων τοῦ [s]ὑμετέρου ἐμπορίου.
καὶ ἔστιν ὅμοιον [t]εἰς [u]φωρῶν λιμένα [x]ὁρμίσασθαι, ὥσπερ
ἂν εἴ τις εἰς Αἴγιναν ἢ εἰς Μέγαρα [y]ὁρμίσαιτο· ἔξεστι
γὰρ ἀποπλεῖν ἐκ τοῦ λιμένος τούτου, ὅποι ἄν τις βούλη-
35 ται καὶ ὁπηνίκ' ἂν δοκῇ αὐτῷ. καὶ τὸ μὲν πλοῖον ὥρμει
ἐνταῦθα πλείους ἢ πέντε καὶ εἴκοσιν ἡμέρας, οὗτοι δὲ
περιεπάτουν ἐν τῷ δείγματι τῷ ἡμετέρῳ, καὶ ἡμεῖς προσ-
ιόντες διελεγόμεθα, καὶ ἐκελεύομεν [z]τούτους ἐπιμελεῖσθαι
ὅπως ἂν ὡς τάχιστ' [a]ἀπολάβοιμεν τὰ χρήματα. οὗτοι

[d] ἀφαιροῦνται] ἀναιροῦνται Harpocratio. [e] μὲν S. μὲν γὰρ vulgo. [f] διαπεπραγμένοι] πεπραγμένοι F.Q. [g] ἐστι] εἰσι r. [h] τῶν] καὶ τῶν F. [i] συγγραφαὶ] γραφαὶ r. [k] οὐδ' ὁτιοῦν] οὐδὲν r. [l] μαρτυριῶν S. Legebatur μαρτύρων. [m] ἑαυτῶν ἐλέγχονται S. Legebatur αὐτῶν ἐξελέγχονται. [n] πάντα ταῦτα] ταῦτα πάντα A.r. [o] ὑμέτερον] ἡμέτερον A.r. [p] εἰς φωρῶν] εἰσφορῶν A.r. εἰς φώρων B. [q] λιμένα] λιμένας A. [r] ὅς] ὅ A.r. [s] ὑμετέρου] ἡμετέρου S.Q. [t] εἰς φωρῶν] εἰσφορῶν A.r. [u] φωρῶν Q. φώρων vulgo. [x] ὁρμίσασθαι] ὁρμήσασθαι A.r. [y] ὁρμίσαιτο] ὁρίσαιτο A., litera μ ad marginem scripta. [z] τούτους ἐπιμελεῖσθαι] τούτους ἐπιμελεῖσθαι τούτων A. [a] ἀπολάβοιμεν] ἀπολάβωμεν A.r.

δ' ὡμολόγουν τε καὶ ἔλεγον ὅτι [b]αὐτὰ ταῦτα περαίνοιεν.
καὶ ἡμεῖς τούτοις προσῆμεν, καὶ ἅμ' [c]ἐπεσκοποῦμεν εἴ
36 τι ἐξαιροῦνταί ποθεν ἐκ [d]τοῦ πλοίου ἢ πεντηκοστεύονται.
ἐπειδὴ δ' ἡμέραι τε ἦσαν συχναὶ ἐπιδημοῦσι τούτοις, ἡμεῖς
τ' οὐδ' ὁτιοῦν εὑρίσκομεν οὔτ' ἐξῃρημένον οὔτε πεπεντηκο-
στευμένον ἐπὶ τῷ ὀνόματι [e]τῷ τούτων, ἐνταῦθ' ἤδη μᾶλ- 933
λον προσεκείμεθα ἀπαιτοῦντες. καὶ ἐπειδὴ [f]ἠνωχλοῦμεν
αὐτοῖς, ἀποκρίνεται Λάκριτος οὑτοσὶ, [g]ὁ ἀδελφὸς [h]ὁ Ἀρ-
τέμωνος, ὅτι οὐκ ἂν οἷοί [i]τ' εἴησαν ἀποδοῦναι, ἀλλ' ἀπό-
λωλεν ἅπαντα τὰ χρήματα· καὶ ἔφη Λάκριτος δίκαιόν
37 τι ἔχειν λέγειν περὶ [k]τούτων. καὶ ἡμεῖς, ὦ ἄνδρες δικα-
σταὶ, ἠγανακτοῦμεν [l]μὲν ἐπὶ τοῖς λεγομένοις, πλέον δ'
οὐδὲν ἦν ἀγανακτοῦσιν ἡμῖν· [m]τούτοις γὰρ οὐδ' ὁτιοῦν
ἔμελεν. οὐδὲν δ' ἧττον ἠρωτῶμεν αὐτοὺς ὅντινα τρόπον
ἀπολωλότ' εἴη τὰ χρήματα. Λάκριτος δ' οὑτοσὶ ναυα-
γῆσαι ἔφη τὸ πλοῖον παραπλέον ἐκ Παντικαπαίου εἰς
38 [n]Θεοδοσίαν, ναυαγήσαντος δὲ τοῦ πλοίου ἀπολωλέναι τὰ
χρήματα τοῖς ἀδελφοῖς τοῖς ἑαυτοῦ, ἃ ἔτυχεν ἐν [o]τῷ
πλοίῳ ἐνόντα· ἐνεῖναι δὲ [p]τάριχός τε καὶ οἶνον Κῷον καὶ
ἄλλ' ἄττα. καὶ ταῦτα [q]ἔφασαν πάντα ἀντιφορτισθέντα
μέλλειν [r]αὐτὰ ἄγειν Ἀθήναζε, εἰ μὴ ἀπώλετο ἐν τῷ
πλοίῳ. καὶ ἃ μὲν ἔλεγε, ταῦτ' ἦν· ἄξιον δ' ἀκοῦσαι τὴν
βδελυρίαν τῶν ἀνθρώπων [s]τούτων καὶ τὴν ψευδολογίαν.
39 πρός τε γὰρ τὸ πλοῖον τὸ ναυαγῆσαν οὐδὲν ἦν αὐτοῖς
συμβόλαιον, ἀλλ' ἦν ἕτερος ὁ δεδανεικὼς Ἀθήνηθεν ἐπὶ
τῷ ναύλῳ τῷ εἰς τὸν Πόντον καὶ ἐπ' [t]αὐτῷ τῷ πλοίῳ
(Ἀντίπατρος ὄνομα ἦν τῷ δεδανεικότι, [u]Κιτιεὺς τὸ γένος)·

[b] αὐτὰ] ταὐτὰ A.r. [c] ἐπεσκοποῦμεν] ἐσκοποῦμεν A.r. [d] τοῦ addidit Wolfius. Conf. var. lect. ad p. 933, 14. [e] τῷ om. F.S.Q. [f] ἠνωχλοῦμεν] ἐνωχλοῦμεν S.Q. ἐνοχλοῦμεν A.r. [g] ὁ om. S. [h] ὁ om. F.Q. [i] τ' εἴησαν] τε ἦσαν B. [k] τούτων] τούτου A.r. [l] μὲν addidit Reiskius. [m] τούτοις] τουτοισὶ A r. [n] θεοδοσίαν S. hic et infra. Scribebatur Θευδοσίαν. [o] τῷ om. F.Q. [p] τάριχος] τάρειχος pr. S. [q] ἔφασαν πάντα A.S.r. πάντα ἔφασαν vulgo. [r] αὐτὰ] Reiskius αὐτοί. [s] τούτων] τουτωνὶ F.Q.r. [t] αὐτῷ om. F.Q. [u] Κιτιεὺς] κοτιεὺς (κιτ superscr.) F.

[x] *τό τ' οἰνάριον τὸ Κῷον ὀγδοήκοντα στάμνοι ἐξεστηκότος οἴνου, καὶ τὸ τάριχος ἀνθρώπῳ [y] τινὶ γεωργῷ παρεκομίζετο ἐν τῷ πλοίῳ ἐκ Παντικαπαίου εἰς Θεοδοσίαν, τοῖς ἐργάταις τοῖς περὶ τὴν γεωργίαν χρῆσθαι. τί οὖν ταύτας*
40 *τὰς προφάσεις λέγουσιν; οὐδὲν γὰρ προσήκει. καί μοι* 934
[z] *λαβὲ τὴν μαρτυρίαν, πρῶτον μὲν τὴν Ἀπολλωνίδου ὅτι Ἀντίπατρος ἦν ὁ δανείσας [a] ἐπὶ τῷ πλοίῳ, τούτοις δ' οὐδ' ὁτιοῦν προσήκει τῆς ναυαγίας, ἔπειτα τὴν Ἐρασικλέους [b] καὶ τὴν Ἱππίου, ὅτι ὀγδοήκοντα [c] μόνον κεράμια παρήγετο ἐν τῷ πλοίῳ.*

[d] ΜΑΡΤΥΡΙΑΙ.

41 Ἀπολλωνίδης Ἁλικαρνασσεὺς μαρτυρεῖ εἰδέναι δανείσαντα Ἀντίπατρον, Κιτιέα τὸ γένος, χρήματα Ὑβλησίῳ εἰς τὸν Πόντον ἐπὶ τῇ νηὶ ἣν Ὑβλήσιος ἐναυκλήρει, καὶ τῷ ναύλῳ τῷ εἰς τὸν Πόντον· κοινωνεῖν δὲ καὶ αὐτὸν τῆς νεὼς Ὑβλησίῳ, καὶ συμπλεῖν ἑαυτοῦ οἰκέτας ἐν τῇ νηί, καὶ ὅτε διεφθάρη ἡ ναῦς, παρεῖναι τοὺς οἰκέτας τοὺς ἑαυτοῦ καὶ ἀπαγγέλλειν ἑαυτῷ, καὶ ὅτι ἡ ναῦς [e] κενὴ διεφθάρη παραπλέουσα εἰς Θευδοσίαν ἐκ Παντικαπαίου.

42 Ἐρασικλῆς μαρτυρεῖ συμπλεῖν Ὑβλησίῳ [f] κυβερνῶν τὴν ναῦν εἰς τὸν Πόντον, καὶ ὅτε παρέπλει ἡ ναῦς εἰς Θευδοσίαν ἐκ Παντικαπαίου, εἰδέναι κενὴν τὴν ναῦν παραπλέουσαν, καὶ Ἀπολλοδώρου αὐτοῦ τοῦ φεύγοντος [g] νυνὶ τὴν δίκην, μὴ εἶναι [h] οἶνον ἐν τῷ πλοίῳ, ἀλλὰ [i] παράγεσθαι τῶν ἐκ [k] τῆς Θευδοσίας τινὶ [l] οἴνου Κῷα κεράμια περὶ ὀγδοήκοντα.

43 Ἱππίας Ἀθηνίππου Ἁλικαρνασσεὺς μαρτυρεῖ συμπλεῖν Ὑβλησίῳ [m] διοπεύων τὴν ναῦν, καὶ ὅτε παρέπλει ἡ ναῦς εἰς Θευδοσίαν ἐκ Παντικαπαίου, ἐνθέσθαι Ἀπολλόδωρον εἰς [n] τὴν ναῦν ἐρίων ἀγγεῖον ἓν ἢ δύο καὶ [o] ταρίχους κεράμια ἕνδεκα ἢ δώδεκα καὶ δέρματ' [p] αἴγεια, δύο [q] δέσμας ἢ τρεῖς, ἄλλο δ' οὐδέν.

44 Πρὸς [r] τοῖσδ' ἐξεμαρτύρησεν Εὐφίλητος Δαμοτίμου [s] Ἀφιδναῖος,

[x] τό τ'] τὸ δ' A.r. [y] τινὶ γεωργῷ om. A.r. [z] λαβὲ] λέγε F.Q. [a] ἐπὶ τῷ πλοίῳ om. F. in γρ. habet Q. [b] καὶ τὴν] τοῦ F.Q. [c] μόνον κεράμια S. μόνα κεράμια F.Q. κεράμια μόνα A.r. [d] Testimonia om. S. [e] κενὴ] ἐκείνη A.r. [f] κυβερνῶν] κυβερνῶντι A.r. [g] νυνὶ τὴν δίκην] τὴν δίκην νῦν A.r. [h] οἶνον] τὸν οἶνον A.r. [i] παράγεσθαι] παραγενέσθαι F.Q. [k] τῆς om. F.Q. [l] οἴνου Reiskius. οἰκούντων libri. [m] διοπεύων] Libri διοπτεύων. Vid. ad p. 929, 20. [n] τὴν om. r. [o] ταρίχους] ταρίχου A.r. [p] αἴγεια, δύο δέσμας] αἴγια δύο δὲ οὖσας A.r. [q] δέσμας] δεσμὰς B. [r] τοῖσδε] τούσδε F.Q. [s] Ἀφιδναῖος] ἀφνιδαῖος r.

[t] Ἱππίας Τιμοξένου Θυμαιτάδης, Σώστρατος Φιλίππου Ἱστιαιόθεν, Ἀρχενομίδης Στράτωνος [u] Θριάσιος, Φιλτιάδης Κτησικλέους Ξυπε- 935 ταιών.

45 Ἡ μὲν ἀναίδεια τοιαύτη τῶν ἀνθρώπων [x] τούτων ἐστίν. ὑμεῖς δ', ὦ ἄνδρες δικασταὶ, ἐνθυμεῖσθε πρὸς ὑμᾶς αὐτοὺς εἴ [y] τινας πώποτ' ἴστε ἢ [z] ἠκούσατε [a] οἶνον Ἀθήναζε ἐκ τοῦ Πόντου [b] κατ' [c] ἐμπορίαν [d] εἰσάγοντας, ἄλλως τε καὶ Κῷον. [e] πᾶν [f] γὰρ δήπου τοὐναντίον εἰς τὸν Πόντον [g] ὁ οἶνος εἰσάγεται ἐκ τῶν τόπων τῶν περὶ ἡμᾶς, ἐκ Πεπαρήθου καὶ Κῶ καὶ Θάσιος καὶ Μενδαῖος καὶ ἐξ ἄλλων [h] τινῶν πόλεων παντοδαπός· ἐκ δὲ τοῦ Πόντου ἕτερά ἐστιν

46 ἃ εἰσάγεται δεῦρο. κατεχόμενοι δ' ὑφ' ἡμῶν καὶ ἐλεγχόμενοι [i] εἴ τι περιγένοιτο τῶν χρημάτων ἐν τῷ Πόντῳ, ἀπεκρίνατο Λάκριτος οὑτοσὶ ὅτι ἑκατὸν στατῆρες [k] Κυζικηνοὶ περιγένοιντο καὶ τοῦτο τὸ χρυσίον δεδανεικὼς εἴη [l] ἀδελφὸς αὐτοῦ ἐν τῷ Πόντῳ ναυκλήρῳ τινὶ [m] Φασηλίτῃ, πολίτῃ καὶ ἐπιτηδείῳ ἑαυτοῦ, καὶ οὐ δύναιτο κομίσα-

47 σθαι, ἀλλὰ σχεδόν τι ἀπολωλὸς εἴη [n] καὶ τοῦτο. [o] ταῦτ' ἐστὶν ἃ ἔλεγε Λάκριτος οὑτοσί. ἡ δὲ συγγραφὴ οὐ ταῦτα λέγει, ὦ ἄνδρες δικασταὶ, ἀλλ' [p] ἀντιφορτισαμένους ἀπάγειν κελεύει Ἀθήναζε, οὐ δανείζειν τούτους [q] ὅτῳ ἂν βούλωνται ἐν τῷ Πόντῳ τὰ ἡμέτερα ἄνευ ἡμῶν, ἀλλ' Ἀθήναζε παρέχειν ἀνέπαφα ἡμῖν, ἕως ἂν [r] ἡμεῖς ἀπολάβωμεν τὰ χρήματα ὅσ' ἐδανείσαμεν. καί μοι ἀναγίγνωσκε τὴν συγγραφὴν πάλιν.

[t] Ἱππίας] ἱππεὺς F.Q. [u] Θριάσιος, Φιλτιάδης] θριασιάσιος φιατάδης A.r. Conf. p. 929, 25. [x] τούτων] τούτων γ' F.Q. τουτωνὶ A.r. [y] τινας] τινα A.r. [z] ἠκούσατε] ἀκηκόατε A.k. [a] οἶνον Ἀθήναζε ἐκ τοῦ Πόντου] ἐκ τοῦ πόντου οἶνον Ἀθήναζε A.r. [b] κατ'] εἰς F.Q. [c] ἐμπορίαν] εμπορειαν S. [d] εἰσάγοντας] εἰσάγοντα A.r. [e] πᾶν] πάντα Q. [f] γὰρ δήπου] δη γάρ που S. Vid. ad p. 228, 11. [g] ὁ om. A.F.Q.r. [h] τινῶν om. A.r. [i] εἴ τι] ὅτι r. [k] Κυζικηνοὶ] κυζηκηνὸς A. [l] ἀδελφὸς] Legebatur ὁ ἀδελφός. ὁ om. F.S.Q. [m] Φασηλίτῃ πολίτῃ om. S. [n] καὶ τοῦτο om. S. [o] ταῦτ'] τοιαῦτ' S. literis οι in litura positis pro α. Fuit igitur τὰ αὐτά. [p] ἀντιφορτισαμένους] ἀντιφορτισαμένους A.r. [q] ὅτῳ] ὅπου A.r. [r] ἡμεῖς om. A.r.

[s]ΣΥΓΓΡΑΦΗ. 937

48 Πότερον, ὦ ἄνδρες δικασταί, δανείζειν κελεύει [t]τούτους ἡ συγγραφὴ τὰ ἡμέτερα, καὶ ταῦτ' ἀνθρώπῳ ὃν ἡμεῖς οὔτε γιγνώσκομεν οὔθ' [u]ἑοράκαμεν πώποτε, ἢ ἀντιφορτισαμένους κομίσαι Ἀθήναζε καὶ φανερὰ ποιῆσαι
49 ἡμῖν καὶ ἀνέπαφα [x]παρέχειν; ἡ μὲν [y]γὰρ συγγραφὴ οὐδὲν κυριώτερον [z]ἐᾷ εἶναι τῶν ἐγγεγραμμένων, [a]οὐδὲ [b]προσφέρειν οὔτε νόμον οὔτε ψήφισμα οὔτ' ἄλλ' οὐδ' ὁτιοῦν [c]πρὸς τὴν συγγραφήν· τούτοις δ' εὐθὺς ἐξ ἀρχῆς οὐδὲν [d]ἐμέλησε τῆς συγγραφῆς ταύτης, ἀλλὰ τοῖς χρήμασιν ἐχρῶντο τοῖς ἡμετέροις ὥσπερ ἰδίοις [e]οὖσιν αὐτῶν· οὕτως εἰσὶν οὗτοι κακοῦργοι σοφισταὶ καὶ ἄδικοι ἄνθρωποι.
50 ἐγὼ δὲ μὰ τὸν Δία τὸν ἄνακτα καὶ τοὺς θεοὺς ἅπαντας, [f]οὐδενὶ πώποτ' ἐφθόνησα οὐδ' ἐπετίμησα, ὦ ἄνδρες δικασταί, εἴ τις βούλεται σοφιστὴς εἶναι καὶ Ἰσοκράτει ἀργύριον ἀναλίσκειν· μαινοίμην γὰρ [g]ἄν, εἴ τί μοι τούτων ἐπιμελὲς εἴη. οὐ [h]μέντοι μὰ Δία οἶμαί γε δεῖν ἀνθρώπους καταφρονοῦντας καὶ οἰομένους δεινοὺς εἶναι ἐφίεσθαι τῶν ἀλλοτρίων, οὐδ' ἀφαιρεῖσθαι, τῷ λόγῳ πιστεύοντας· πονηροῦ γὰρ [i]ταῦτ' ἐστὶ σοφιστοῦ καὶ οἰμω- 938
51 ξομένου. Λάκριτος δ' οὑτοσί, ὦ ἄνδρες δικασταί, οὐ τῷ δικαίῳ πιστεύων εἰσελήλυθε ταύτην τὴν δίκην, ἀλλ' ἀκριβῶς εἰδὼς τὰ [k]πεπραγμέν' ἑαυτοῖς περὶ τὸ δάνεισμα τοῦτο, καὶ [l]ἡγούμενος δεινὸς εἶναι καὶ ῥᾳδίως λόγους ποριεῖσθαι περὶ ἀδίκων πραγμάτων, [m]οἴεται [n]παράξειν [o]ὑμᾶς [p]ὅποι ἂν βούληται. ταῦτα γὰρ ἐπαγγέλλεται

s ΣΥΓΓΡΑΦΗ] Syngraphæ exemplum (ἐδάνεισαν—Πιτθεύς p. 925, 27—927, 14.) hoc loco vulgo repetitum habent F.Q., omittunt A.S.r. t τούτους] τούτοις S. u ἑοράκαμεν] Scribebatur ἑωράκαμεν. x παρέχειν] παρέξειν S. y γὰρ om. F.Q. z ἐᾷ om. S. a οὐδὲ] οὔτε F.Q. b προσφέρειν F.Q.S. προφέρειν A.r. c πρὸς] τὸ πρὸς S. d ἐμέλησε] ἔμελε A. ἔμελλε r. e οὖσιν αὐτῶν] ἑαυτῶν οὖσι F.Q. f οὐδενὶ] οὐδὲν S. g ἂν om. A.r. h μέντοι] μέντοιγε A.r. i ταῦτ'] ταυτά γ' A.r. k πεπραγμεν' αυτοις S. Scribebatur πεπραγμένα ἑαυτοῖς. l ἡγούμενος] οἰόμενος F.Q. m οἴεται] καὶ οἴεται A.r. n παράξειν] παρέξειν Q. o ὑμᾶς] ἡμᾶς S.r. p ὅποι Reiskius. ὅπου libri.

[q]δεινὸς εἶναι, καὶ ἀργύριον αἰτεῖ καὶ μαθητὰς συλλέγει,
52 [r]περὶ αὐτῶν τούτων ἐπαγγελλόμενος παιδεύειν. [s]καὶ πρῶτον μὲν τοὺς ἀδελφοὺς τοὺς [t]αὐτοῦ [u]ἐπαίδευσε τὴν παιδείαν ταύτην, ἣν ὑμεῖς αἰσθάνεσθε πονηρὰν καὶ ἄδικον, ὦ ἄνδρες δικασταὶ, δανείζεσθαι ἐν τῷ ἐμπορίῳ ναυτικὰ χρήματα καὶ ταῦτ' ἀποστερεῖν καὶ μὴ ἀποδιδόναι. πῶς ἂν [x]γένοιντο [y]πονηρότεροι ἄνθρωποι ἢ τοῦ παιδεύον-
53 τος τὰ τοιαῦτα ἢ [z]αὐτῶν τῶν παιδευομένων; [a]ἐπεὶ οὖν δεινός ἐστι καὶ πιστεύει τῷ λέγειν καὶ ταῖς χιλίαις δραχμαῖς, [b]ἃς δέδωκε τῷ διδασκάλῳ, κελεύσατε αὐτὸν διδάξαι ὑμᾶς ἢ ὡς τὰ χρήματ' οὐκ ἔλαβον παρ' ἡμῶν, ἢ ὡς λαβόντες ἀποδεδώκασιν, [c]ἢ ὅτι [d]τὰς ναυτικὰς συγγραφὰς οὐ δεῖ κυρίας εἶναι, ἢ ὡς δεῖ [e]ἄλλο τι χρήσασθαι τοῖς χρήμασιν ἢ ἐφ' οἷς ἔλαβον κατὰ τὴν συγγρα-
54 φήν. τούτων ὅ τι βούλεται, πεισάτω ὑμᾶς. καὶ ἔγωγε καὶ αὐτὸς συγχωρῶ σοφώτατον εἶναι τοῦτον, ἐὰν ὑμᾶς πείσῃ τοὺς περὶ τῶν συμβολαίων τῶν ἐμπορικῶν δικάζοντας. ἀλλ' εὖ οἶδ' ὅτι οὐδὲν ἂν τούτων οἷός τ' εἴη οὗτος οὔτε διδάξαι οὔτε πεῖσαι.

55 Χωρὶς δὲ τούτων, φέρε πρὸς τῶν θεῶν, ὦ ἄνδρες δικασταὶ, εἰ τοὐναντίον συμβεβήκει, [f]μὴ ὁ τούτου ἀδελ- 939
φὸς ὁ τετελευτηκὼς ἐμοὶ ὤφειλε [g]τὰ χρήματα, ἀλλ' ἐγὼ [h]τῷ τούτου τάλαντον ἢ ὀγδοήκοντα μνᾶς ἢ [i]πλέον
56 ἢ ἔλαττον, ἆρ' [k]ἂν οἴεσθε Λάκριτον τουτονὶ, ὦ ἄνδρες δικασταὶ, τοὺς αὐτοὺς λόγους λέγειν [l]οἷσπερ νυνὶ [m]καταχέχρηται, ἢ φάσκειν [n]αὐτὸν οὐκ εἶναι κληρονόμον [o]καὶ

[q] δεινὸς] καὶ δεινὸς F.Q. [r] περὶ] καὶ περὶ A.r. [s] καὶ om. A.r. [t] αὐτοῦ S. ἑαυτοῦ vulgo. [u] ἐπαίδευσε] ἐπαίδευε A.r. [x] γένοιντο] γένοιτο F. [y] πονηρότεροι] πονηρότατοι F.Q. πονηροι S. [z] αὐτῶν] αὐτῶν τούτων F.Q. [a] ἐπεὶ S. Legebatur ἐπειδή. [b] ἃς] αἷς A. [c] ἢ om. Q. [d] τὰς ναυτικὰς συγγραφὰς] τὰς συγγρ. τὰς ναυτ. A.r. [e] ἄλλο τι om. S. [f] μὴ A.S.r. Legebatur καὶ μή. [g] τὰ om. A.r. [h] τῷ τούτου] τούτῳ A.r. [i] πλέον] πλεῖον F.S.Q. [k] ἂν om. F.Q. [l] οἷσπερ] οἷς Q. [m] καταχέχρηται] καταχρῆται A.r. [n] αὐτὸν S. αὐτὸν A.r. Legebatur ἂν αὐτόν. [o] καὶ] ἢ A.S.r.

ἀφίστασθαι [p] τῶν τοῦ ἀδελφοῦ, καὶ οὐκ ἂν πάνυ πικρῶς εἰσπράττειν με, ὥσπερ καὶ παρὰ τῶν ἄλλων εἰσπέπρακται, εἴ τίς τι ἐκείνῳ τῷ τετελευτηκότι ὤφειλεν ἢ ἐν
57 [q] Φασήλιδι ἢ ἄλλοθί που· καὶ [r] εἴ τις ἡμῶν φεύγων δίκην ὑπὸ τούτου παραγραφὴν ἐτόλμησε παραγράφεσθαι, μὴ εἰσαγώγιμον εἶναι τὴν δίκην, εὖ οἶδ' ὅτι ἠγανάκτει ἂν [s] αὐτὸς καὶ ἐσχετλίαζε πρὸς ὑμᾶς, δεινὰ φάσκων πάσχειν καὶ [t] παρανομεῖσθαι, εἰ μή τις αὐτῷ τὴν δίκην ψηφιεῖται εἰσαγώγιμον εἶναι, ἐμπορικὴν οὖσαν. ἔπειτα, ὦ Λάκριτε, σοὶ μὲν τοῦτο δίκαιον [u] δοκεῖ εἶναι, ἐμοὶ δὲ διὰ τί οὐκ ἔσται; οὐχ ἅπασιν [x] ἡμῖν οἱ αὐτοὶ νόμοι γεγραμμένοι εἰσὶ καὶ τὸ αὐτὸ δίκαιον περὶ τῶν ἐμπορικῶν δι-
58 κῶν; ἀλλ' [y] οὕτω βδελυρός [z] τίς ἐστι καὶ ὑπερβάλλων ἅπαντας ἀνθρώπους τῷ πονηρὸς εἶναι, ὥστ' ἐπιχειρεῖ πείθειν ὑμᾶς ψηφίσασθαι μὴ εἰσαγώγιμον εἶναι τὴν ἐμπορικὴν δίκην [a] ταυτηνί, δικαζόντων ὑμῶν νυνὶ τὰς ἐμπορικὰς δίκας. ἀλλὰ τί κελεύεις, ὦ Λάκριτε; μὴ ἱκανὸν εἶναι ἡμᾶς ἀποστερεῖσθαι ἃ ἐδανείσαμεν χρήματα ὑμῖν, ἀλλὰ καὶ εἰς τὸ δεσμωτήριον παραδοθῆναι ὑφ' ὑμῶν
59 [b] προσοφλόντας τὰ ἐπιτίμια, ἐὰν μὴ [c] ἐκτίνωμεν; καὶ πῶς οὐκ [d] ἂν δεινὸν εἴη καὶ σχέτλιον καὶ αἰσχρὸν ὑμῖν, ὦ ἄνδρες δικασταί, εἰ οἱ δανείσαντες ἐν τῷ ἐμπορίῳ τῷ 940
ὑμετέρῳ χρήματα ναυτικὰ καὶ ἀποστερούμενοι ὑπὸ τῶν δανεισαμένων καὶ ἀποστερούντων ἀπάγοιντο εἰς τὸ δεσμωτήριον; ταῦτ' ἐστίν, ὦ Λάκριτε, ἃ τουτουσὶ πείθεις;
60 ἀλλὰ ποῦ χρὴ [e] λαβεῖν δίκην, ὦ ἄνδρες δικασταί, περὶ τῶν ἐμπορικῶν συμβολαίων; παρὰ ποίᾳ ἀρχῇ [f] ἢ ἐν τίνι

[p] τῶν om. r. [q] Φασήλιδι] φασηλίδι libri. Vid. ad p. 924, 17. [r] εἴ] εἴγε F.Q. [s] αὐτὸς F.S.Q. Legebatur οὗτος. [t] παρανομεῖσθαι] παρανομιεῖσθαι S. [u] δοκεῖ εἶναι—ἔσται] εἶναι δοκεῖ—ἐξέσται A.r. [x] ἡμῖν] ὑμῖν A.r. [y] οὕτω] οὗτος A.r. [z] τίς om. F.Q. [a] ταυτηνὶ] ταύτην S. om. A.r. [b] προσοφλόντας] προσοφείλοντας S. προσοφειλοῦντας A.r. προσόφλοντας vulgo. [c] ἐκτίνωμεν] ἐκτείνωμεν S. [d] ἂν δεινὸν] δεινὸν ἂν F.Q. [e] λαβεῖν δίκην A.S.r. δίκην λαβεῖν vulgo. [f] ἢ ἐν τίνι χρόνῳ delet Schæferus.

χρόνῳ; παρὰ τοῖς ἕνδεκα; ἀλλὰ τοιχωρύχους καὶ κλέπτας καὶ τοὺς ἄλλους κακούργους τοὺς ἐπὶ θανάτῳ 61 οὗτοι εἰσάγουσιν. ἀλλὰ παρὰ τῷ ἄρχοντι; οὐκοῦν ἐπικλήρων καὶ ὀρφανῶν καὶ τῶν τοκέων [g] τῷ ἄρχοντι προστέτακται ἐπιμελεῖσθαι. ἀλλὰ νὴ Δία παρὰ τῷ βασιλεῖ. ἀλλ' οὐκ ἐσμὲν γυμνασίαρχοι, οὐδὲ ἀσεβείας οὐδένα [h] γραφόμεθα. ἀλλ' ὁ πολέμαρχος εἰσάξει. ἀποστασίου γε καὶ ἀπροστασίου. οὐκοῦν ὑπόλοιπόν ἐστιν οἱ στρατηγοί. ἀλλὰ τοὺς τριηράρχους [i] καθιστᾶσιν, ἐμπορικὴν δὲ 62 δίκην [k] οὐδεμίαν [l] εἰσάγουσιν. ἐγὼ δ' εἰμὶ ἔμπορος, καὶ σὺ ἀδελφὸς καὶ κληρονόμος [m] ἑνὸς τῶν ἐμπόρων [n] τοῦ λαβόντος παρ' ἡμῶν τὰ ἐμπορικὰ χρήματα. ποῖ οὖν δεῖ ταύτην εἰσελθεῖν τὴν δίκην; δίδαξον, ὦ Λάκριτε, μόνον δίκαιόν τι λέγων καὶ κατὰ τοὺς νόμους. ἀλλ' οὐκ ἔστιν [o] οὕτω δεινὸς ἄνθρωπος οὐδείς, ὅστις ἂν περὶ [p] τοιούτων πραγμάτων ἔχοι τι δίκαιον εἰπεῖν.

63 Οὐ τοίνυν ταῦτα μόνον, ὦ ἄνδρες δικασταί, δεινὰ ἐγὼ πάσχω ὑπὸ Λακρίτου τουτουί, ἀλλὰ καὶ χωρὶς τοῦ ἀποστερεῖσθαι τὰ χρήματα [q] εἰς τοὺς ἐσχάτους [r] ἂν κινδύνους ἀφικόμην τὸ τούτου μέρος, εἰ μή μοι ἡ συγγραφὴ ἐβοήθει [s] ἡ πρὸς τούτους, καὶ ἐμαρτύρει ὅτι εἰς τὸν Πόντον 941
64 ἔδωκα τὰ χρήματα καὶ πάλιν Ἀθήναζε. ἴστε [t] γάρ, ὦ ἄνδρες δικασταί, τὸν νόμον ὡς χαλεπός ἐστιν, ἐάν τις Ἀθηναίων [u] ἄλλοσέ ποι [x] σιτηγήσῃ ἢ Ἀθήναζε, ἢ χρήματα δανείσῃ [y] εἰς ἄλλο τι ἐμπόριον ἢ [z] τὸ Ἀθηναίων, οἷαι ζημίαι περὶ τούτων εἰσίν, ὡς μεγάλαι καὶ δειναί.

[g] τῷ ἄρχοντι προστέτακται] προστέτακται τῷ ἄρχοντι F.Q. [h] γραφόμεθα] παραγραφόμεθα S. [i] καθιστᾶσιν] Addebatur οὗτοι εἰσάγοντες εἰς τὸ δικαστήριον, quod in γρ. habent F.Q. [k] οὐδεμίαν] οὐδεμίαν ἂν Q. ἂν quattuor punctis notatum in B. [l] εἰσάγουσιν] εἰσάγουσιν εἰς τὸ δικαστήριον S. [m] ἑνὸς τῶν ἐμπόρων] τοῦ ἐμπόρου A.r. [n] τοῦ A.S. Legebatur καὶ τοῦ. [o] οὕτω om. r. [p] τοιούτων] τούτων τῶν A.r. [q] εἰς A.r. Legebatur καὶ εἰς. [r] ἂν post ἀφικόμην F.Q. [s] ἡ om. A.r. [t] γὰρ S. Legebatur γὰρ δήπου. [u] ἄλλοσέ ποι] εποι, addito in margine ἄλλως, S. a m. si non eadem, certe antiqua. [x] σιτηγήσῃ] σιτηγήσει A. [y] εἰς ἄλλο τι] ἢ εἰς ἄλλο S. [z] τὸ] εἰς τὸ r.

μᾶλλον δ' [a] αὐτὸν ἀνάγνωθι αὐτοῖς τὸν νόμον, ἵν' ἀκριβέστερον μάθωσιν.

ΝΟΜΟΣ.

65 [b] Ἀργύριον δὲ μὴ ἐξεῖναι [c] ἐκδοῦναι Ἀθηναίων καὶ τῶν μετοίκων τῶν Ἀθήνησι μετοικούντων [d] μηδενὶ, [e] μηδὲ ὧν οὗτοι κύριοί εἰσιν, εἰς ναῦν ἥτις ἂν μὴ μέλλῃ ἄξειν σῖτον Ἀθήναζε, καὶ τἄλλα τὰ γεγραμμένα περὶ ἑκάστου αὐτῶν. ἐὰν δέ τις ἐκδῷ παρὰ ταῦτ', εἶναι τὴν φάσιν καὶ τὴν ἀπογραφὴν τοῦ ἀργυρίου πρὸς τοὺς ἐπιμελητὰς, [f] καθὰ περὶ τῆς νεὼς καὶ τοῦ σίτου εἴρηται, κατὰ ταῦτα. καὶ δίκη αὐτῷ μὴ ἔστω περὶ τοῦ ἀργυρίου, [g] ὃ ἂν ἐκδῷ [h] ἄλλοσέ ποι ἢ Ἀθήναζε· μηδὲ ἀρχὴ εἰσαγέτω περὶ [i] τούτου μηδεμία.

66 *Ὁ μὲν νόμος, ὦ ἄνδρες δικασταὶ, οὕτω χαλεπός ἐστιν· οὗτοι δ' οἱ μιαρώτατοι ἀνθρώπων ἁπάντων, [k] γεγραμμένου διαρρήδην ἐν τῇ συγγραφῇ Ἀθήναζε [l] πάλιν ἥκειν τὰ χρήματα, εἰς Χίον ἐπέτρεψαν καταχθῆναι ἃ*
67 *ἐδανείσαντο [m] Ἀθήνηθεν παρ' ἡμῶν. δανειζομένου γὰρ ἐν τῷ Πόντῳ τοῦ ναυκλήρου τοῦ Φασηλίτου ἕτερα χρήματα παρά τινος Χίου ἀνθρώπου, οὐ φάσκοντος δὲ τοῦ Χίου δανείσειν, ἐὰν μὴ ὑποθήκην λάβῃ [n] ἅπανθ' ὅσ' ἦν περὶ τὸν ναύκληρον, καὶ ἐπιτρέπωσι ταῦτα οἱ πρότερον [o] δεδανεικότες, ἐπέτρεψαν ταῦτα ὑποθήκην [p] γενέσθαι τῷ Χίῳ τὰ* 942
68 *ἡμέτερα καὶ κύριον [q] ἐκεῖνον γενέσθαι [r] ἁπάντων, καὶ [s] οὕτως ἀπέπλεον ἐκ τοῦ Πόντου μετὰ τοῦ Φασηλίτου ναυκλήρου καὶ μετὰ τοῦ Χίου τοῦ δεδανεικότος, καὶ ὁρμίζονται ἐν [t] φωρῶν λιμένι, εἰς δὲ τὸ [u] ὑμέτερον ἐμπόριον οὐχ [x] ὡρμίσαντο. καὶ [y] νυνὶ, ὦ ἄνδρες δικασταὶ, τὰ Ἀθήνηθεν δανεισθέντα χρήματα εἰς τὸν Πόντον καὶ πάλιν ἐκ τοῦ Πόντου Ἀθήναζε εἰς Χίον κατηγμένα [z] ἐστὶν ὑπὸ τούτων.*

[a] *αὐτὸν* om. A.r. [b] Legem om. S. [c] *ἐκδοῦναι* om. F.Q. [d] *μηδενὶ* om. Q. [e] *μηδὲ* om. A.r. [f] *καθὰ περὶ*] *καθάπερ* F.Q. [g] *ὃ*] *οὗ* A.r. [h] *ἄλλοσέ ποι ἢ*] *ἄλλοσέ πῃ ἢ* Q. *ἀλλ' ὡς ἐκποιήσει* A.r. [i] *τούτου*] *τούτων* A.r. [k] *γεγραμμένου* F.S.Q. Legebatur *γεγραμμένον*. [l] *πάλιν*] *καὶ πάλιν* Q. [m] *Ἀθήνηθεν*] *ἀθήνησι* A.r. [n] *ἅπανθ'*] *πάνθ'* A. *τὰ πάντα* F.Q. *πάντα* r. [o] *δεδανεικότες*] *δεδανεικότα* r. [p] *γενέσθαι*] *γίνεσθαι* S. [q] *ἐκεῖνον γενέσθαι* A.S.r. *γενέσθαι ἐκεῖνον* vulgo. [r] *ἁπάντων*] *πάντων* A.r. [s] *οὕτως* A.S.r. *οὑτωσὶ* vulgo. [t] *φωρῶν*] *φορῶν* r., non A. *φώρων* B. [u] *ὑμέτερον*] *ἡμέτερον* S.Q. [x] *ὡρμίσαντο*] *ὡρμήσαντο* pr. A. [y] *νυνὶ*] *νῦν* A.r. [z] *ἐστὶν*] *εἰσὶν* A.r.

69 ὅπερ οὖν ἐν ἀρχῇ ὑπεθέμην τοῦ λόγου, ὅτι καὶ ὑμεῖς ἀδικεῖσθε οὐδὲν ἧττον [a] τῶν δόντων ἡμῶν τὰ χρήματα. [b] σκοπεῖτε δ', ὦ ἄνδρες δικασταί, πῶς [c] συναδικεῖσθε, ἐπειδάν τις τῶν νόμων τῶν ὑμετέρων κρείττων ἐγχειρῇ εἶναι, καὶ τὰς συγγραφὰς τὰς ναυτικὰς ἀκύρους [d] ποιῇ καὶ καταλύῃ, καὶ τὰ χρήματα τὰ παρ' ἡμῶν εἰς Χίον ᾖ [e] διαπεσταλκώς, πῶς οὐκ ἀδικεῖ ὁ τοιοῦτος ἄνθρωπος καὶ ὑμᾶς;

70 Ἐμοὶ μὲν οὖν ἐστίν, ὦ ἄνδρες δικασταί, πρὸς τούτους ὁ λόγος· τούτοις [f] γὰρ ἔδωκα τὰ χρήματα. τούτοις δ' [g] ἔσται πρὸς τὸν ναύκληρον ἐκεῖνον τὸν Φασηλίτην, [h] τὸν πολίτην τὸν αὐτῶν, ᾧ φασὶ δανεῖσαι τὰ χρήματα ἄνευ ἡμῶν παρὰ τὴν συγγραφήν· [i] οὐδὲ γὰρ ἡμεῖς ἴσμεν τίνα ἐστὶ τὰ πεπραγμένα τούτοις πρὸς [k] τὸν ἑαυτῶν πολίτην,
71 ἀλλ' αὐτοὶ οὗτοι ἴσασιν. ταῦτα ἡγούμεθα δίκαια εἶναι, καὶ ὑμῶν δεόμεθα, ὦ ἄνδρες δικασταί, βοηθεῖν [l] ἡμῖν τοῖς ἀδικουμένοις, καὶ κολάζειν [m] τοὺς κακοτεχνοῦντας καὶ σοφιζομένους, ὥσπερ οὗτοι σοφίζονται. καὶ ἐὰν ταῦτα ποιῆτε, ὑμῖν τε αὐτοῖς τὰ συμφέροντα ἔσεσθε [n] ἐψηφισμένοι, καὶ περιαιρήσεσθε τῶν πονηρῶν ἀνθρώπων τὰς πανουρ- 943
γίας ἁπάσας, ἃς ἔνιοι πανουργοῦσι περὶ τὰ συμβόλαια τὰ ναυτικά [o].

[a] τῶν δόντων ἡμῶν] ἡμῶν τῶν δόντων A.r. [b] σκοπεῖτε] σκοπεῖσθε F.Q. [c] συναδικεῖσθε correctus a m. antiqua S. et γρ. Q. Legebatur οὐκ ἀδικεῖσθε, quod a pr. m. habuit S. [d] ποιῇ καὶ καταλύῃ] ποιεῖν καὶ καταλύειν r. [e] διαπεσταλκὼς] ἀπεσταλκὼς A.r. [f] γὰρ om. A.r. [g] ἔσται S. ἔστω vulgo. [h] τὸν πολίτην om. S. [i] οὐδὲ S. οὐδὲν vulgo. [k] τὸν ἑαυτῶν πολίτην] τὸν πολίτην τὸν ἑαυτῶν F.Q. [l] ἡμῖν om. F.Q. [m] τοὺς] τούς τε F.Q. [n] ἐψηφισμένοι, καὶ περιαιρήσεσθε primo omissa in marg. addidit librarius in S. [o] In B.S. subscriptum πρὸς τὴν λακρίτου παραγραφὴν ΗΗΗΗΔΔΔ.

Λϛ.

ΠΑΡΑΓΡΑΦΗ ΥΠΕΡ ΦΟΡΜΙΩΝΟΣ.

ΥΠΟΘΕΣΙΣ.

Πασίων ὁ τραπεζίτης τελευτῶν ἐπὶ δύο παισὶν ἐξ Ἀρχίππης, Ἀπολλοδώρῳ καὶ Πασικλεῖ, Φορμίωνα οἰκέτην ἑαυτοῦ γενόμενον, τετυχηκότα δὲ ἔτι πρότερον ἐλευθερίας, ἐπίτροπον τοῦ νεωτέρου τῶν παίδων Πασικλέους κατέλιπε, καὶ τὴν μητέρα αὐτῶν, παλλακὴν ἑαυτοῦ γενομένην, ἔδωκεν ἐπὶ προικὶ γυναῖκα. Ἀπολλόδωρος οὖν νέμεται πρὸς τὸν ἀδελφὸν τὴν πατρῴαν οὐσίαν πλὴν τῆς τραπέζης καὶ τοῦ [p] *ἀσπιδοπηγείου· ταῦτα γὰρ Φορμίων ἐμεμίσθωτο παρὰ Πασίωνος εἰς ὡρισμένον χρόνον τινά. καὶ τέως μὲν ἐλάμβανε τὸ ἥμισυ τῆς μισθώσεως ἑκάτερος, ὕστερον δὲ καὶ αὐτὰ νέμονται, καὶ γίγνεται τὸ μὲν ἀσπιδοπηγεῖον Ἀπολλοδώρου, Πασικλέους δὲ ἡ τράπεζα. ἀποθανούσης* [q] *δὲ καὶ τῆς μητρὸς ὕστερον, νειμάμενος καὶ τὴν ἐκείνης οὐσίαν, ἐνεκάλει τῷ Φορμίωνι ὡς πολλὰ ἔχοντι ἑαυτοῦ χρήματα. καθίσαντες οὖν* [r] *ἑαυτοὺς διαιτητὰς, ὥς φησι Φορμίων, Ἀπολλοδώρῳ προσήκοντες, Νικίας καὶ* [s] *Δεινίας καὶ Ἀνδρομένης, ἔπεισαν Ἀπολλόδωρον διαλύσασθαι πρὸς Φορμίωνα τὰ ἐγκλήματα λαβόντα πεντακισχιλίας. ὁ μὲν οὖν Ἀπολλόδωρος μετὰ ταῦτα πάλιν εἴληχε δίκην Φορμίωνι ἀφορμῆς· ἀφορμὴν δὲ οἱ Ἀττικοὶ καλοῦσιν, ὅπερ ἡμεῖς ἐνθή-* 944 *κην. ὁ δὲ Φορμίων παραγράφεται, νόμον παρεχόμενος τὸν κελεύοντα περὶ ὧν ἂν ἅπαξ ἀφῇ τις καὶ διαλύσηται μηκέτι ἐξεῖναι δικάζεσθαι. ἅπτεται μέντοι καὶ τῆς εὐθείας ὁ ῥήτωρ, δεικνὺς ὡς οὐκ εἶχεν ἡ τράπεζα χρήματα* [t] *ἴδια τοῦ Πασίωνος. τοῦτο δὲ πεποίηκεν, ἵνα ἡ παραγραφὴ μᾶλλον ἰσχύῃ, τῆς εὐθείας* [u] *δεικνυμένης τῷ Ἀπολλοδώρῳ σαθρᾶς.*

ΤΗΝ μὲν ἀπειρίαν τοῦ λέγειν, καὶ ὡς ἀδυνάτως ἔχει Φορμίων, αὐτοὶ πάντες ὁρᾶτε, ὦ ἄνδρες Ἀθηναῖοι· ἀνάγκη δ᾿ ἐστὶ τοῖς ἐπιτηδείοις ἡμῖν, ἃ σύνισμεν πολλάκις τούτου διεξιόντος ἀκηκοότες, λέγειν καὶ διδάσκειν ὑμᾶς, ἵν᾿ εἰδότες καὶ μεμαθηκότες ὀρθῶς τὰ δίκαια παρ᾿ ἡμῶν,
2 ἃ ἂν ᾖ δίκαια καὶ [x] εὔορκα, [y] ταῦτα ψηφίσησθε. τὴν

[p] *ἀσπιδοπηγείου*] *ἀσπιδοπηγίου* F. hic et infra. [q] *δὲ* Wolfius. Legebatur *γάρ*. [r] *ἑαυτοὺς*] *αὐτοὺς* F. [s] *Δεινίας*] *νιδίας* F. [t] *ἴδια*] *ἠδιὰ* F. [u] *δεικνυμένης* B. Scribebatur *δεικνυομένης*. [x] *εὔορκα*] *ἔνορκα* Q. [y] *ταῦτα ψηφίσησθε*] *καταψηφίσησθε* A.r.

μὲν οὖν παραγραφὴν ἐποιησάμεθα τῆς δίκης οὐχ ἵν' ἐκ-
κρούοντες χρόνους ἐμποιῶμεν, ἀλλ' [z]ἵνα τῶν πραγμά-
των, ἐὰν ἐπιδείξῃ μηδ' ὁτιοῦν ἀδικοῦνθ' ἑαυτὸν [a]οὑτοσί,
ἀπαλλαγή τις αὐτῷ [b]γένηται παρ' ὑμῖν κυρία. ὅσα γὰρ
παρὰ τοῖς ἄλλοις ἐστὶν ἀνθρώποις ἰσχυρὰ καὶ βέβαια
ἄνευ τοῦ παρ' ὑμῖν ἀγωνίσασθαι, ταῦτα πάντα [c]πε- 945
ποιηκὼς Φορμίων οὑτοσί, καὶ πολλὰ μὲν εὖ πεποιηκὼς
3 Ἀπολλόδωρον τουτονί, πάντα δ', ὅσων κύριος τῶν τούτου
κατελείφθη, διαλύσας καὶ παραδοὺς δικαίως, καὶ πάν-
των ἀφεθεὶς μετὰ ταῦτα τῶν ἐγκλημάτων, ὅμως, ὡς
ὁρᾶτε, ἐπειδὴ φέρειν [d]τοῦτον οὐχ οἷός τ' ἐστί, δίκην [e]τα-
λάντων εἴκοσι λαχὼν αὐτῷ ταύτην συκοφαντεῖ. ἐξ ἀρχῆς
οὖν ἅπαντα τὰ πραχθέντα τούτῳ πρὸς Πασίωνα καὶ
Ἀπολλόδωρον ὡς ἂν δύνωμαι διὰ βραχυτάτων εἰπεῖν
πειράσομαι, ἐξ ὧν εὖ οἶδ' ὅτι ἥ τε τούτου συκοφαντία
φανερὰ γενήσεται, καὶ [f]ὡς οὐκ εἰσαγώγιμος ἡ δίκη
γνώσεσθε [g]ἅμα ταῦτ' [h]ἀκούσαντες.
4 Πρῶτον μὲν οὖν ὑμῖν ἀναγνώσεται τὰς συνθήκας, καθ'
ἃς ἐμίσθωσε Πασίων τὴν τράπεζαν τούτῳ καὶ τὸ [i]ἀσπι-
δοπηγεῖον. καί μοι λαβὲ τὰς συνθήκας καὶ τὴν πρό-
κλησιν καὶ τὰς μαρτυρίας [k]ταυτασί.

ΣΥΝΘΗΚΑΙ. ΠΡΟΚΛΗΣΙΣ. ΜΑΡΤΥΡΙΑΙ.

5 Αἱ μὲν οὖν συνθῆκαι, καθ' ἃς ἐμίσθωσεν ὁ Πασίων
[l]τούτῳ τὴν τράπεζαν καὶ τὸ [m]ἀσπιδοπηγεῖον ἤδη καθ'
ἑαυτὸν ὄντι, αὗταί εἰσιν, ὦ ἄνδρες Ἀθηναῖοι· δεῖ δ' ὑμᾶς
ἀκοῦσαι καὶ μαθεῖν ἐκ τίνος τρόπου προσώφειλε τὰ ἕν-
6 δεκα τάλαντα ὁ Πασίων ἐπὶ τὴν τράπεζαν. οὐ γὰρ δι'
ἀπορίαν ταῦτ' ὤφειλεν, ἀλλὰ διὰ φιλεργίαν. ἡ μὲν γὰρ

[z] ἵνα] ἵν' ἐκ A.r. [a] οὑτοσί] οὑτοσὶν r. om. F.Q. [b] γένηται] γένοιτο F.Q. [c] πεποιηκὼς] πεποίηκε A.r. [d] τοῦτον οὐχ S. οὐκέτι τοῦτον vulgo. [e] ταλάντων εἴκοσι] εἴκοσι ταλάντων A.r. [f] ὡς om. A.r. [g] ἅμα] δ' ἅμα A.r. [h] ἀκούσαντες] ἀκούοντες A.F.Q.r. [i] ἀσπιδοπηγεῖον in γρ. B. ἀσπιδοπήγιον A.B.F.S.Q.r. [k] ταυτασί] ταύτας A.r. [l] τούτῳ τὴν τράπεζαν A.S.r. τὴν τράπεζαν τούτῳ vulgo. [m] ἀσπιδοπηγεῖον] ἀσπιδοπήγιον libri.

ἔγγειος ἦν οὐσία Πασίωνι μάλιστα ταλάντων εἴκοσιν,
ἀργύριον δὲ πρὸς [n]ταύτῃ δεδανεισμένον ἴδιον πλέον ἢ πεν-
τήκοντα τάλαντα. ἐν [o]οὖν τοῖς πεντήκοντα ταλάντοις
τούτοις ἀπὸ τῶν παρακαταθηκῶν [p]τῶν τῆς τραπέζης ἕν- 946
7 δεκα τάλαντα ἐνεργὰ ἦν. μισθούμενος [q]οὖν ὅδε τὴν ἐργα-
σίαν [r]ταύτην [s]τὴν τῆς τραπέζης καὶ τὰς παρακαταθήκας
λαμβάνων, ὁρῶν ὅτι μήπω τῆς πολιτείας αὐτῷ παρ' ὑμῖν
οὔσης οὐχ οἷός τε ἔσοιτο εἰσπράττειν ὅσα Πασίων [t]ἐπὶ
γῇ καὶ συνοικίαις δεδανεικὼς ἦν, [u]εἵλετο μᾶλλον αὐτὸν
τὸν Πασίωνα χρήστην ἔχειν τούτων τῶν χρημάτων ἢ τοὺς
8 ἄλλους χρήστας, οἷς [x]προειμένος ἦν. καὶ οὕτω διὰ ταῦτ'
ἐγράφη εἰς τὴν μίσθωσιν προσοφείλων ὁ Πασίων [y]ἕνδεκα
τάλαντα, ὥσπερ καὶ μεμαρτύρηται ὑμῖν.

Ὃν μὲν [z]τοίνυν τρόπον ἡ μίσθωσις ἐγένετο, μεμαρτύρηται ὑμῖν ὑπ' αὐτοῦ τοῦ [a]ἐπικαθημένου· ἐπιγενομένης δὲ ἀρρωστίας τῷ Πασίωνι μετὰ ταῦτα, σκέψασθ' ἃ διέθετο. λαβὲ τῆς διαθήκης τὸ ἀντίγραφον καὶ τὴν πρόκλησιν [b]ταυτηνὶ καὶ τὰς μαρτυρίας [c]ταυτασὶ, παρ' οἷς αἱ διαθῆκαι κεῖνται.

[d]ΔΙΑΘΗΚΗ. ΠΡΟΚΛΗΣΙΣ. ΜΑΡΤΥΡΙΑΙ.

9 Ἐπειδὴ τοίνυν ὁ Πασίων ἐτετελευτήκει ταῦτα διαθέμενος, Φορμίων οὑτοσὶ τὴν μὲν γυναῖκα λαμβάνει κατὰ [e]τὴν διαθήκην, τὸν δὲ παῖδα [f]ἐπετρόπευεν. ἁρπάζοντος δὲ τούτου καὶ πολλὰ ἀπὸ κοινῶν [g]ὄντων τῶν χρημάτων ἀναλίσκειν οἰομένου δεῖν, λογιζόμενοι πρὸς ἑαυτοὺς οἱ ἐπίτροποι ὅτι, εἰ δεήσει κατὰ τὰς διαθήκας, ὅσ' ἂν οὗτος ἐκ κοινῶν τῶν χρημάτων ἀναλώσῃ, [h]τούτους ἐξελόντας

[n] ταύτῃ] ταύτην A.r. [o] οὖν τοῖς πεντήκοντα ταλάντοις om. A.r. [p] τῶν om. r. [q] οὖν] μὲν r. [r] ταύτην] αὐτὴν A.S.r. [s] τὴν om. S. [t] ἐπὶ γῇ] ἐπείγει A.r. [u] εἵλετο] εἵλατο Q. [x] προειμένος Wolfius. προειεμενος S. προϊέμενος A.F.Q.r. [y] ἕνδεκα] τὰ ἕνδεκα A.r. [z] τοίνυν om. r. [a] ἐπικαθημένου A.S.r. Legebatur ἐπικαθημένου ἐπὶ τῇ τραπέζῃ. [b] ταυτηνὶ] ταύτην A.S.r. [c] ταυτασὶ] ταύτας A.r. [d] ΔΙΑΘΗΚΗ] ἀντίγραφον A.S.r. [e] τὴν om. F.Q. [f] ἐπετρόπευεν] ἐπετρόπευ[σ]εν F. [g] ὄντων om. F.Q. [h] τούτους S. Legebatur τούτοις.

[i] ἀντιμοιρεὶ τὰ λοιπὰ [k] νέμειν, οὐδ' ὁτιοῦν ἔσται περιὸν,
10 νείμασθαι τὰ ὄντα ὑπὲρ τοῦ παιδὸς ἔγνωσαν. καὶ νέ- 947
μονται τὴν ἄλλην οὐσίαν πλὴν ὧν [l] ἐμεμίσθωτο οὑτοσί·
τούτων δὲ τῆς προσόδου τὴν ἡμίσειαν τούτῳ ἀπεδίδοσαν.
ἄχρι μὲν οὖν τούτου τοῦ χρόνου πῶς ἔνεστ' ἐγκαλεῖν
αὐτῷ μισθώσεως; οὐ γὰρ νῦν, ἀλλὰ τότ' εὐθὺς ἔδει
χαλεπαίνοντα φαίνεσθαι. καὶ μὴν οὐδὲ τὰς [m] ἐπιγενο-
μένας μισθώσεις ὡς οὐκ ἀπείληφεν ἔστ' εἰπεῖν αὐτῷ.
11 οὐ γὰρ ἄν [n] ποτε, ἐπειδὴ δοκιμασθέντος Πασικλέους
ἀπηλλάττετο τῆς μισθώσεως ὅδε, ἀφῆκατ' ἂν [o] αὐτὸν
ἁπάντων τῶν ἐγκλημάτων, ἀλλὰ τότ' ἂν παραχρῆμα
ἀπῃτεῖτε, εἴ τι προσώφειλεν ὑμῖν. ὡς τοίνυν ταῦτ' ἀληθῆ
λέγω, καὶ ἐνείματο οὗτος πρὸς τὸν ἀδελφὸν παῖδ' ὄντα,
καὶ ἀφῆκαν τῆς μισθώσεως καὶ τῶν ἄλλων [p] ἁπάντων
ἐγκλημάτων, λαβὲ [q] ταυτηνὶ τὴν μαρτυρίαν.

ΜΑΡΤΥΡΙΑ.

12 Εὐθὺς τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, ὡς ἀφεῖσαν τουτονὶ
τῆς μισθώσεως, νέμονται τὴν τράπεζαν καὶ τὸ [r] ἀσπιδο-
πηγεῖον, [s] καὶ λαβὼν αἵρεσιν Ἀπολλόδωρος αἱρεῖται τὸ
ἀσπιδοπηγεῖον ἀντὶ τῆς τραπέζης. καίτοι εἰ ἦν [t] ἰδία τις
ἀφορμὴ τούτῳ πρὸς τῇ τραπέζῃ, τί δή ποτ' ἂν εἵλετο
τοῦτο μᾶλλον ἢ ἐκείνην; οὔτε γὰρ ἡ πρόσοδος ἦν πλείων,
13 ἀλλ' ἐλάττων (τὸ μὲν γὰρ τάλαντον, [u] ἡ δ' ἑκατὸν μνᾶς
ἔφερεν), οὔτε τὸ κτῆμα [x] ἥδιον, εἰ προσῆν χρήματα τῇ
τραπέζῃ [y] ἴδια. ἀλλ' [z] οὐ προσῆν. διόπερ [a] σωφρονῶν εἵ-

[i] ἀντιμοιρεὶ Wolfius. ἀντιμοιρεῖ F.Q. et qui accentu caret S. τὰς ἀντιμοιρίας A.r. [k] νέμειν] μένειν r. [l] ἐμεμίσθωτο] ἐμισθώσατο F.Q. [m] ἐπιγενομένας] ἐπιγιγνομένας F.S.Q. [n] ποτε] τότ' A.r. [o] αὐτὸν ἁπάντων] αὐτὸν πάντων Q. [p] ἁπάντων om. A.r. [q] ταυτηνὶ] ταύτην A.F.Q.r. Idem primo scriptum fuit in S. in quo librarius ι postmodum inseruit. [r] ἀσπιδοπηγεῖον margo B. ἀσπιδοπήγιον A.B.S. aliique hic et v. 29. 948, 21. 951, 22. 955, 19. [s] καὶ λαβὼν—ἀσπιδοπηγεῖον om. S. [t] ἰδία] καὶ S. [u] ἡ δ' ἑκατὸν] ἡ δὲ (non ἥδε, quod Reiskius affert) δέκατον A.r. Id est ἡ δ' ἑκατὸν, quod ex S. dedi pro vulgato ἡ δὲ ἑκατόν. [x] ἥδιον Wolfius. ἡδεῖον A.r. ἴδιον F.S.Q. [y] ἴδια] ἰδίᾳ A. ἰδία r. [z] οὐ] οὐχὶ A.r. [a] σωφρονῶν] σωφρόνως F.Q.

λετο τὸ ἀσπιδοπηγεῖον [b]οὑτοσί· τὸ μὲν [c]γὰρ κτῆμ' ἀκίν- 948
δυνόν ἐστιν, ἡ δ' ἐργασία προσόδους ἔχουσα ἐπικινδύνους ἀπὸ χρημάτων ἀλλοτρίων.

14 Πολλὰ δ' ἂν τις ἔχοι λέγειν καὶ ἐπιδεικνύναι σημεῖα [d]τοῦ τοῦτον [e]συκοφαντεῖν ἐγκαλοῦντ' [f]ἀφορμήν. ἀλλ', οἶμαι, μέγιστον μέν [g]ἐστιν ἁπάντων τεκμήριον τοῦ μηδεμίαν λαβεῖν ἀφορμὴν εἰς ταῦτα [h]τουτονὶ τὸ ἐν τῇ μισθώσει γεγράφθαι προσοφείλοντα τὸν Πασίων' ἐπὶ τὴν τράπεζαν, οὐ δεδωκότα ἀφορμὴν τούτῳ, δεύτερον δὲ [i]τὸ τοῦτον ἐν τῇ νομῇ [k]μηδὲν ἐγκαλοῦντα φαίνεσθαι, τρίτον δ', ὅτι μισθῶν ἑτέροις [l]ὕστερον [m]ταὐτὰ ταῦτα τοῦ ἴσου [n]ἀργυρίου [o]οὐ φανήσεται προσμεμισθωκὼς ἰδίαν ἀφορμήν.
15 καίτοι εἰ, ἣν ὁ πατὴρ παρέσχεν, ὑπὸ τοῦδε [p]ἀπεστέρητο, αὐτὸν νῦν προσῆκεν [q]ἐκείνοις ἄλλοθεν πορίσαντα δεδωκέναι. ὡς τοίνυν ταῦτ' ἀληθῆ λέγω, καὶ ἐμίσθωσεν ὕστερον Ξένωνι καὶ [r]Εὐφραίῳ καὶ Εὔφρονι καὶ Καλλιστράτῳ, καὶ οὐδὲ τούτοις παρέδωκεν [s]ἰδίαν ἀφορμήν, ἀλλὰ τὰς παρακαταθήκας καὶ τὴν [t]ἀπὸ [u]τούτων ἐργασίαν αὐτὴν [x]ἐμισθώσαντο, λαβέ μοι τὴν τούτων μαρτυρίαν, καὶ ὡς τὸ ἀσπιδοπηγεῖον εἵλετο.

ΜΑΡΤΥΡΙΑ.

16 Μεμαρτύρηται [y]μὲν τοίνυν ὑμῖν, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι καὶ τούτοις ἐμίσθωσαν καὶ οὐ παρέδωκαν ἰδίαν ἀφορμὴν οὐδεμίαν, καὶ ἐλευθέρους [z]ἀφεῖσαν ὡς μεγάλα εὖ

[b] οὑτοσί] οὗτος S. om. A.r. [c] γὰρ om. r. [d] τοῦ τοῦτον] τοῦτον Q. τούτου τὸν A. τούτου τοῦ r. [e] συκοφαντεῖν] συκοφάντην S. superscripto a correctore εῖ. [f] ἀφορμήν S. Φορμίωνι vulgo. [g] ἐστιν ἁπάντων τεκμήριον A.S.r. ἁπάντων τεκμήριον ἐστι F. ἁπάντων τεκμήριόν ἐστι Q. (ἐπὶ superscripto) [h] τουτονὶ] τοῦτον F.Q. [i] τὸ om. Q. in margine a m. pr. habet S. [k] μηδὲν] μηδὲ S. [l] ὕστερον om. F.Q. [m] ταὐτὰ om. A.r. [n] ἀργυρίου] μαρτυρίου pr. S. [o] οὐ om. F.Q. [p] ἀπεστέρητο Schæferus. ἀποστεροῖτο F.Q. Legebatur ἀπεστερεῖτο, consentiente S., nisi quod accentu caret. [q] ἐκείνοις om. F.Q. [r] Εὐφραίῳ] εὐφοραίῳ r. [s] ἰδίαν] Literas ἰδί in litura habet A. [t] ἀπὸ om. A.r. [u] Post τούτων in A. vocabulum erasum, cujus ultima litera ν fuit. Fortasse ἐργασίαν bis scriptum fuit. [x] ἐμισθώσαντο] ἐμισθώσατο F.Q. [y] μὲν τοίνυν] μέντοι A.r. [z] ἀφεῖσαν] τ' ἀφεῖσαν F.Q.

[a] πεπονθότες, καὶ οὐκ ἐδικάζοντο οὔτ' ἐκείνοις τότ' οὔτε τούτῳ. ὃν μὲν τοίνυν χρόνον ἡ μήτηρ ἔζη ἡ πάντα [b] ταῦτ' ἀκριβῶς εἰδυῖα, οὐδὲν ἔγκλημα [c] πώποτε ἐποιήσατο πρὸς
17 τουτονὶ Φορμίωνα [d] Ἀπολλόδωρος· ὡς δ' ἐτελεύτησεν ἐκείνη, τρισχιλίας ἐγκαλέσας ἀργυρίου δραχμὰς πρὸς 949
αἷς ἔδωκεν ἐκείνη [e] δισχιλίαις τοῖς τούτου παιδίοις, καὶ χιτωνίσκον τινὰ καὶ θεράπαιναν, ἐσυκοφάντει. καὶ οὐδ' ἐνταῦθα τούτων οὐδὲν ὧν νῦν ἐγκαλεῖ λέγων φανήσεται.
18 ἐπιτρέψας δὲ τῷ τε τῆς ἑαυτοῦ γυναικὸς πατρὶ καὶ τῷ συγκηδεστῇ τῷ [f] αὑτοῦ καὶ Λυσίνῳ καὶ Ἀνδρομένει, πεισάντων τούτων Φορμίωνα τουτονὶ δοῦναι δωρεὰν τὰς [g] τρισχιλίας καὶ τὸ [h] προσὸν καὶ φίλον [i] μᾶλλον ἔχειν τοῦτον ἢ διὰ ταῦτ' ἐχθρὸν [k] αὐτὸν εἶναι, λαβὼν τὸ σύμπαν πεντακισχιλίας, καὶ πάντων ἀφεὶς τῶν ἐγκλημάτων τὸ δεύτερον
19 εἰς τὸ ἱερὸν τῆς Ἀθηνᾶς ἐλθὼν, πάλιν, ὡς ὁρᾶτε, δικάζεται, πάσας αἰτίας συμπλάσας καὶ ἐγκλήματα ἐκ παντὸς τοῦ χρόνου τοῦ πρὸ τούτου (τοῦτο γάρ ἐστι μέγιστον ἁπάντων), ἃ οὐδεπώποτ' ᾐτιάσατο. ὡς τοίνυν ταῦτ' ἀληθῆ λέγω, λαβέ μοι τὴν γνῶσιν τὴν γενομένην ἐν ἀκροπόλει, καὶ τὴν μαρτυρίαν τῶν παραγενομένων, ὅτ' [l] ἠφίει τῶν ἐγκλημάτων ἁπάντων Ἀπολλόδωρος, λαμβάνων τοῦτο τὸ ἀργύριον.

ΓΝΩΣΙΣ. ΜΑΡΤΥΡΙΑ.

20 Ἀκούετε τῆς γνώσεως, ὦ ἄνδρες δικασταὶ, ἣν ἔγνω Δεινίας, οὗ τὴν θυγατέρα οὗτος ἔχει, καὶ Νικίας ὁ τὴν ἀδελφὴν τῆς τούτου γυναικὸς ἔχων. ταῦτα τοίνυν λαβὼν καὶ ἀφεὶς ἁπάντων τῶν ἐγκλημάτων, ὥσπερ ἢ πάντων

[a] πεπονθότες] πεπονθότας Q. [b] ταῦτα hic loco A.r. post ἀκριβῶς S. post εἰδυῖα vulgo. [c] πώποτε ἐποιήσατο] ἐποιήσατο πώποτε A.r. Nam falsum est quod πώποτε ab A. abesse refert Reiskius. [d] Ἀπολλόδωρος in γρ. F.Q. [e] δισχιλίαις] δισχιλίας S. [f] αὑτοῦ S. ἑαυτοῦ vulgo. [g] τρισχιλίας] τρισχιλίας δραχμὰς A.r. [h] προσὸν] πρὸς ὃν r. [i] μᾶλλον] καὶ μᾶλλον A. (in quo καὶ punctis notatum) et r. [k] αὐτὸν εἶναι S. εἶναι αὐτὸν A.r. Aberat αὐτόν. [l] ἠφίει] ἀφίει (η superscr.) F. Scribebatur ἀφίει. Vid. ad p. 540, 11.

τεθνεώτων τούτων ἢ τῆς ἀληθείας οὐ γενησομένης φανερᾶς,
δίκην τοσούτων ταλάντων λαχὼν τολμᾷ δικάζεσθαι.
21 Τὰ μὲν οὖν πεπραγμένα καὶ γεγενημένα Φορμίωνι
πρὸς Ἀπολλόδωρον ἐξ ἀρχῆς ἅπαντ' ἀκηκόατε, ὦ ἄν-
δρες Ἀθηναῖοι. οἶμαι δ' Ἀπολλόδωρον τουτονὶ οὐδὲν 950
ἔχοντα δίκαιον εἰπεῖν περὶ ὧν ἐγκαλεῖ, [m]ἅπερ παρὰ τῷ
διαιτητῇ λέγειν [n]ἐτόλμα, ταῦτ' ἐρεῖν, ὡς τὰ γράμματα
ἡ μήτηρ [o]ἠφάνικε πεισθεῖσα ὑπὸ τούτου, καὶ τούτων
ἀπολωλότων οὐκ ἔχει τίνα [p]χρὴ τρόπον ταῦτ' ἐξελέγχειν
22 ἀκριβῶς. περὶ δὴ τούτων καὶ ταύτης τῆς αἰτίας σκέψα-
σθε, ἡλίκ' ἄν τις ἔχοι τεκμήρια εἰπεῖν ὅτι ψεύδεται.
πρῶτον μὲν [q]γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, τίς ἂν ἐνείματο τὰ
πατρῷα μὴ λαβὼν γράμματα ἐξ ὧν ἤμελλεν εἴσεσθαι
τὴν καταλειφθεῖσαν οὐσίαν; [r]οὐδὲ εἷς δήπου. καίτοι δυοῖν
δέοντα εἴκοσιν ἔτη ἐστὶν ἐξ ὅτου ἐνείμω, καὶ οὐκ ἂν ἔχοις
ἐπιδεῖξαι ὡς ἐνεκάλεσας πώποτε ὑπὲρ τῶν [s]γραμμά-
23 των. δεύτερον δέ, τίς οὐκ ἄν, ἡνίκα [t]ὁ Πασικλῆς ἀνὴρ γε-
γονὼς ἐκομίζετο τὸν λόγον τῆς ἐπιτροπῆς, εἰ δι' αὐτοῦ τὰ
γράμματ' ὤκνει τὴν μητέρα αἰτιᾶσθαι διεφθαρκέναι, τού-
τῳ ταῦτ' ἐδήλωσεν, ὅπως διὰ τούτου ταῦτα [u]ἠλέγχθη;
τρίτον δ', ἐκ ποίων γραμμάτων τὰς δίκας ἐλάγχανες;
οὗτος γὰρ πολλοῖς τῶν πολιτῶν δίκας λαγχάνων πολ-
λὰ χρήματα εἰσπέπρακται, γράφων εἰς τὰ ἐγκλήματα
24 "ἔβλαψέ [x]με ὁ δεῖνα οὐκ ἀποδιδοὺς ἐμοὶ τὸ ἀργύριον,
"ὃ [y]κατέλιπεν ὁ πατὴρ ὀφείλοντα αὐτὸν ἐν τοῖς γράμ-
"μασιν." καίτοι εἰ ἠφάνιστο [z]τὰ γράμματα, ἐκ ποίων
γραμμάτων τὰς δίκας [a]ἐλάγχανεν; ἀλλὰ μὴν ὅτι ταῦτ'
ἀληθῆ λέγω, τὴν μὲν νομὴν ἀκηκόατε, ἣν ἐνείματο, καὶ

[m] ἅπερ] ἅνπερ A. [n] ἐτόλμα] ἐτόλμησε A.r. [o] ἠφάνικε] ταῦτα ἠφάνικε S. [p] χρὴ τρόπον ταῦτ' ἐξελέγχειν] τρόπον χρὴ ταῦτ' ἐλέγχειν r. [q] γὰρ om. r. [r] οὐδὲ εἷς] οὐδεὶς A. [s] γραμμάτων] γραμμάτων ὧν λέγεις A.r. [t] ὁ om. F.Q. [u] ἠλέγχθη] ἐλεγχθῇ A.r. [x] με] μοι r. [y] κατέλιπεν] κατέλειπεν S. [z] τὰ γράμματα] τὸ γράμμα S. [a] ἐλάγχανεν A.S.r. Legebatur ἐλάγχανες.

μεμαρτύρηται ὑμῖν· τῶν δὲ λήξεων τούτων ἀναγνώσεται
25 ὑμῖν τὰς μαρτυρίας. λαβὲ τὰς μαρτυρίας μοι.

[b]ΜΑΡΤΥΡΙΑΙ.

Οὐκοῦν ἐν ταύταις ταῖς λήξεσιν ὡμολόγηκεν ἀπειλη- 951
φέναι τὰ τοῦ πατρὸς γράμματα· οὐ γὰρ [c]δὴ συκοφαν-
τεῖν γε, οὐδ' ὧν οὐκ ὤφειλον [d]οὗτοι δικάζεσθαι φήσειεν ἄν.
26 Νομίζω τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, μεγάλων καὶ πολ-
λῶν ὄντων ἐξ ὧν ἔστιν ἰδεῖν [e]οὐκ ἀδικοῦντα Φορμίωνα
[f]τουτονὶ, μέγιστον ἁπάντων εἶναι, ὅτι Πασικλῆς, ἀδελφὸς
ὢν Ἀπολλοδώρου [g]τουτουὶ, οὔτε δίκην εἴληχεν οὔτ' ἄλλ'
27 οὐδὲν ὧν οὗτος ἐγκαλεῖ. καίτοι οὐ δήπου τὸν μὲν παῖδα
ὑπὸ τοῦ πατρὸς καταλειφθέντα, καὶ οὗ τῶν ὄντων κύριος
ἦν, ἐπίτροπος καταλελειμμένος, οὐκ ἂν ἠδίκει, σὲ δὲ, ὃς
ἀνὴρ κατελείφθης τέτταρα καὶ εἴκοσιν ἔτη γεγονὼς, καὶ
ὑπὲρ σαυτοῦ ῥᾳδίως ἂν τὰ δίκαια ἐλάμβανες εὐθὺς, [h]εἴ
τι ἠδικοῦ. οὐκ ἔστι ταῦτα. ὡς τοίνυν ταῦτ' ἀληθῆ λέγω
καὶ ὁ Πασικλῆς οὐδὲν ἐγκαλεῖ, λαβέ μοι τὴν τούτου
μαρτυρίαν.

ΜΑΡΤΥΡΙΑ.

28 Ἃ τοίνυν [i]ἤδη περὶ αὐτοῦ τοῦ μὴ εἰσαγώγιμον εἶναι
τὴν δίκην δεῖ σκοπεῖν ὑμᾶς, ταῦτ' ἀναμνήσθητε ἐκ τῶν
εἰρημένων. ἡμεῖς γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι, γεγενημένου
[k]μὲν διαλογισμοῦ καὶ ἀφέσεως τῆς τραπέζης καὶ τοῦ
ἀσπιδοπηγείου τῆς μισθώσεως, γεγενημένης δὲ διαίτης
καὶ [l]πάλιν πάντων ἀφέσεως, οὐκ ἐώντων τῶν νόμων δί-
κας ὧν ἂν ἀφῇ τις ἅπαξ λαγχάνειν, συκοφαντοῦντος
29 τούτου καὶ παρὰ τοὺς νόμους δικαζομένου παρεγραψά-
μεθα ἐκ τῶν νόμων μὴ [m]εἶναι τὴν δίκην εἰσαγώγιμον.

[b] ΜΑΡΤΥΡΙΑΙ] ΜΑΡΤΥΡΙΑ S. [c] δὴ—οὗτοι] δεῖ—αὐτοὶ A.r. [d] οὗτοι] αὐτοὶ A. [e] οὐκ] οὐδ' B. [f] τουτονὶ] οὐδενὶ r. [g] τουτουὶ] τούτου A.r. [h] εἴ] η Q. [i] ἤδη] ἤδη καὶ A.r. om. F.Q. [k] μὲν om. F.Q. [l] πάλιν πάντων ἀφέσεως S. πάντων πάλιν ἀφέσεως F.Q. πάλιν ἀφέσεως πάντων A.r. [m] εἶναι τὴν δίκην εἰσαγώγιμον S. εἶναι εἰσαγώγιμον τὴν δίκην A.r. εἰσαγώγιμον εἶναι τὴν δίκην F.Q.

ἵν' οὖν [n]εἰδῆθ' ὑπὲρ οὗ τὴν ψῆφον οἴσετε, τόν [o]τε νόμον ὑμῖν τοῦτον ἀναγνώσεται καὶ τὰς μαρτυρίας ἐφεξῆς τῶν παρόντων, [p]ὅτ' [q]ἠφίει τῆς μισθώσεως καὶ τῶν ἄλλων 952
ἁπάντων ἐγκλημάτων Ἀπολλόδωρος [r]Φορμίωνα. λαβέ μοι τὰς μαρτυρίας ταυτασὶ καὶ τὸν νόμον.

ΜΑΡΤΥΡΙΑΙ. [s]ΝΟΜΟΣ.

30 Ἀκούετε τοῦ νόμου λέγοντος, ὦ ἄνδρες Ἀθηναῖοι, τά τε ἄλλα ὧν μὴ εἶναι δίκας [t]καὶ ὅσα τις ἀφῆκεν ἢ ἀπήλλαξεν. εἰκότως· εἰ γάρ ἐστι δίκαιον, ὧν [u]ἂν ἅπαξ γένηται δίκη, μηκέτ' ἐξεῖναι δικάζεσθαι, πολὺ τῶν ἀφεθέντων δικαιότερον μὴ εἶναι δίκας. ὁ μὲν γὰρ ἐν ὑμῖν ἡτ-
31 τηθεὶς τάχ' ἂν εἴποι [x]τοῦτο ὡς [y]ἐξηπατήθητε ὑμεῖς· ὁ δὲ αὐτοῦ φανερῶς καταγνοὺς καὶ ἀφεὶς καὶ ἀπαλλάξας, τίν' ἂν ἑαυτὸν [z]αἰτίαν αἰτιασάμενος τῶν αὐτῶν πάλιν εἰκότως δικάζοιτο; οὐδεμίαν δήπου. διόπερ [a]τοῦτο πρῶτον ἔγραψεν ὁ τὸν νόμον [b]θεὶς ὧν μὴ εἶναι δίκας, ὅσα τις ἀφῆκεν ἢ ἀπήλλαξεν. ἃ τῷδε γέγονεν ἀμφότερα· καὶ γὰρ ἀφῆκε καὶ ἀπήλλαξεν. ὡς δ' ἀληθῆ λέγω, μεμαρτύρηται ὑμῖν, ὦ ἄνδρες Ἀθηναῖοι.

32 Λαβὲ δή μοι καὶ τὸν τῆς προθεσμίας νόμον.

ΝΟΜΟΣ.

Ὁ μὲν τοίνυν νόμος, ὦ ἄνδρες Ἀθηναῖοι, σαφῶς [c]οὑτωσὶ τὸν χρόνον ὥρισεν· Ἀπολλόδωρος [d]δ' οὑτοσὶ παρεληλυθότων ἐτῶν πλέον ἢ εἴκοσι τὴν ἑαυτοῦ συκοφαντίαν ἀξιοῖ περὶ πλείονος ὑμᾶς ποιήσασθαι τῶν νόμων, καθ' οὓς ὀμωμοκότες δικάζετε. καίτοι πᾶσι μὲν τοῖς νόμοις

[n] εἰδῆθ'] ἴδητε correctus S. ηδητε pr. S. [o] τε om. r. [p] ὅτ'] ὅτι A. [q] ἠφίει] ἀφίει A.S.r. [r] Φορμίωνα om. A.S.r. [s] ΝΟΜΟΣ] νόμοι F.Q. [t] καὶ ὅσα—εἶναι δίκας om. pr. S. in quo supplevit m. multo recentior. [u] ἂν om. B.Q. et margo S. [x] τοῦτο addidi ex A.S.r. [y] ἐξηπατήθητε] ἐξηπάτησθε r. [z] αἰτίαν om. S. Idem a pr. m. αιτιαναμενος habuit, ubi ν in σ mutavit corrector. [a] τοῦτο πρῶτον ἔγραψεν] τοῦτ' ἔγραψεν A.r. [b] θεὶς ὧν] θήσων S. literis θη (quæ in litura literarum τι scriptæ sunt) in fine, σων in initio versus positis. [c] οὑτωσὶ] οὑτοσὶ pr. A. ut videtur. [d] δ' supra versum a m. pr. habet S.

προσέχειν [e] εἰκός ἐσθ' ὑμᾶς, οὐχ ἥκιστα δὲ τούτῳ, ὦ ἄν-
33 δρες Ἀθηναῖοι. δοκεῖ γάρ μοι καὶ ὁ Σόλων οὐδενὸς ἄλ-
λου ἕνεκα θεῖναι αὐτὸν ἢ τοῦ μὴ συκοφαντεῖσθαι ὑμᾶς.
τοῖς μὲν γὰρ ἀδικουμένοις [f] τὰ πέντε ἔτη ἱκανὸν ἡγήσατ' 953
εἶναι εἰσπράξασθαι· κατὰ δὲ τῶν ψευδομένων τὸν χρόνον
[g] ἐνόμισε σαφέστατον ἔλεγχον ἔσεσθαι. καὶ [h] ἅμα ἐπειδὴ
ἀδύνατον ἔγνω [i] ὂν τούς τε [k] συμβάλλοντας καὶ τοὺς μάρ-
τυρας ἀεὶ ζῆν, τὸν νόμον ἀντὶ τούτων ἔθηκεν, ὅπως [l] μάρ-
τυς εἴη τοῦ δικαίου τοῖς [m] ἐρήμοις.
34 Θαυμάζω [n] τοίνυν ἔγωγ', ὦ ἄνδρες δικασταὶ, τί [o] ποτ'
ἐστὶν ἃ πρὸς ταῦτ' ἐπιχειρήσει λέγειν Ἀπολλόδωρος οὑ-
τοσί. οὐ γὰρ ἐκεῖνό γ' ὑπείληφεν, ὡς ὑμεῖς, [p] μηδὲν ὁρῶν-
τες εἰς χρήματα τοῦτον ἠδικημένον, ὀργιεῖσθ' ὅτι τὴν
μητέρ' [q] ἔγημεν αὐτοῦ Φορμίων. οὐ γὰρ ἀγνοεῖ τοῦτο, οὐδ'
35 αὐτὸν λέληθεν, [r] οὐδ' ὑμῶν πολλοὺς, ὅτι Σωκράτης ὁ τρα-
πεζίτης ἐκεῖνος, παρὰ τῶν κυρίων ἀπαλλαγεὶς ὥσπερ ὁ
τούτου πατὴρ, ἔδωκε Σατύρῳ τὴν ἑαυτοῦ γυναῖκα, ἑαυτοῦ
ποτὲ γενομένῳ. ἕτερος Σωκλῆς [s] τραπεζιτεύσας ἔδωκε τὴν
ἑαυτοῦ γυναῖκα Τιμοδήμῳ τῷ νῦν ἔτ' ὄντι καὶ ζῶντι, γε-
36 νομένῳ ποτὲ [t] αὐτοῦ. καὶ οὐ μόνον ἐνθάδε [u] ταῦτα ποιοῦ-
σιν οἱ περὶ τὰς ἐργασίας [x] ὄντες ταύτας, ὦ ἄνδρες Ἀθη-
ναῖοι, ἀλλ' ἐν Αἰγίνῃ ἔδωκε Στρυμόδωρος [y] Ἑρμαίῳ τῷ
ἑαυτοῦ οἰκέτῃ τὴν γυναῖκα, καὶ τελευτησάσης ἐκείνης
ἔδωκε πάλιν τὴν θυγατέρα τὴν ἑαυτοῦ. καὶ πολλοὺς ἂν
37 ἔχοι τις εἰπεῖν τοιούτους. εἰκότως· ὑμῖν μὲν γὰρ, ὦ ἄν-
δρες Ἀθηναῖοι, τοῖς γένει πολίταις οὐδὲ ἓν πλῆθος χρη-

[e] εἰκός ἐσθ' ὑμᾶς] ἐσθ' ὑμᾶς εἰκὸς A.r. [f] τὰ πέντε ἔτη ἱκανὸν] ἱκανὰ τὰ πέντε ἔτη F.Q. [g] ἐνόμισε] ἐνόμιζε A.r. [h] ἅμα] ἅμα καὶ S. [i] ὂν] ἂν A. [k] συμβάλλοντας S. Legebatur συμβαλόντας. Conf. var. lect. ad p. 982, 14. [l] μάρτυς εἴη] μαρτυρησει η S. [m] ἐρήμοις] εἰρημένοις F.Q. [n] τοίνυν] τοιγαροῦν A.r. [o] ποτ' ἐστὶν ἃ om. A.r. [p] μηδὲν] οὐδὲν F.Q. [q] ἔγημεν αὐτοῦ] αὐτου εγημεν S. [r] οὐδ'] οὔθ' S. [s] τραπεζιτεύσας] ὁ τραπεζιτεύσας A.r. [t] αὐτοῦ S. ἑαυτοῦ vulgo. [u] ταῦτα] τοῦτο F.Q. [x] ὄντες ταύτας S. ταύτας ὄντες vulgo. [y] Ἑρμαίῳ] ἑρμέῳ F.Q.

μάτων ἀντὶ τοῦ γένους καλόν ἐστιν ἑλέσθαι· τοῖς δὲ [z] τοῦτο
μὲν δωρεὰν ἢ παρ' [a] ὑμῶν ἢ παρ' ἄλλων τινῶν λαβοῦσι,
τῇ τύχῃ δ' ἐξ ἀρχῆς ἀπὸ τοῦ [b] χρηματίσασθαι [c] καὶ ἑτέ-
ρων πλείω κτήσασθαι καὶ αὐτῶν τούτων ἀξιωθεῖσι ταῦτ'
38 ἐστὶ φυλακτέα. διόπερ Πασίων ὁ πατὴρ ὁ σὸς οὐ πρῶ-
τος οὐδὲ μόνος, οὐδ' αὐτὸν ὑβρίζων οὐδ' ὑμᾶς τοὺς υἱεῖς, 954
ἀλλὰ μόνην ὁρῶν σωτηρίαν τοῖς ἑαυτοῦ πράγμασιν, εἰ
τοῦτον ἀνάγκῃ ποιήσειεν οἰκεῖον ὑμῖν, ἔδωκε τὴν ἑαυτοῦ
γυναῖκα, μητέρα δ' ὑμετέραν τούτῳ. πρὸς μὲν οὖν τὰ
συμφέροντα ἐὰν ἐξετάζῃς, καλῶς [d] βεβουλευμένον αὐτὸν
39 εὑρήσεις· εἰ δὲ πρὸς [e] γένους δόξαν [f] ἀναίνει Φορμίωνα κη-
δεστήν, ὅρα μὴ γελοῖον ᾖ σὲ ταῦτα λέγειν. εἰ γάρ τις
ἔροιτό σε, ποῖόν τιν' ἡγεῖ τὸν πατέρα τὸν [g] σεαυτοῦ εἶναι,
χρηστὸν εὖ οἶδ' ὅτι φήσειας ἄν. πότερον οὖν οἴει μᾶλλον
ἐοικέναι τὸν τρόπον καὶ πάντα τὸν βίον Πασίωνι σαυτὸν
ἢ [h] τουτονί; ἐγὼ μὲν [i] γὰρ εὖ οἶδ' ὅτι τοῦτον. εἶθ' [k] ὅς ἐστιν
[l] ὁμοιότερος σοῦ τῷ σῷ πατρί, [m] τοῦτον, εἰ τὴν μητέρα τὴν
40 σὴν ἔγημεν, ἀναίνει; ἀλλὰ μὴν ὅτι γε δόντος καὶ ἐπι-
σκήψαντος τοῦ σοῦ πατρὸς ταῦτ' ἐπράχθη, οὐ μόνον ἐκ
τῆς διαθήκης ἔστιν ἰδεῖν, ὦ ἄνδρες Ἀθηναῖοι, ἀλλὰ καὶ
σὺ μάρτυς αὐτὸς γέγονας. [n] ὅτε γὰρ τὰ μητρῷα πρὸς
[o] μέρος [p] ἠξίους νέμεσθαι, ὄντων παίδων ἐκ τῆς γυναικὸς
Φορμίωνι τούτῳ, τότε ὡμολόγεις κυρίως δόντος τοῦ πα-
41 τρὸς τοῦ σοῦ κατὰ τοὺς νόμους αὐτὴν [q] γεγαμῆσθαι. εἰ
γὰρ αὐτὴν εἶχε λαβὼν ἀδίκως ὅδε μηδενὸς δόντος, οὐκ

[z] Post τοῦτο literæ duæ erasæ in S. [a] ὑμῶν] ἡμῶν r. [b] χρηματίσασθαι] χρηματίζεσθαι F.Q. [c] καὶ—κτήσασθαι om. A.r. [d] βεβουλευμένον αὐτὸν A.S.r. Legebatur αὐτὸν βεβουλευμένον. [e] γένους δόξαν] δόξαν ἢ γένος F.Q. [f] ἀναίνει—ἡγεῖ] Scribebatur ἀναίνῃ—ἡγῇ et rursus ἀναίνῃ l. 15. Correxi hæc omnia ex S. in quo ἀναίνει altero in loco in ἀναίνῃ mutavit recens corrector. [g] σεαυτοῦ] ἑαυτοῦ S. σ ab eadem m. superscripto. [h] τουτονί S. Scribebatur τοῦτον. [i] γὰρ—ὅτι om. A.r. [k] ὅς] ὅστις A.r. [l] ὁμοιότερος σοῦ] ὁμοιότερός σου S. [m] τοῦτον, εἰ—ἔγημεν] τουτονὶ—εἴ ἔγημεν F.Q. [n] ὅτε] οὔτε A. [o] μέρος] μέρους r. [p] ἠξίους] αὐτὸς ἠξίους F.Q. [q] γεγαμῆσθαι] γεγενῆσθαι A.r.

ἦσαν οἱ παῖδες κληρονόμοι, τοῖς [r] δὲ μὴ κληρονόμοις οὐκ ἦν μετουσία τῶν ὄντων. ἀλλὰ μὴν ὅτι ταῦτ' ἀληθῆ λέγω, μεμαρτύρηται [s] τῷ τὸ τέταρτον μέρος λαβεῖν καὶ ἀφεῖναι τῶν ἐγκλημάτων ἁπάντων.

42 Κατ' οὐδὲν τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, δίκαιον οὐδὲν [t] ἔχων εἰπεῖν ἀναιδεστάτους λόγους ἐτόλμα λέγειν πρὸς τῷ διαιτητῇ, περὶ ὧν προακηκοέναι βέλτιόν ἐσθ' ὑμᾶς, 955
ἕνα μὲν τὸ παράπαν μὴ γενέσθαι διαθήκην, [u] ἀλλ' εἶναι τοῦτο πλάσμα καὶ σκευώρημα ὅλον, ἕτερον δ' ἕνεκα τούτου πάντα ταῦτα [x] συγχωρεῖν τὸν πρὸ τοῦ χρόνον καὶ οὐχὶ δικάζεσθαι, ὅτι μίσθωσιν [y] ἤθελεν αὐτῷ φέρειν Φορμίων πολλὴν καὶ ὑπισχνεῖτο οἴσειν· [z] ἐπεὶ δ' οὐ [a] ποιεῖ
43 ταῦτα, τηνικαῦτα, φησὶ, δικάζομαι. ὅτι δὲ ταῦτ' ἀμφότερ', ἐὰν λέγῃ, ψεύσεται καὶ τοῖς ὑφ' ἑαυτοῦ πεπραγμένοις ἐναντία ἐρεῖ, σκοπεῖτε ἐκ [b] τωνδί. ὅταν [c] μὲν τοίνυν τὴν διαθήκην ἀρνῆται, ἐκ τίνος τρόπου [d] πρεσβεῖα λαβὼν τὴν συνοικίαν κατὰ τὴν διαθήκην ἔχει, τοῦτ' ἐρωτᾶτ' αὐτόν. οὐ γὰρ ἐκεῖνό γ' ἐρεῖ, [e] ὡς ὅσα μὲν πλεονεκτεῖν τόνδ' ἔγραψεν ὁ πατὴρ, κύριά ἐστι τῆς διαθήκης, τὰ δ'
44 ἄλλα ἄκυρα. ὅταν δ' ὑπὸ τῶν [f] τοῦδε ὑποσχέσεων ὑπάγεσθαι φῇ, μέμνησθ' ὅτι μάρτυρας ὑμῖν παρεσχήμεθα, οἳ χρόνον πολὺν τοῦδ' ἀπηλλαγμένου μισθωταὶ τούτοις ἐγίγνοντο τῆς τραπέζης καὶ τοῦ ἀσπιδοπηγείου. καίτοι τόθ', ὁπηνίκα ἐμίσθωσεν [g] ἐκείνοις, τῷδ' ἐγκαλεῖν παραχρῆμα ἐχρῆν, [h] εἴπερ ἀληθῆ ἦν, ὑπὲρ ὧν τότ' ἀφεὶς νῦν
45 [i] τούτῳ δικάζεται. ὡς [k] τοίνυν ἀληθῆ λέγω, καὶ πρεσβεῖά τε τὴν συνοικίαν ἔλαβε κατὰ τὴν διαθήκην, καὶ τῷδε οὐχ

[r] δὲ μὴ κλ.] δὲ κλ. A. δ' οὐ κλ. rec. A. [s] τῷ addidit Reiskius. [t] ἔχων εἰπεῖν] εἰπεῖν ἔχων F.Q. [u] ἀλλ'] ἀλλ' ἔτ' F.Q. [x] συγχωρεῖν—δικάζεσθαι] συγχωρῶν—δανείζεσθαι A.r. [y] ἤθελεν αὐτῷ] αὐτῷ ἤθελε F.Q. [z] ἐπεὶ A.S. Legebatur ἐπειδή. [a] ποιεῖ] ποιεῖτε A.r. [b] τωνδί] τωνδεὶ S. ι a m. antiqua superscripto. [c] μὲν om. F.Q. [d] πρεσβεῖα] τὰ πρεσβεῖα A.r. [e] ὡς ὅσα μὲν] ωσαμὲν pr. S. [f] τοῦδε] τούτου F.Q. [g] ἐκείνοις—ἐγκαλεῖν] τούτοις—εἰπεῖν F.Q. [h] εἴπερ] εἰ F.Q. [i] τούτῳ] τοῦτο A.r. [k] τοίνυν S. Legebatur τοίνυν ταῦτ'.

ὅπως ἐγκαλεῖν ᾤετο δεῖν, ἀλλ' ἐπῄνει, λαβὲ τὴν μαρτυρίαν.

ΜΑΡΤΥΡΙΑ.

Ἵνα τοίνυν εἰδῆτε, ὦ ἄνδρες Ἀθηναῖοι, ὅσα χρήματ' ἔχων ἐκ τῶν μισθώσεων καὶ ἐκ τῶν χρεῶν ὡς ἀπορῶν καὶ πάντα ἀπολωλεκὼς [l]ὀδυρεῖται, βραχέα ἡμῶν ἀκού-
46 σατε. οὗτος γὰρ ἐκ μὲν τῶν χρεῶν ὁμοῦ τάλαντ' εἴκοσιν 956
εἰσπέπρακται [m]ἐκ τῶν [n]γραμμάτων ὧν ὁ πατὴρ [o]κατέλιπεν, καὶ τούτων ἔχει [p]πλέον ἢ τὰ [q]ἡμίση· [r]πολλῶν [s]γὰρ τὰ μέρη τὸν ἀδελφὸν [t]ἀπεστέρει. ἐκ δὲ τῶν μισθώσεων, ὀκτὼ μὲν ἐτῶν ἃ [u]Φορμίων εἶχε τὴν τράπεζαν, ὀγδοήκοντα μνᾶς τοῦ ἐνιαυτοῦ ἑκάστου, τὸ ἥμισυ [x]τῆς ὅλης μισθώσεως· καὶ ταῦτ' ἐστὶ δέκα τάλαντα καὶ τετ-
47 ταράκοντα μναῖ· δέκα δ' ἐτῶν μετὰ ταῦτα, ὧν [y]ἐμίσθωσαν ὕστερον Ξένωνι καὶ Εὐφραίῳ [z]καὶ Εὔφρονι καὶ [a]Καλλιστράτῳ, τάλαντον τοῦ ἐνιαυτοῦ ἑκάστου. χωρὶς δὲ τούτων, [b]ἐτῶν ἴσως εἴκοσι τῆς ἐξ ἀρχῆς [c]νεμηθείσης οὐσίας, ἧς αὐτὸς ἐπεμελεῖτο, τὰς προσόδους, πλέον ἢ μνᾶς
48 τριάκοντα. ἐὰν [d]δ' ἅπαντα [e]συνθῆτε, ὅσα ἐνείματο, ὅσα εἰσεπράξατο, ὅσ' εἴληφε μίσθωσιν, πλέον ἢ τετταράκοντα τάλαντα εἰληφὼς φανήσεται, χωρὶς [f]ὧν οὗτος [g]εὖ πεποίηκε, καὶ τῶν μητρῴων, καὶ ὧν ἀπὸ τῆς τραπέζης ἔχων οὐκ ἀποδίδωσι πένθ' ἡμιταλάντων καὶ ἑξακοσίων δραχ-
49 μῶν. ἀλλὰ νὴ Δία ταῦθ' ἡ πόλις εἴληφε, καὶ δεινὰ πέ-

[l] ὀδυρεῖται] ὀδύρεται F.S.Q. Sic ὀδύρεσθαι pro ὀδυρεῖσθαι A.S.r. p. 980, 23. [m] ἐκ supra versum addidit librarius in S. [n] γραμμάτων] γραμματείων F.Q. [o] κατέλιπεν] κατελειπεν S. [p] πλέον] πλεῖον S. πλείω F.Q. [q] ἡμίση S. Legebatur ἡμίσεα. ἡμίσια A. [r] πολλῶν] πο̇͂λλων S. litera ω et puncto a correctore scriptis, qui πωλῶν corrigi voluit. [s] γὰρ om. A.r. [t] ἀπεστέρει S. ἀποστερῶν A.r. Legebatur ἀποστερεῖ. [u] Φορμίων] ὁ φορμίων A. [x] τῆς ὅλης] ὅλης τῆς A.r. [y] ἐμίσθωσαν ὕστερον] ἐμισθώσατο F.Q. [z] καὶ Εὔφρονι om. F. [a] Καλλιστράτῳ] καλλίστρατον pr. S. [b] ἐτῶν ἴσως εἴκοσι] ἐκ τῶν οἴκων F.Q. ἐκ τῶν ἴσως εἴκοσι γρ. F.Q. [c] νεμηθείσης A.r. νεμιθείσης S. η a m. secunda. Scribebatur νεμεθείσης. [d] δ' ἅπαντα A.r. δὲ ἅπαντα S. Legebatur δὲ πάντα. [e] συνθῆτε] συνθηται S. [f] ὧν] τῶν F.Q. [g] εὖ πεποίηκε] ευποιηκεν S.

πονθας πολλὰ [h] καταλελειτουργηκώς. ἀλλ᾽ ἃ μὲν ἐκ
κοινῶν ἐλειτούργεις τῶν χρημάτων, σὺ καὶ ὁ ἀδελφὸς
ἀνηλώσατε· ἃ δ᾽ ὕστερον, οὐκ ἔστιν ἄξια μὴ ὅτι [i] δυοῖν
50 [k] ταλάντοιν προσόδου, ἀλλ᾽ οὐδ᾽ εἴκοσι μνῶν. μηδὲν οὖν
τὴν πόλιν αἰτιῶ, μηδ᾽ ἃ σὺ τῶν ὄντων αἰσχρῶς καὶ
κακῶς ἀνήλωκας, ὡς ἡ πόλις εἴληφε, λέγε. ἵνα δ᾽ εἰ-
δῆτε, ὦ ἄνδρες Ἀθηναῖοι, τό τε πλῆθος τῶν χρημάτων ὧν
εἴληφε, καὶ τὰς λειτουργίας ἃς λελειτούργηκεν, ἀναγνώ-
σεται ὑμῖν καθ᾽ ἓν ἕκαστον. [l] λαβέ μοι τὸ βιβλίον τουτὶ 957
καὶ τὴν πρόκλησιν [m] ταυτηνὶ καὶ τὰς μαρτυρίας ταυτασί.

[n] ΒΙΒΛΙΟΝ. [o] ΠΡΟΚΛΗΣΙΣ. ΜΑΡΤΥΡΙΑΙ.

51 Τοσαῦτα μὲν τοίνυν χρήματα εἰληφὼς καὶ χρέα πολ-
λῶν ταλάντων [p] ἔχων, [q] ὧν τὰ μὲν παρ᾽ ἑκόντων, τὰ δ᾽
ἐκ τῶν δικῶν εἰσπράττει, ἃ τῆς μισθώσεως ἔξω τῆς τρα-
πέζης καὶ τῆς ἄλλης οὐσίας, ἣν [r] κατέλιπε Πασίων,
ὠφείλετο ἐκείνῳ καὶ νῦν παρειλήφασιν οὗτοι, καὶ τοσαῦτ᾽
ἀνηλωκὼς ὅσ᾽ ὑμεῖς ἠκούσατε, οὐδὲ πολλοστὸν μέρος τῶν
προσόδων, μὴ ὅτι τῶν ἀρχαίων, εἰς τὰς λειτουργίας, ὅμως
52 [s] ἀλαζονεύσεται καὶ τριηραρχίας ἐρεῖ καὶ χορηγίας. ἐγὼ
δ᾽, ὡς μὲν οὐκ ἀληθῆ ταῦτ᾽ ἐρεῖ, [t] ἐπέδειξα, οἶμαι [u] μέν-
τοι, κἂν εἰ [x] ταῦτα πάντ᾽ ἀληθῆ λέγοι, κάλλιον εἶναι
καὶ δικαιότερον τόνδε ἀπὸ τῶν αὑτοῦ λειτουργεῖν ὑμῖν, ἢ
τούτῳ δόντας τὰ τούτου, μικρὰ τῶν πάντων [y] αὐτοὺς
μετασχόντας, τόνδε μὲν ἐν ταῖς ἐσχάταις ἐνδείαις ὁρᾶν,
τοῦτον δ᾽ ὑβρίζοντα καὶ εἰς ἅπερ εἴωθεν ἀναλίσκοντα.
53 ἀλλὰ μὴν περί γε τῆς εὐπορίας, ὡς ἐκ τῶν τοῦ πατρὸς

[h] καταλελειτουργηκώς] λελειτουργηκώς Q. [i] δυοῖν] ει superscriptum in S., sed erasum. [k] ταλάντοιν] ταλάντον pr. S. [l] Λαβέ μοι om. F.Q. μοι om. S. [m] ταυτηνὶ] ταύτην A.S.r. [n] ΒΙΒΛΙΟΝ addidit Reiskius. [o] Πρόκλησις om. r. [p] ἔχων] ἔτ᾽ ἔχων F.Q. [q] ὧν om. A.r. [r] κατέλιπε] καταλέλοιπε A.r. [s] ἀλαζονεύσεται] ἀλαζονεύεται A.r. [t] ἐπέδειξα] ἀπέδειξα A.r. [u] μέντοι] μὲν τοίνυν F.S.Q. [x] ταῦτα πάντ᾽ S. Legebatur πάντα ταῦτα. [y] αὐτοὺς μετασχόντας A.S.r. μετασχόντας αὐτοὺς vulgo.

τοῦ σοῦ κέκτηται, καὶ ὧν ἐρωτήσειν ἔφησθα, πόθεν τὰ
ὄντα [z] κέκτηται Φορμίων, μόνῳ τῶν ὄντων ἀνθρώπων [a] σοὶ
τοῦτον οὐκ [b] ἔνεστ' εἰπεῖν τὸν λόγον. οὐδὲ γὰρ Πασίων
[c] ὁ σὸς πατὴρ ἐκτήσαθ' εὑρὼν οὐδὲ τοῦ πατρὸς αὐτῷ
παραδόντος, [d] ἀλλὰ παρὰ τοῖς αὐτοῦ κυρίοις Ἀντισθένει
καὶ Ἀρχεστράτῳ τραπεζιτεύουσι πεῖραν δοὺς ὅτι χρηστός
54 ἐστι καὶ δίκαιος, ἐπιστεύθη. ἔστι δ' ἐν [e] ἐμπορίῳ καὶ
χρήμασιν ἐργαζομένοις ἀνθρώποις φιλεργὸν δόξαι καὶ
χρηστὸν εἶναι τὸν αὐτὸν θαυμαστὸν ἡλίκον. οὔτ' οὖν ἐκείνῳ
[f] τοῦθ' οἱ κύριοι παρέδωκαν, ἀλλ' αὐτὸς ἔφυ χρηστὸς,
οὔτε τῷδε ὁ σὸς πατήρ· σὲ γὰρ ἂν πρότερον τοῦδε χρη- 958
στὸν ἐποίησεν, εἰ ἦν ἐπ' ἐκείνῳ. εἰ δὲ τοῦτο ἀγνοεῖς, ὅτι
πίστις ἀφορμὴ [g] πασῶν ἐστὶ μεγίστη [h] πρὸς χρηματισ-
μὸν, πᾶν [i] ἂν ἀγνοήσειας. χωρὶς δὲ τούτων πολλὰ καὶ
τῷ σῷ πατρὶ καὶ σοὶ καὶ ὅλως τοῖς ὑμετέροις πράγμασι
55 Φορμίων γέγονε χρήσιμος. ἀλλ', οἶμαι, τῆς σῆς ἀπλη-
στίας καὶ τοῦ σοῦ τρόπου τίς ἂν δύναιτο ἐφικέσθαι; καὶ
[k] δῆτα θαυμάζω, πῶς οὐ [l] λογίζει πρὸς [m] σεαυτὸν ὅτι ἔστιν
Ἀρχεστράτῳ τῷ ποτὲ [n] τὸν σὸν πατέρα κτησαμένῳ υἱὸς
ἐνθάδε, Ἀντίμαχος, πράττων οὐ κατ' ἀξίαν, ὃς οὐ δικά-
56 ζεταί σοι οὐδὲ [o] δεινά φησι πάσχειν, εἰ σὺ μὲν χλανίδα
φορεῖς, καὶ τὴν μὲν λέλυσαι, τὴν δ' ἐκδέδωκας [p] ἑταίραν,
καὶ ταῦτα γυναῖκ' ἔχων ποιεῖς, καὶ τρεῖς παῖδας ἀκο-
λούθους περιάγεις, καὶ ζῇς ἀσελγῶς [q] ὥστε καὶ τοὺς
ἀπαντῶντας αἰσθάνεσθαι, αὐτὸς δ' ἐκεῖνος πολλῶν ἐν-
57 δεὴς ἐστιν. οὐδὲ τὸν Φορμίων' ἐκεῖνος [r] οὐχ ὁρᾷ. καί-
τοι εἰ κατὰ τοῦτ' οἴει σοι προσήκειν τῶν τούτου, ὅτι

[z] κέκτηται Reiskius. κέκτησαι libri. [a] σοὶ om. F.Q. [b] ἔνεστ' S. ἔνεστιν vulgo. ἔστιν A.r. [c] ὁ σὸς πατὴρ] ὁ πατὴρ ὁ σὸς F.Q. [d] ἀλλὰ] αλλη A. [e] ἐμπορίῳ] Sic hoc loco etiam S. qui alibi fere constanter per ει. [f] τοῦθ'] ταῦθ' A.F.Q.r. [g] πασῶν] τῶν πασῶν A.r. [h] πρὸς χρηματισμὸν] προσχηματισμὸν r. [i] ἂν om. A.r. [k] δῆτα om. F.Q. [l] λογίζει] Scribebatur λογίζῃ. [m] σεαυτὸν] ἑαυτὸν S. [n] τὸν σὸν πατέρα] τὸν πατέρα τὸν σὸν F.Q. [o] δεινά φησι] φήσει δεινὰ F.Q. [p] ἑταίραν] ἑταίρᾳ A.r. [q] ὥστε S. Legebatur οὕτως ὥστε. [r] οὐχ om. F.Q.

τοῦ πατρός ποτ᾽ ἐγένετο τοῦ σοῦ, ἐκείνῳ προσήκει μᾶλλον ἢ σοί· ὁ γὰρ αὖ σὸς πατὴρ [s]ἐκείνων ἐγένετο, ὥστε καὶ σὺ καὶ οὗτος ἐκείνου γίγνεσθε ἐκ [t]τούτου τοῦ λόγου. σὺ δ᾽ εἰς τοῦθ᾽ ἥκεις ἀγνωμοσύνης, ὥσθ᾽ ἃ [u]προσήκει σοι τοὺς λέγοντας ἐχθροὺς νομίζειν, ταῦτ᾽ αὐτὸς [v]ποιεῖς
58 ἀνάγκην εἶναι λέγειν, καὶ ὑβρίζεις μὲν σαυτὸν καὶ τοὺς γονέας τεθνεῶτας, προπηλακίζεις δὲ τὴν πόλιν, καὶ ἃ [x]διὰ τῆς τούτων φιλανθρωπίας ἀπολαύσας εὕρετο ὁ σὸς πατὴρ καὶ μετὰ [y]ταῦτα Φορμίων οὑτοσί, ταῦτα ἀντὶ τοῦ κοσμεῖν καὶ περιστέλλειν, ἵνα καὶ τοῖς δοῦσιν ὡς εὐσχημονέ- 959
στατα ἐφαίνετο καὶ τοῖς λαβοῦσιν ὑμῖν, ἄγεις εἰς μέσον, [z]δεικνύεις, ἐλέγχεις, μόνον οὐκ ὀνειδίζεις οἷον ὄντα σε
59 ἐποιήσαντο Ἀθηναῖοι. εἶτ᾽ εἰς τοῦθ᾽ ἥκεις μανίας [a](τί γὰρ [b]ἂν ἄλλο τις εἴποι;) ὥστ᾽ οὐκ [c]αἰσθάνει ὅτι [d]καὶ νῦν ἡμεῖς μὲν ἀξιοῦντες, ἐπειδήπερ ἀπηλλάγη Φορμίων, [e]μηδέν᾽ [f]ὑπόλογον εἶναι εἴ ποτε τοῦ σοῦ πατρὸς ἐγένετο, ὑπὲρ σοῦ λέγομεν, σὺ δὲ [g]μηδέποτ᾽ ἐξ ἴσου σοι γενέσθαι τοῦτον ἀξιῶν κατὰ [h]σαυτοῦ λέγεις· ἃ γὰρ ἂν σὺ δίκαια σαυτῷ κατὰ τούτου τάξῃς, [i]ταὐτὰ ταῦθ᾽ [k]ἥξει κατὰ σοῦ παρὰ τῶν τὸν σὸν πατέρα ἐξ ἀρχῆς κτησαμένων. ἀλλὰ μὴν ὅτι κἀκεῖνος ἦν τινῶν, εἶτ᾽ ἀπηλλάγη τὸν αὐτὸν τρόπον ὅνπερ οὗτος ἀφ᾽ ὑμῶν, λαβέ μοι [l]ταυτασὶ τὰς μαρτυρίας, ὡς ἐγένετο Πασίων Ἀρχεστράτου.

[m]ΜΑΡΤΥΡΙΑΙ.

60 Εἶτα τὸν σώσαντα μὲν ἐξ ἀρχῆς τὰ πράγματα καὶ πολλὰ [n]χρήσιμον αὐτὸν παρασχόντα τῷ πατρὶ τῷ τού-

[s] ἐκείνων] ἐκείνου A.r. [t] τούτου] τοῦδε F.Q. [u] προσήκει] προσήκειν A. [v] ποιεῖς] ποιεῖς σε F.Q. [x] διὰ addidi ex S. [y] ταῦτα] τοῦτο A.r. [z] δεικνύεις, ἐλέγχεις] ἐλέγχεις δεικνύεις F.Q. [a] τί γὰρ] γὰρ τί r. [b] ἂν om. A. [c] αἰσθάνει S. Scribebatur αἰσθάνῃ. [d] καὶ additum ex S. [e] μηδέν᾽ Dobræus. Legebatur μηδέν. [f] ὑπόλογον Reiskius. ὑπὸ λόγον vulgo. ὑπόλογον, accentu priore eraso, A. [g] μηδέποτ᾽] μήποτ᾽ A.r. [h] σαυτοῦ] σοῦ F. [i] ταὐτὰ S. τὰ αὐτὰ vulgo, quod om. A.r. [k] ἥξει] ἥκει A.r. [l] ταυτασὶ] ταύτας A.r. [m] ΜΑΡΤΥΡΙΑΙ] ΜΑΡΤΥΡΙΑ A. [n] χρήσιμον αὐτὸν παρασχόντα] παρασχόντα χρήσιμον αὐτὸν F.Q.

του. [o] τοσαῦτα δ' αὐτὸν τοῦτον ἀγαθὰ εἰργασμένον ὅσ'
ὑμεῖς ἀκηκόατε, τοῦτον οἴεται δεῖν ἑλὼν τηλικαύτην δί-
κην ἀδίκως [p] ἐκβαλεῖν. οὐ γὰρ ἄλλο γ' [q] ἔχοις οὐδὲν
[r] ἂν ποιῆσαι. εἰς μὲν γὰρ τὰ ὄντα εἰ βλέπεις ἀκριβῶς,
[s] ταῦθ' εὑρήσεις ὧν ἔστιν, [t] ἐάν, ὃ μὴ γένοιτο, ἐξαπατηθῶ-
61 σιν οὗτοι. ὁρᾷς τὸν [u] Ἀριστόλοχον τὸν Χαριδήμου; ποτ'
εἶχεν ἀγρὸν, εἶτά γε νῦν πολλοί· πολλοῖς γὰρ ἐκεῖνος
ὀφείλων αὐτὸν ἐκτήσατο. καὶ τὸν Σωσίνομον [x] καὶ τὸν
Τιμόδημον καὶ τοὺς ἄλλους τραπεζίτας, [y] οἵ, [z] ἐπεὶ δια-
λύειν ἐδέησεν οἷς ὤφειλον, ἐξέστησαν ἁπάντων τῶν ὄντων.
σὺ δ' οὐδὲν οἴει δεῖν σκοπεῖν οὐδ' ὧν ὁ πατήρ σου [a] πολλῷ 960
βελτίων ὢν καὶ ἀμείνόν [b] σου φρονῶν πρὸς ἅπαντ' ἐβου-
62 λεύσατο· ὅς, ὦ Ζεῦ καὶ θεοί, τοσούτῳ τοῦτον ἡγεῖτο σοῦ
πλείονος ἄξιον εἶναι καὶ σοὶ καὶ [c] ἑαυτῷ καὶ τοῖς [d] ὑμετέ-
ροις πράγμασιν, ὥστε ἀνδρὸς ὄντος σοῦ τοῦτον, οὐ σὲ
τῶν [e] μισθώσεων [f] κατέλιπεν ἐπίτροπον καὶ τὴν γυναῖκα
[g] ἔδωκε καὶ [h] ζῶν αὐτὸν ἐτίμα, δικαίως, ὦ ἄνδρες Ἀθη-
ναῖοι· οἱ μὲν γὰρ ἄλλοι τραπεζῖται μίσθωσιν οὐ φέ-
ροντες, ἀλλ' αὐτοὶ [i] ἑαυτοῖς ἐργαζόμενοι πάντες ἀπώλοντο,
οὗτος δὲ μίσθωσιν φέρων δύο τάλαντα καὶ τετταράκοντα
63 μνᾶς ὑμῖν ἔσωσε τὴν τράπεζαν. ὧν ἐκεῖνος μὲν χάριν
εἶχε, σὺ δ' οὐδένα [k] ποιεῖ λόγον, ἀλλ' [l] ἐναντία τῇ δια-
θήκῃ καὶ ταῖς ἀπ' ἐκείνης ἀραῖς γραφείσαις ὑπὸ τοῦ [m] σοῦ
πατρὸς ἐλαύνεις, [n] συκοφαντεῖς, διώκεις. ὦ βέλτιστε, εἰ
οἷόν τε σὲ τοῦτ' εἰπεῖν, οὐ [o] παύσει, καὶ γνώσει τοῦθ', ὅτι

[o] τοσαῦτα] ταῦτα A.r. [p] ἐκβαλεῖν A.S.r. Legebatur ἐκβάλλειν. [q] ἔχοις] ἔχοι S. [r] ἂν om. A.r. [s] ταῦθ'] αὐτὰ F.S.Q. [t] ἐὰν A.S.r. ἂν vulgo. [u] ἀριστόλοχον S. Legebatur Ἀρχίλοχον. [x] καὶ τὸν Τιμόδημον om. S. [y] οἳ] οὓς A.r. [z] ἐπεὶ S. Legebatur ἐπειδή. [a] πολλῷ] πολλῶν F.Q. [b] σου addidi ex A.S. [c] ἑαυτῷ S. αὐτῷ vulgo. [d] ὑμετέροις] ἡμετέροις A.r. [e] μισθώσεων] Ante hoc voc. in S. litera una erasa quæ η fuisse videtur: quod alludit ad ἡμίσεων, quod est in A.r. et γρ. F.Q. [f] κατέλιπεν] κατέλειπεν S. καταλείπει A.r. [g] ἔδωκε] ελωνεν pr. S. [h] ζῶν] ζῶντα F.Q. [i] ἑαυτοῖς S. αὑτοῖς vulgo. [k] ποιεῖ A.S.r. ποιῇ correctus A. ποιεῖς vulgo. [l] ἐναντία] ἐν αἰτίᾳ r. [m] σοῦ addidi ex A.S.r. [n] συκοφαντεῖς, διώκεις A.S.r. Legebatur διώκεις, συκοφαντεῖς. [o] παύσει—γνώσει pr. S. παύσῃ—γνώσῃ vulgo, quod a m. rec. habet S.

[p] πολλῶν χρημάτων τὸ χρηστὸν εἶναι λυσιτελέστερόν [q] ἐστι; [r] σοὶ γοῦν, εἴπερ ἀληθῆ λέγεις, χρήματα μὲν τοσαῦτ᾽ εἰληφότι πάντ᾽ ἀπόλωλεν, ὡς [s] φῄς· εἰ δ᾽ ἦσθα ἐπιεικής, [t] οὐκ ἄν ποτε αὐτὰ ἀνήλωσας.

64 Ἀλλ᾽ ἔγωγε μὰ τὸν Δία καὶ [u] θεοὺς [x] πανταχῇ σκοπῶν οὐδὲν ὁρῶ, [y] διότι ἂν σοὶ [z] πεισθέντες τουδὶ καταψηφίσαιντο. τί γάρ; [a] ὅτι πλησίον ὄντων τῶν ἀδικημάτων ἐγκαλεῖς; ἀλλ᾽ ἔτεσι καὶ χρόνοις ὕστερον αἰτιᾷ. ἀλλ᾽ ὅτι [b] τοῦτον ἀπράγμων ἦσθα τὸν χρόνον; [c] ἀλλὰ τίς οὐκ [d] οἶδεν ὅσα πράγματα πράττων οὐ πέπαυσαι, οὐ μόνον [e] δίκας ἰδίας διώκων [f] οὐκ ἐλάττους ταυτησί, [g] ἀλλὰ δημοσίᾳ συκοφαντῶν καὶ κρίνων τινάς; οὐχὶ
65 Τιμομάχου κατηγόρεις; [h] οὐχὶ Καλλίππου τοῦ νῦν ὄντος ἐν Σικελίᾳ; οὐ πάλιν Μένωνος; οὐκ Αὐτοκλέους; 961
οὐ Τιμοθέου; οὐκ ἄλλων πολλῶν; καίτοι πῶς ἔχει λόγον σὲ Ἀπολλόδωρον ὄντα πρότερον τῶν κοινῶν, [i] ὧν μέρος ἠδικοῦ, δίκην ἀξιοῦν λαμβάνειν, ἢ τῶν ἰδίων ὧν νῦν ἐγκαλεῖς, ἄλλως τε καὶ τηλικούτων ὄντων, [k] ὡς σὺ φῄς; τί ποτ᾽ οὖν ἐκείνων κατηγορῶν τόνδ᾽ εἴας; οὐκ ἠδικοῦ. ἀλλ᾽,
66 οἶμαι, συκοφαντεῖς νῦν. ἡγοῦμαι τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, πάντων μάλιστ᾽ εἰς τὸ πρᾶγμα εἶναι τούτων μάρτυρας παρασχέσθαι· τὸν γὰρ συκοφαντοῦντα ἀεὶ τί [l] χρὴ νομίζειν νῦν ποιεῖν; καὶ νὴ Δί᾽ ἔγωγε, ὦ ἄνδρες Ἀθηναῖοι, νομίζω πάνθ᾽ ὅσα τοῦ τρόπου τοῦ Φορμίωνός ἐστι σημεῖα καὶ τῆς τούτου δικαιοσύνης καὶ φιλανθρωπίας, καὶ ταῦτ᾽ εἰς τὸ πρᾶγμ᾽ εἶναι πρὸς ὑμᾶς εἰπεῖν.

[p] πολλῶν] τῶν πολλῶν r. [q] ἐστι om. F.Q. [r] σοὶ] σὺ F.Q. pr. A. et pr. S. [s] φῄς] φησίν r. [t] οὐκ ἄν ποτε] οὐδέποτε F.Q. [u] θεοὺς] τοὺς θεοὺς r. Vid. ad p. 790, 4. [x] πανταχῇ] πάνθ᾽ ἃ χρὴ A.r. [y] διότι] διατὶ A.S.r. [z] πεισθέντες] οὗτοι addit margo ed. Paris. a. 1570. [a] ὅτι—ἐγκαλεῖς] ὅτι οὐ—ἐνεκάλεις A.S.r. [b] τοῦτον] τούτων F.Q. [c] ἀλλὰ] καὶ F.Q. [d] οἶδεν] εἶδεν F. [e] δίκας ἰδίας] ἰδίας δίκας F.Q. [f] οὐκ] οὐδ᾽ A.r. [g] ἀλλὰ] ἀλλὰ καὶ F.Q. [h] οὐχὶ] οὐ F.Q. [i] Post ὧν literæ duæ erasæ in S. Videtur κοινωνων ων scriptum fuisse. [k] ὡς] ὧν A.r. [l] χρὴ νομίζειν νῦν ποιεῖν] νομίζειν χρὴ ποιεῖν νυνὶ F.Q.

67 ὁ μὲν γὰρ περὶ πάντ' ἄδικος τάχ' ἂν, εἰ τύχοι, καὶ τοῦτον ἠδίκει· ὁ δὲ μηδένα μηδὲν ἠδικηκὼς, πολλοὺς δὲ εὖ πεποιηκὼς ἑκὼν ἐκ τίνος [m]εἰκότως ἂν τρόπου τοῦτον [n]μόνον ἠδίκει τῶν πάντων; τούτων τοίνυν τῶν μαρτυριῶν ἀκούσαντες γνώσεσθε τὸν ἑκατέρου τρόπον.

ΜΑΡΤΥΡΙΑΙ.

68 [o]Ἴθι δὴ καὶ [p]τὰς πρὸς Ἀπολλόδωρον τῆς πονηρίας

ΜΑΡΤΥΡΙΑΙ.

Ἆρ' οὖν ὅμοιος [q]οὑτοσὶ, σκοπεῖτε. λέγε.

ΜΑΡΤΥΡΙΑΙ.

Ἀνάγνωθι δὴ καὶ ὅσα δημοσίᾳ χρήσιμος τῇ πόλει γέγονεν οὑτοσί.

ΜΑΡΤΥΡΙΑΙ.

69 Τοσαῦτα τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, Φορμίων χρήσιμος [r]γεγονὼς καὶ τῇ πόλει καὶ πολλοῖς ὑμῶν, καὶ οὐδένα οὔτ' ἰδίᾳ οὔτε δημοσίᾳ κακὸν οὐδὲν εἰργασμένος, οὐδ' ἀδικῶν Ἀπολλόδωρον τουτονὶ, δεῖται καὶ ἱκετεύει καὶ ἀξιοῖ σωθῆναι, καὶ ἡμεῖς συνδεόμεθα οἱ ἐπιτήδειοι ταῦθ' 962
70 ὑμῶν. ἐκεῖνο δ' ὑμᾶς ἀκοῦσαι δεῖ. τοσαῦτα γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι, χρήμαθ' ὑμῖν ἀνεγνώσθη προσευπορηκὼς, ὅσ' οὔθ' οὗτος οὔτ' ἄλλος οὐδεὶς κέκτηται. πίστις μέντοι Φορμίωνι παρὰ τοῖς εἰδόσι καὶ τοσούτων καὶ [s]πολλῷ πλειόνων χρημάτων [t]ἐστὶ, δι' ἧς καὶ αὐτὸς αὑτῷ καὶ
71 ὑμῖν χρήσιμός ἐστιν. [u]ἃ μὴ [x]προῆσθε, μηδ' ἐπιτρέψητε ἀνατρέψαι τῷ μιαρῷ τούτῳ ἀνθρώπῳ, μηδὲ ποιήσητε αἰσχρὸν παράδειγμα, ὡς τὰ τῶν ἐργαζομένων καὶ μετρίως ἐθελόντων ζῆν τοῖς βδελυροῖς καὶ συκοφάνταις

[m] εἰκότως ἂν A.S.r. Legebatur ἂν εἰκότως. [n] μόνον] μόνον ἂν A.r. [o] ἴθι A.S.r. ἴσθε B. ἴσθι vulgo. Post ἴθι δὴ imperativum aliquem, velut λέγε, excidisse conjecit Schæferus. Sic p. 1014, 10. ἴθι δὲ λαβὲ καὶ τὸν περὶ τῆς προικὸς νόμον τουτονί. [p] τὰς] τὰ A.r. [q] οὑτοσὶ—οὑτοσί] οὗτος—οὗτος A.r. [r] γεγονὼς καὶ τῇ πόλει S. γεγονὼς τῇ πόλει A.r. τῇ πόλει γεγονὼς F.Q. [s] πολλῷ] πολλῶν F.Q. [t] ἐστὶ om. F.Q. [u] ἃ] ἐὰν F.Q. [x] προῆσθε A.r. προεισθε pr. S. πρόησθε vulgo et correctus S.

ὑπάρχει παρ' ὑμῶν λαβεῖν· πολὺ γὰρ χρησιμώτερα [y] ὑμῖν παρὰ [z] τῷδε ὄντα ὑπάρχει. ὁρᾶτε γὰρ αὐτοὶ καὶ ἀκούετε τῶν μαρτύρων, οἷον ἑαυτὸν τοῖς δεηθεῖσι [a] παρέχει.
72 καὶ τούτων οὐδὲν [b] ἕνεκα τοῦ λυσιτελοῦντος εἰς χρήματα πεποίηκεν, ἀλλὰ φιλανθρωπίᾳ καὶ τρόπου ἐπιεικείᾳ. οὔκουν ἄξιον, ὦ ἄνδρες Ἀθηναῖοι, τὸν τοιοῦτον ἄνδρα προέσθαι τούτῳ, οὐδὲ τηνικαῦτα ἐλεεῖν ὅτ' οὐδὲν ἔσται [c] τούτῳ πλέον, ἀλλὰ [d] νῦν ὅτε κύριοι καθέστατε σῶσαι· οὐ γὰρ ἔγωγ' ὁρῶ καιρὸν, ἐν τίνι ἂν μᾶλλον βοηθήσειέ τις
73 αὐτῷ. τὰ μὲν οὖν πολλὰ ὧν Ἀπολλόδωρος ἐρεῖ, νομίζετ' εἶναι λόγον [e] καὶ συκοφαντίας, κελεύετε δ' αὐτὸν [f] ὑμῖν ἐπιδεῖξαι ἢ ὡς οὐ διέθετο ταῦθ' ὁ πατὴρ, ἢ ὡς ἔστι [g] τις ἄλλη μίσθωσις πλὴν [h] ἧς ἡμεῖς δείκνυμεν, ἢ ὡς οὐκ ἀφῆκεν [i] αὐτὸν διαλογισάμενος τῶν ἐγκλημάτων ἁπάντων ἃ ἔγνω ὁ κηδεστὴς ὁ τούτου καὶ οὗτος αὐτὸς συνεχώρησεν, ἢ ὡς διδόασιν οἱ νόμοι δικάζεσθαι τῶν οὕτω πραχθέντων,
74 ἢ τῶν τοιούτων τι δεικνύναι. ἐὰν δ' ἀπορῶν αἰτίας καὶ βλασφημίας λέγῃ καὶ κακολογῇ, μὴ προσέχετε τὸν 963 νοῦν, μηδ' ὑμᾶς ἡ τούτου κραυγὴ καὶ ἀναίδεια ἐξαπατήσῃ, ἀλλὰ φυλάττετε καὶ μέμνησθε ὅσ' ἡμῶν ἀκηκόατε. κἂν ταῦτα ποιῆτε, αὐτοί τ' εὐορκήσετε καὶ [k] τοῦτον δικαίως σώσετε, ἄξιον ὄντα νὴ τὸν Δία καὶ [l] θεοὺς ἅπαντας.

75 Ἀνάγνωθι λαβὼν αὐτοῖς τὸν νόμον καὶ τὰς μαρτυρίας τασδί.

ΝΟΜΟΣ. ΜΑΡΤΥΡΙΑΙ.

Οὐκ οἶδ' ὅ τι δεῖ [m] πλείω λέγειν· οἶμαι γὰρ ὑμᾶς οὐδὲν ἀγνοεῖν τῶν εἰρημένων. [n] ἐξέρα τὸ ὕδωρ.

[y] ὑμῖν om. A. (non B. quem calami lapsu nominat Reiskius) r. [z] τῷδε ὄντα] τῶι δέοντα F. [a] παρέχει] παρέχειν S., sed litera ultima puncto notata. [b] ἕνεκα] εἵνεκα A.r. [c] τούτῳ πλέον A.S.r. πλέον τούτῳ vulgo. [d] νῦν] τοίνυν S. [e] καὶ om. A.r. [f] ὑμῖν om. S. [g] τις om. F.Q. [h] ἧς] ἣν F.Q. [i] αὐτὸν] αὐτὸς A.r. [k] τοῦτον] τουτονὶ A.r. [l] θεοὺς] τοὺς θεοὺς A.r. Vid. ad p. 790, 4. [m] πλείω] πλεῖον A.r. [n] ἐξέρα τὸ ὕδωρ om. Q.

ΛΖ.

ΠΑΡΑΓΡΑΦΗ ΠΡΟΣ ΠΑΝΤΑΙΝΕΤΟΝ.

ΥΠΟΘΕΣΙΣ.

Πανταίνετος παρὰ Τηλεμάχου τινὸς ἐργαστήριον μεταλλικὸν [o] ἐν Μαρωνείᾳ (τόπος δὲ οὗτος τῆς Ἀττικῆς) καὶ μετὰ τοῦ ἐργαστηρίου τριάκοντα τὸν ἀριθμὸν οἰκέτας ὠνούμενος, δανείζεται παρὰ μὲν Μνησικλέους τάλαντον, παρὰ δὲ [p] Φιλέου καὶ Πλείστορος πέντε καὶ τετταράκοντα μνᾶς. καὶ ἦν ὠνητὴς ἐγγεγραμμένος ὁ Μνησικλῆς, καὶ τὰς ὠνὰς εἶχεν αὐτός. ὕστερον δὲ ἀπαιτούμενος τὸ ἀργύριον ὁ Πανταίνετος δευτέρους λαμβάνει δανειστάς, τόν τε παραγραφόμενον [q] νῦν Νικόβουλον καὶ Εὔεργόν τινα, καὶ τούτοις ὑποθήκην δίδωσι τὸ ἐργαστήριον καὶ τὰ ἀνδράποδα. γραμματεῖον δὲ οὐχ ὑποθήκης, ἀλλὰ πράσεως γράφεται. καὶ γίνεται [r] πρατὴρ καὶ βεβαιωτὴς τοῖς δευτέροις δανεισταῖς ὁ πρότερος δεδανεικὼς ὁ [s] Μνησικλῆς, ὁ τὰς ὠνὰς ἔχων. καὶ μισθοῦσι τῷ Πανταινέτῳ τά τε ἀνδράποδα καὶ [t] τὸ ἐργαστήριον Εὔεργος καὶ ὁ Νικό- 964
βουλος, ὡς δεσπόται δῆθεν γεγονότες αὐτοῦ. τοσούτου δὲ μισθοῦσιν, ὅσον τὸ δάνειον τόκον ἐποίει. ἐδεδανείκεσαν μὲν γὰρ ἑκατὸν πέντε μνᾶς, ἔδει δὲ κατὰ μνᾶν τόκον εἶναι δραχμήν. ἑκατὸν [u] οὖν καὶ [x] πέντε δραχμὰς λαμβάνειν συνέθεντο· καὶ ἦν τοῦτο τῷ μὲν ἔργῳ τόκος, τῷ δὲ ὀνόματι μίσθωσις. τούτων πραχθέντων ὁ μὲν Νικόβουλος ἀπεδήμησε, παρὰ δὲ τὴν ἀπουσίαν τὴν ἐκείνου Ἀθήνησι τάδε γίγνεται. ὁ Εὔεργος ὁ κοινωνὸς τοῦ δανείσματος, αἰτιώμενος τὸν Πανταίνετον ὡς οὐδὲν τῶν συγκειμένων ἐθέλοντα ποιεῖν, ἐλθὼν ἐπὶ τὸ ἐργαστήριον κατεῖχεν [y] αὐτοῦ, καὶ δὴ ἀργύριον φυλάξας ἐκ τῶν μετάλλων Πανταινέτῳ κομιζόμενον, ὅπερ ἔμελλεν εἰς τὸ δημόσιον καταβάλλειν, [z] ἀφείλετο τὸν κομίζοντα οἰκέτην βίᾳ· παρὸ καὶ διπλῆν εἰς τὸ δημόσιον κατέβαλεν, ὡς ἔφη, τὴν καταβολὴν ὁ Πανταίνετος, τῆς προσηκούσης προθεσμίας δι' Εὔεργον ἐκπεσών. ἐπὶ τούτοις καὶ δίκην ἔλαχε τῷ Εὐέργῳ βλάβης, καὶ εἷλεν αὐτόν. ὡς δὲ ἐπανῆκε καὶ ὁ Νικόβουλος ἐκ τῆς ἀποδημίας καὶ δανεισταὶ πολλοί τινες ἀνεφαίνοντο τοῦ Πανταινέτου πρότερον ἀγνοούμενοι, λόγων πολλῶν λεγομένων πέρας συνέβησαν, ὥστε Νικόβουλον μὲν καὶ Εὔεργον ἀπολαμβάνοντας ἑκατὸν καὶ πέντε μνᾶς ἀποστῆναι τοῦ ἐργαστηρίου καὶ τῶν ἀνδραπόδων, ταῦτα δὲ τοὺς ἑτέρους δανείσαντας [a] ὠνεῖσθαι. πάλιν δὲ οὐκ ἐθελόντων τῶν δανειστῶν

[o] ἐν] ἔχων ἐν S. qui hoc argumentum a m. seculi quartidecimi habet. [p] Φιλέου] Legebatur Φιλέτου. Correxerunt Baiterus et Sauppius ex p. 967, 21. [q] νῦν om. S. [r] πρατὴρ] πατὴρ F.S. [s] Μνησικλῆς] νισικλῆς F. μνησικλῆς S. [t] τὸ om. F.S. [u] οὖν om. F.S. [x] πέντε] πεντήκοντα F.S. [y] αὐτοῦ] αὐτό S. [z] ἀφείλετο] ἀφείλατο F. [a] ὠνεῖσθαι] ὤνᾶσθαι F.

ὠνεῖσθαι τὰ κτήματα, εἰ μὴ πρατῆρες αὐτοὶ καὶ βεβαιωταὶ γίγνοιντο Νικόβουλος καὶ Εὔεργος, [b] πείθεται ὁ Νικόβουλος καὶ ὑπ' αὐτοῦ Πανταινέτου, 965 *καθά φησιν, ἀξιούμενος, οὐ πρότερον δὲ ἀνεδέξατο, πρὶν [c] τὸν Πανταίνετον ἄφεσιν αὐτῷ παντὸς ἐγκλήματος δοῦναι. ὁ δὲ Πανταίνετος ἔδωκε μὲν τὴν ἄφεσιν καὶ ἐπράθη τὰ κτήματα, οὐδὲν δὲ ἧττον καὶ τούτῳ τὴν αὐτὴν ἥνπερ Εὐέργῳ δίκην εἴληχε, μεταλλικὴν [d] ἐπιγράφων τὴν δίκην, ὡς δὴ τῶν τε τὰ μέταλλα ἐργαζομένων εἷς ὢν καὶ περὶ μέταλλον ἠδικημένος. ἐγκαλεῖ δὲ τῷ Νικοβούλῳ καὶ περὶ τῆς τῶν χρημάτων ἀφαιρέσεως τῶν ὑπὸ τοῦ οἰκέτου κομιζομένων, καὶ περὶ τῆς τοῦ ἐργαστηρίου καὶ τῶν ἀνδραπόδων πράσεως παρὰ τὰς συνθήκας γεγενημένης, καὶ μέντοι καὶ περὶ ἑτέρων τινῶν. ὁ δὲ Νικόβουλος παραγράφεται τὸν ἀγῶνα καθ' ἕνα μὲν ἐκεῖνον νόμον τὸν κελεύοντα, περὶ ὧν ἂν ἄφεσις καὶ ἀπαλλαγὴ γένηται, περὶ τούτων μηκέτι ἐξεῖναι δικάζεσθαι, καθ' ἕτερον δὲ ἐκεῖνον, ὃς διαρρήδην καὶ σαφῶς ὁρίζει περὶ τίνων δεῖ τὰς μεταλλικὰς δίκας εἰσάγειν, ὧν [e] οὐδὲν πεπονθότα Πανταίνετον ἀτόπως φησὶ μεταλλικὴν δικάζεσθαι δίκην. καὶ μὴν καὶ τρίτον παρέχεται νόμον, ὃς διαιρεῖ περὶ ποίων ἐγκλημάτων ποῖα χρὴ κρίνειν δικαστήρια καὶ ποίας ἀρχὰς εἰσάγειν τὰς δίκας· Πανταίνετον δέ φησι παρὰ τοῦτον ποιεῖν τὸν νόμον, ποικίλα ἐγκλήματα εἰς ταὐτὸν μίξαντα καὶ περὶ πάντων [f] ἐν τῷ μεταλλικῷ δικαστηρίῳ τὴν κατηγορίαν ποιούμενον. τῷ μὲν οὖν περὶ τῆς ἀφέσεως νόμῳ κατ' ἀρχὰς κέχρηται, τοῖς δὲ δύο τοῖς ἑτέροις ἐπὶ τοῦ τέλους, καὶ ἀρχόμενος ἀπὸ τῆς παραγραφῆς καὶ λήγων εἰς ταύτην. ἐν δὲ μέσῳ τὴν εὐθυδικίαν πεποίηκεν, ἧς μέγιστον καὶ ἰσχυρότατόν ἐστιν, ὅτι μηδὲ ἐπιδημῶν ἐτύγχανε τότε* 966 *Νικόβουλος, ὅτε Πανταίνετος [g] ἔπασχεν ἐκεῖνα, ἐφ' οἷς [h] τότε Εὐέργῳ καὶ νῦν Νικοβούλῳ τὴν δίκην εἴληχεν.*

ΔΕΔΩΚΟΤΩΝ, ὦ ἄνδρες δικασταί, τῶν νόμων παραγράψασθαι περὶ ὧν ἄν τις ἀφεὶς καὶ ἀπαλλάξας δικάζηται, γεγενημένων ἀμφοτέρων μοι [i] τούτων, πρὸς Πανταίνετον τουτονὶ παρεγραψάμην, ὡς ἠκούσατ' ἀρτίως, μὴ εἰσαγώγιμον εἶναι τὴν δίκην, οὐκ οἰόμενος δεῖν ἀφεῖσθαι
2 τοῦ δικαίου τούτου, οὐδ', ἐπειδὰν ἐξελέγξω πρὸς ἅπασι τοῖς ἄλλοις καὶ ἀφεικότα τοῦτον ἐμαυτὸν καὶ ἀπηλλαγμένον, [k] ἐγγενέσθαι τούτῳ [l] μὴ φάσκειν ἀληθῆ με λέγειν, καὶ ποιεῖσθαι τεκμήριον [m] ὡς, εἴπερ ἐπράχθη τι τοιοῦτον,

[b] *πείθεται*] *πείθεται οὖν* F.S. [c] *τὸν* S. *τοῦ* vulgo. [d] *ἐπιγράφων* Wolfius. *ἐπιγράφοντες* F.S. [e] *οὐδὲν*] *οὐδὲ* F. [f] *ἐν* addidit Wolfius. [g] *ἔπασχεν* addidit Wolfius. [h] *τότε*] *τῶ τε* F.S. [i] *τούτων* om. S. Legitur in exordio iisdem verbis concepto p. 985, 3. [k] *ἐγγενέσθαι*] *ἐνγενέσθαι* S. [l] *μὴ* primo omissum supra versum addidit librarius in S. [m] *ὡς, εἴπερ*] *ὥσπερ* F.Q.

παρεγραψάμην ἂν αὐτόν. ἀλλ' ἐπὶ ταύτης τῆς σκήψεως [n]εἰσελθὼν ἀμφότερα ὑμῖν [o]ἐπιδεῖξαι, καὶ ὡς οὐδὲν [p]ἠδί-
3 κηκα [q]τοῦτον καὶ ὡς παρὰ τὸν νόμον μοι δικάζεται. εἰ μὲν οὖν ἐπεπόνθει τι τούτων Πανταίνετος ὧν νῦν ἐγκαλεῖ, κατ' ἐκείνους ἂν τοὺς χρόνους [r]εὐθὺς ἐφαίνετό μοι δικαζόμενος, ἐν οἷς τὸ συμβόλαιον ἡμῖν πρὸς ἀλλήλους [s]ἐγένετο, οὐσῶν μὲν ἐμμήνων [t]τούτων τῶν δικῶν, ἐπιδημούντων δ' ἡμῶν ἀμφοτέρων, ἁπάντων δ' ἀνθρώπων εἰωθότων παρ' αὐτὰ τἀδικήματα μᾶλλον ἢ χρόνων ἐγγεγενημένων ἀγανακτεῖν.
4 ἐπειδὴ δὲ οὐδὲν ἠδικημένος, ὡς [u]καὶ ὑμεῖς [x]οἶδ' ὅτι φή- 967
σετε ἐπειδὰν τὰ πεπραγμένα ἀκούσητε, τῷ κατορθῶσαι τὴν πρὸς Εὔεργον δίκην ἐπηρμένος συκοφαντεῖ, ὑπόλοιπόν ἐστι παρ' ὑμῖν, ὦ ἄνδρες δικασταί, ἐπιδείξαντα ὡς οὐδ' ὁτιοῦν ἀδικῶ, καὶ μάρτυρας ὧν ἂν λέγω παρασχόμενον,
5 [y]πειράσασθαι σώζειν ἐμαυτόν. δεήσομαι δὲ καὶ [z]μέτρια καὶ δίκαια ὑμῶν ἁπάντων, ἀκοῦσαί [a]τέ μου περὶ ὧν παρεγραψάμην εὐνοϊκῶς καὶ προσέχειν ὅλῳ τῷ πράγματι τὸν νοῦν· πολλῶν γὰρ δικῶν ἐν τῇ πόλει γεγενημένων, οὐδένα πω δίκην οὔτ' ἀναιδεστέραν οὔτε συκοφαντικωτέραν [b]οἶμαι φανήσεσθαι δεδικασμένον ἧς νῦν οὑτοσὶ λαχὼν εἰσελθεῖν τετόλμηκεν. ἐξ ἀρχῆς δ', ὡς ἂν οἷός τε ὦ, διὰ βραχυτάτων ἅπαντα τὰ πραχθέντα διηγήσομαι πρὸς ὑμᾶς.

6 Ἐδανείσαμεν πέντε καὶ ἑκατὸν μνᾶς ἐγὼ καὶ [c]Εὔεργος, ὦ ἄνδρες δικασταί, Πανταινέτῳ τούτῳ ἐπ' ἐργαστηρίῳ τε ἐν τοῖς ἔργοις ἐν Μαρωνείᾳ καὶ τριάκοντα ἀνδραπόδοις. ἦν δὲ τοῦ [d]δανείσματος τετταράκοντα μὲν καὶ

[n] εἰσελθὼν] ἐλθὼν F.Q. [o] ἐπιδεῖξαι] ἐπιδείξω S. qui pr. ἐπιδείξῃ habuisse videtur. [p] ἠδίκηκα] ἠδικηκότα S. [q] τοῦτον] τ' αὐτὸν Q. [r] εὐθὺς post δικαζόμενος F.Q. [s] ἐγένετο] ἐγίγνετο F.Q. [t] τούτων τῶν δικῶν] τῶν δικῶν τούτων F.Q. τούτων τῶν δικαίων A.r. [u] καὶ om. F.Q. [x] οἶδ'] εὖ οἶδ' F.Q. [y] πειράσασθαι] πειρᾶσθαι A.r. πειράσομαι F.Q. [z] μέτρια καὶ δίκαια S. δίκαια καὶ μέτρια vulgo. [a] τέ μου] τ' ἐμοῦ A.r. [b] οἶμαι] οἴομαι B. [c] Εὔεργος] εὐεργὸς A.r. hic et infra. [d] δανείσματος] δεδανεικότος F.

πέντε μναῖ [c]ἐμαί, τάλαντον δ' Εὐέργου. συνέβαινε δὲ
τοῦτον ὀφείλειν Μνησικλεῖ μὲν [f]Κολλυτεῖ τάλαντον, [g]Φι-
λέᾳ δ' [h]Ἐλευσινίῳ καὶ Πλείστορι πέντε καὶ τετταράκοντα
7 μνᾶς. πρατὴρ μὲν [i]δὴ τοῦ ἐργαστηρίου καὶ τῶν ἀνδραπό-
δων ὁ Μνησικλῆς ἡμῖν γίγνεται· καὶ γὰρ ἐώνητο ἐκεῖνος
αὐτὰ τούτῳ παρὰ Τηλεμάχου τοῦ πρότερον κεκτημένου·
μισθοῦται δ' [k]οὑτοσὶ παρ' ἡμῶν τοῦ γιγνομένου τόκου τῷ
ἀργυρίῳ, πέντε καὶ ἑκατὸν δραχμῶν τοῦ μηνὸς ἑκάστου,
καὶ τιθέμεθα συνθήκας, ἐν αἷς ἥ τε μίσθωσις ἦν γεγραμ-
μένη καὶ λύσις τούτῳ παρ' ἡμῶν ἔν τινι ῥητῷ χρόνῳ.
8 πραχθέντων δὲ τούτων ἐλαφηβολιῶνος μηνὸς ἐπὶ Θεοφί- 968
λου ἄρχοντος, ἐγὼ μὲν ἐκπλέων εἰς τὸν Πόντον εὐθὺς
ᾠχόμην, οὗτος δ' ἐνθάδε ἦν καὶ Εὔεργος. τὰ μὲν δὴ
πραχθέντα τούτοις πρὸς αὐτούς, [l]ἕως ἀπεδήμουν ἐγώ, οὐκ
ἂν ἔχοιμι εἰπεῖν· οὔτε γὰρ ταὐτὰ λέγουσιν οὔτ' ἀεὶ
ταὐτὰ οὗτός γε, ἀλλὰ τοτὲ [m]μὲν ἐκπεσεῖν ὑπ' ἐκείνου
βίᾳ παρὰ τὰς συνθήκας ἐκ τῆς μισθώσεως, τοτὲ δ'
αὐτὸν αἴτιον [n]ἑαυτῷ πρὸς τὸ δημόσιον γενέσθαι τῆς ἐγ-
9 γραφῆς, τοτὲ δ' ἄλλ' ὅ τι ἂν βούληται. ἐκεῖνος δ' ἁπλῶς
οὔτε τοὺς τόκους ἀπολαμβάνων οὔτε τῶν ἄλλων [o]τῶν
ἐν ταῖς συνθήκαις ποιοῦντος οὐδὲν τούτου, ἐλθών, παρ'
ἑκόντος τούτου λαβὼν [p]ἔχειν [q]τὰ ἑαυτοῦ· μετὰ δὲ ταῦτ'
ἀπελθόντα τοῦτον ἥκειν τοὺς ἀμφισβητήσοντας ἄγοντα,
αὐτὸς δ' οὐχ ὑπεξελθεῖν ἐκείνοις, τοῦτον δ' οὐχὶ κωλύειν
ἔχειν [r]ὅσαπερ ἐμισθώσατο, εἰ [s]ποιοίη τὰ συγκείμενα.
10 τούτων μὲν δὴ τοιούτους ἀκούω λόγους. ἐκεῖνο δ' οἶδ' ὅτι,
εἰ μὲν οὗτος ἀληθῆ λέγει καὶ δεινὰ πέπονθεν, ὥσπερ φη-
σίν, ὑπὸ τοῦ Εὐέργου, ἔχει δίκην ἧς ἐτιμήσατο αὐτός·

[c] ἐμαὶ] ἐμοῦ r. [f] κολλυτεῖ S. κολυτεῖ r. Scribebatur Κολυττεῖ. [g] Φιλέᾳ] φιλαίᾳ A.r. [h] Ἐλευσινίῳ] ἐλευσινείῳ S. [i] δὴ om. F.Q. [k] οὑτοσὶ] οὗτος F.S.Q. [l] ἕως] ὡς F.Q. [m] μὲν S. Legebatur μέν φησιν. [n] ἑαυτῷ S. αὐτῷ vulgo. [o] τῶν ἐν om. S., sed ἐν superscriptum a m. pr. [p] ἔχειν] εἶχεν S. [q] τὰ] τὰς A.r. [r] ὅσαπερ ἐμισθώσατο] ὅσα παρεμισθώσατο pr. S. ὅσα ἐμισθώσατο A.r. [s] ποιοίη] ποιῇ A.r.

εἷλε γὰρ [t]αὐτὸν εἰσελθὼν ὡς ὑμᾶς, καὶ οὐ δήπου τῶν αὐτῶν παρά τε τοῦ πεποιηκότος [u]δίκαιός ἐστι δίκην λαβεῖν
11 καὶ παρ' ἐμοῦ τοῦ μηδ' ἐπιδημοῦντος· εἰ δ' ὁ Εὔεργος ἀληθῆ λέγει, σεσυκοφάντηται μέν, ὡς ἔοικεν, ἐκεῖνος, ἐγὼ δ' οὐδ' [x]οὕτω τῶν αὐτῶν φεύγοιμ' ἂν δίκην εἰκότως. ὡς οὖν ταῦτα πρῶτον ἀληθῆ λέγω, τούτων τοὺς μάρτυρας ὑμῖν παρέξομαι.

ΜΑΡΤΥΡΕΣ.

12 Ὅτι μὲν τοίνυν καὶ πρατὴρ ἦν ἡμῖν τῶν κτημάτων [y]ὅσπερ ἐξ ἀρχῆς αὐτὸς [z]ἐώνητο, καὶ κατὰ τὰς συνθήκας 969
οὗτος ἐμισθώσατο ἡμέτερον ὂν τὸ ἐργαστήριον καὶ [a]τἀνδράποδα, καὶ οὔτε παρῆν ἐγὼ τοῖς μετὰ ταῦτα πρὸς Εὔεργον τούτῳ πραχθεῖσιν οὔτ' ἐπεδήμουν ὅλως, ἔλαχέ τε [b]δίκην ἐκείνῳ καὶ οὐδὲν [c]πώποθ' ἡμῖν ἐνεκάλει, ἀκούετε
13 τῶν μαρτύρων, ὦ ἄνδρες δικασταί. ἐπειδὴ τοίνυν ἀφικόμην σχεδόν τι πάντ' ἀπολωλεκὼς ὅσα ἔχων ἐξέπλευσα, ἀκούσας καὶ καταλαβὼν τοῦτον μὲν [d]ἀφεστηκότα, τὸν δ' Εὔεργον ἔχοντα καὶ κρατοῦντα ὧν ἐωνήμεθα, θαυμαστῶς ὡς ἐλυπήθην, ὁρῶν τὸ πρᾶγμά μοι περιεστηκὸς εἰς ἄτοπον· ἢ γὰρ κοινωνεῖν ἔδει τῆς ἐργασίας καὶ τῶν ἐπιμελειῶν τῷ Εὐέργῳ, ἢ χρήστην ἀντὶ τούτου τὸν Εὔεργον ἔχειν, καὶ πρὸς ἐκεῖνον πάλιν μίσθωσιν γράφειν καὶ συμ-
14 βόλαιον ποιεῖσθαι· τούτων δ' οὐδέτερον προῃρούμην. ἀηδῶς δ' ἔχων οἷς λέγω τούτοις, ἰδὼν τὸν Μνησικλέα τὸν πρατῆρα τούτων ἡμῖν γεγενημένον, προσελθὼν ἐμεμφόμην αὐτῷ, λέγων οἷον ἄνθρωπον προὐξένησέ μοι, καὶ τοὺς ἀμφισβητοῦντας καὶ τί ταῦτ' ἐστὶν ἠρώτων. ἀκούσας δ' ἐκεῖνος τῶν μὲν ἀμφισβητούντων κατεγέλα, συνελθεῖν δ'

[t] αὐτὸν εἰσελθὼν] εἰσελθὼν αὐτὸν F.Q. [u] δίκαιός ἐστι] ἐστὶ δίκαιος A.r. [x] οὕτω] οὕτως S. [y] ὅσπερ] ὥσπερ A.S.r. [z] ἐώνητο] ἐώνητο ὁ Μνησικλῆς A.r. [a] τἀνδράποδα S. τὰ ἀνδράποδα vulgo. [b] δίκην] τὴν δίκην A.r. [c] πώποθ' ἡμῖν] ἡμῖν πώποτ' A.r. [d] ἀφεστηκότα] ἐ[ἀ]φεστηκότα Q. ἐφεστηκότα F.

ἔφη τούτους βούλεσθαι πρὸς ἡμᾶς, καὶ συνάξειν [e] αὐτὸς ἡμᾶς, καὶ παραινέσειν τούτῳ πάντα ποιεῖν τὰ δίκαια 15 ἐμοὶ, καὶ οἴεσθαι πείσειν. ὡς δὲ [f] συνήλθομεν, τὰ μὲν πολλὰ τί δεῖ λέγειν; ἧκον δ' οἱ δεδανεικέναι φάσκοντες τούτῳ ἐπὶ τῷ ἐργαστηρίῳ καὶ τοῖς ἀνδραπόδοις, ἃ [g] ἡμεῖς ἐπριάμεθα παρὰ Μνησικλέους, καὶ οὐδὲν ἦν ἁπλοῦν οὐδ' 16 ὑγιὲς τούτων. πάντα δ' ἐξελεγχόμενοι ψευδῆ λέγοντες, καὶ τοῦ Μνησικλέους βεβαιοῦντος ἡμῖν, προκαλοῦνται πρόκλησιν ἡμᾶς ὡς οὐ δεξομένους, ἢ κομίσασθαι πάντα τὰ χρήματα παρ' αὐτῶν καὶ ἀπελθεῖν, ἢ διαλῦσαι σφᾶς [h] ὑπὲρ ὧν ἐνεκάλουν, αἰτιώμενοι πολλῷ πλείονος ἄξια 17 ἔχειν ὧν [i] ἐδεδώκειμεν χρημάτων. ἀκούσας δ' ἐγὼ παραχρῆμα, οὐδὲ βουλευσάμενος, κομίσασθαι συνεχώρησα, [k] καὶ τὸν Εὔεργον ἔπεισα. [l] ἐπεὶ δ' ἔδει [m] τὰ χρήμαθ' ἡμᾶς [n] ἀπολαμβάνειν καὶ τὸ πρᾶγμ' εἰς τοῦτο προῆκτο, οὐκ ἔφασαν μετὰ ταῦτα δώσειν οἱ τότ' ἐκεῖνα [o] ἐπαγγειλάμενοι, εἰ μὴ πρατῆρες [p] γιγνοίμεθ' ἡμεῖς τῶν κτημάτων αὐτοῖς, νοῦν ἔχοντες, ὦ ἄνδρες Ἀθηναῖοι, κατ' αὐτό γε τοῦτο· ἑώρων γὰρ [q] ἡμᾶς οἷα ἐσυκοφαντούμεθ' ὑπὸ [r] τούτου. ὡς οὖν καὶ ταῦτ' ἀληθῆ λέγω, λαβέ μοι καὶ ταύτας τὰς μαρτυρίας.

[s] ΜΑΡΤΥΡΙΑΙ.

18 Ἐπειδὴ τοίνυν τὸ πρᾶγμ' ἐνταῦθ' εἱστήκει, καὶ τὰ μὲν χρήματα οὐ προΐεντο οὓς ἐπήγαγεν οὗτος, ἡμεῖς δ' εἰκότως ἐφαινόμεθα ὧν ἐωνήμεθα κρατεῖν, ἱκέτευεν, ἐδεῖτο, ἠντιβόλει πρατῆρας ἡμᾶς [t] γίγνεσθαι ἀξιοῦντος δὲ τούτου καὶ πολλὰ δεηθέντος ἐμοῦ, καὶ τί [u] οὐ ποιήσαντος; καὶ

[e] αὐτὸς om. F.Q. [f] συνήλθομεν] συνηλθον μὲν pr. S. [g] ἡμεῖς ἐπριάμεθα] ^εων^ ημεθα S. εων ab alia, sed antiqua manu adscripto. [h] ὑπὲρ] περὶ r. [i] ἐδεδώκειμεν] δεδώκειμεν r. [k] καὶ τὸν Εὔεργον ἔπεισα om. A.r. [l] ἐπεὶ S. ἐπειδὴ vulgo. [m] τὰ χρήμαθ' ἡμᾶς A.S.r. ἡμᾶς τὰ χρήματα vulgo. [n] ἀπολαμβάνειν] λαμβάνειν Q. [o] ἐπαγγειλάμενοι S. Legebatur ἐπαγγελλόμενοι. [p] γιγνοίμεθ'] γενοίμεθ' A.r. [q] ἡμᾶς om. r. [r] τούτου] τούτων S.Q. [s] ΜΑΡΤΥΡΙΑΙ] ΜΑΡΤΥΡΙΑ S. [t] γίγνεσθαι S.Q. Legebatur γενέσθαι. [u] οὐ] οὐχὶ A.r.

19 τοῦθ' ὑπέμεινα. ὁρῶν δ' αὐτόν, ὦ ἄνδρες Ἀθηναῖοι, [x]κα-
κοήθη, καὶ τὸ μὲν [y]ἐξ ἀρχῆς τοῦ Μνησικλέους κατηγο-
ροῦντα πρὸς ἡμᾶς, πάλιν δ' [z]ᾧ φίλος ἦν τὰ μάλιστα,
[a]τῷ Εὐέργῳ, τούτῳ προσκεκρουκότα, καὶ τὸ μὲν πρῶτον
ὡς ἐγὼ κατέπλευσα, ἄσμενον φάσκοντα [b]ἑορακέναι με,
20 [c]ἐπεὶ [d]δ' ἔδει τὰ δίκαια ποιεῖν, ἐμοὶ [e]πάλιν δυσκολαί-
νοντα, καὶ ἅπασι μέχρι τοῦ [f]προλαβεῖν καὶ τυχεῖν ὧν
[g]δέοιτο φίλον ὄντα, μετὰ ταῦτα δ' ἐχθρὸν καὶ διάφορον
γιγνόμενον, ἠξίουν ἀπαλλαττόμενος καὶ πρατὴρ [h]ὑπὲρ 971
[i]τῶν τούτου [k]τινῶν γιγνόμενος, [l]πάντων ἀφεθεὶς τῶν ἐγ-
21 κλημάτων καὶ ἀπαλλαγείς, οὕτω διαλύεσθαι. τούτων
[m]δὲ συγχωρηθέντων οὗτος μὲν ἀφῆκεν [n]ἁπάντων ἐμέ,
ἐγὼ δὲ πρατήρ, ὥσπερ ἐδεῖθ' [o]οὗτος, τῶν κτημάτων ἐγιγ-
νόμην, καθάπερ αὐτὸς ἐπριάμην παρὰ Μνησικλέους. κο-
μισάμενος δὲ τὰ ἐμαυτοῦ, καὶ τοῦτον οὐδ' ὁτιοῦν ἀδικῶν,
μὰ τοὺς θεούς, οὐδ' ἂν εἴ τι [p]γένοιτο, [q]ᾠήθην δίκην μοι
λαχεῖν ποτὲ [r]τουτονί.

22 Τὰ μὲν δὴ γεγενημένα, καὶ περὶ ὧν οἴσετε τὴν ψῆφον,
καὶ [s]δι' ἃ τὴν δίκην συκοφαντούμενος παρεγραψάμην
μὴ εἰσαγώγιμον εἶναι, ταῦτ' ἐστίν, ὦ ἄνδρες δικασταί.
παρασχόμενος δὲ [t]μάρτυρας, οἳ παρῆσαν ἡνίκα [u]ἀφιέμην
ὑπὸ τούτου καὶ ἀπηλλαττόμην, ὡς [x]οὐκ εἰσαγώγιμος ἐκ
τῶν νόμων ἐστὶν ἡ δίκη, μετὰ ταῦτ' ἐπιδείξω. καί μοι
λέγε [y]ταύτην τὴν μαρτυρίαν.

23 ΜΑΡΤΥΡΙΑ.

Λέγε δή μοι καὶ τὴν τῶν ἐωνημένων μαρτυρίαν, ἵν' εἰ-

[x] κακοήθη] καὶ κακοήθη S. [y] ἐξ—καὶ τὸ μὲν om. r. [z] ᾧ] ὡς F.Q.
[a] τῷ om. F.Q. [b] ἑορακέναι] Scribebatur ἑωρακέναι. [c] ἐπεὶ] ἐπειδὴ F.Q.
[d] δ' om. pr. S. [e] πάλιν om. Q. [f] προλαβεῖν] προσλαβεῖν S. [g] δέοιτο] δεῖται A.r. [h] ὑπὲρ] ὑπὸ F. [i] τῶν om. A.Q.r. [k] τινῶν om. S.Q.
[l] πάντων] καὶ πάντων S. [m] δὲ A.S.r. Legebatur δή. [n] ἁπάντων ἐμὲ] με ἁπάντων A. με[α]πάντων r. [o] οὗτος] οὕτω A.r. [p] γένοιτο] γίγνοιτο S.
[q] ᾠήθην] ᾠήθην ἂν A.S.r. [r] τουτονί] τοῦτον A.r. [s] δι' ἃ] διότι F.Q.
[t] μάρτυρας] τοὺς μάρτυρας A.S.r. [u] ἀφιέμην] Vid. ad p. 540, 11.
[x] οὐκ S. Legebatur οὐδ'. [y] ταύτην om. r.

δῆθ' ὅτι τούτου κελεύοντος αὐτὰ ἀπεδόμην οἷς οὗτος ἐκέ-
λευσεν.

ΜΑΡΤΥΡΙΑ.

Οὐ τοίνυν [z] μόνον ἡμῖν εἰσὶν [a] οὗτοι μάρτυρες ὡς ἀφεί-
μεθα καὶ νῦν συκοφαντούμεθα, ἀλλὰ καὶ Πανταίνετος
24 αὐτός. ὅτε γὰρ λαγχάνων Εὐέργῳ τὴν δίκην εἴασεν ἐμέ,
[b] τότ' ἐμαρτύρει οὗτος πρὸς ἐμὲ αὐτῷ μηδὲν ἔγκλημα
[c] ὑπόλοιπον εἶναι· οὐ γὰρ ἂν δήπου τῶν αὐτῶν ἀδικημάτων
παρόντων ἀμφοῖν [d] ὁμοίως ἐγκαλῶν τὸν μὲν εἴασε, τῷ δ'
ἐδικάζετο. ἀλλὰ μὴν ὅτι [e] γ' οὐκ ἐῶσιν οἱ νόμοι περὶ τῶν
οὕτω πραχθέντων πάλιν λαγχάνειν, οἶμαι μὲν ὑμᾶς καὶ 972
μηδὲν εἰπόντος ἐμοῦ γιγνώσκειν· ὅμως δὲ λέγε αὐτοῖς καὶ
τὸν νόμον [f] τουτονί.

ΝΟΜΟΣ.

25 Ἀκούετε, ὦ ἄνδρες Ἀθηναῖοι, [g] καὶ τοῦ νόμου λέγοντος
ἄντικρυς, ὧν ἂν ἀφῇ καὶ ἀπαλλάξῃ τις, μηκέτι τὰς δίκας
εἶναι. καὶ μὴν ὅτι γ' ἀμφότερ' ἐστὶ πεπραγμένα [h] ταῦτα
τούτῳ πρὸς ἡμᾶς, ἠκούσατε τῶν μαρτύρων. ἁπάντων μὲν
τοίνυν τῶν ἐν τοῖς νόμοις ἀπειρημένων οὐ προσήκει δικά-
26 ζεσθαι, [i] ἥκιστα δὲ τούτων. ἃ μὲν γὰρ τὸ δημόσιον [k] πέ-
πρακεν, ἔχοι τις ἂν εἰπεῖν ὡς ἀδίκως [l] ἢ οὐ προσή-
κοντα πέπρακεν· καὶ περὶ ὧν ἔγνω τὸ δικαστήριον, ἔστιν
εἰπεῖν ὡς ἐξαπατηθὲν τοῦτ' ἐποίησε, καὶ περὶ τῶν ἄλλων
τῶν ἐν τῷ [m] νόμῳ καθ' ἑκάστου γένοιτ' ἂν τις εἰκότως
λόγος. ἃ δ' αὐτὸς ἐπείσθη καὶ ἀφῆκεν, οὐκ ἔνι δήπουθεν
εἰπεῖν οὐδ' αὐτὸν [n] αἰτιάσασθαι ὡς οὐ δικαίως ταῦτ' ἐποί-
27 ησεν. οἱ μὲν οὖν παρά τι τῶν ἄλλων τούτων δικαζόμενοι

[z] μόνον ἡμῖν εἰσὶν] μόνον εἰσὶν ἡμῖν A. μόνοι εἰσὶν ἡμῖν r. [a] οὗτοι om. A.r. [b] τότ' ἐμαρτύρει] τότε μαρτυρεῖ F.Q. accentibus caret S. [c] ὑπόλοιπον εἶναι] εἶναι ὑπόλοιπον F.Q. [d] ὁμοίως] δ' ὁμοίως S. [e] γ' om. F.Q. [f] τουτονί] τοῦτον A.r. [g] τοῦ] καὶ τοῦ A.r. [h] ταῦτα om. A.r. [i] ἥκιστα A.S.r. Legebatur οὐχ ἥκιστα. [k] πέπρακεν—πέπρακεν S. Legebatur πέπραχεν—πέπραχεν. [l] ἢ om. S. [m] νόμῳ] νόμῳ κειμένων A.r. [n] αἰτιάσασθαι] αἰτιᾶσθαι A.r.

τοῖς ὑφ' ἑτέρων δικαίοις ὡρισμένοις οὐκ ἐμμένουσιν, ὁ δ' ὧν [o] ἂν ἀφῇ πάλιν λαγχάνων τοῖς ὑφ' ἑαυτοῦ. διὸ πάντων μάλιστ' ἄξιον τούτοις χαλεπαίνειν.

28 Οὐκοῦν ὡς μὲν ἀφῆκέ με πάντων, ὅτε [p] ἐγιγνόμην τῶν ἀνδραπόδων πρατὴρ, ἐπέδειξα· ὅτι δ' οὐκ ἐῶσιν οἱ νόμοι τούτων εἶναι δίκας, ἀκηκόατε ἀρτίως ἀναγιγνωσκομένου τοῦ νόμου. ἵνα δ', ὦ ἄνδρες Ἀθηναῖοι, μή τις οἴηται τοῖς περὶ τῶν πραγμάτων αὐτῶν δικαίοις [q] ἁλισκόμενόν με ἐπὶ [r] τοῦτο ἀποχωρεῖν, καὶ καθ' ἕκαστον ὧν ἐγκαλεῖ βούλομαι δεῖξαι αὐτὸν ψευδόμενον. λέγε δ' [s] αὐτὸ τὸ ἔγκλημα, ὅ μοι δικάζεται.

29 ΕΓΚΛΗΜΑ. 973

Ἔβλαψέ με Νικόβουλος ἐπιβουλεύσας [t] ἐμοὶ καὶ τῇ οὐσίᾳ τῇ ἐμῇ, ἀφελέσθαι κελεύσας [u] Ἀντιγένην τὸν ἑαυτοῦ οἰκέτην τὸ ἀργύριον τοῦ ἐμοῦ οἰκέτου, ὃ ἔφερε καταβολὴν τῇ πόλει τοῦ μετάλλου, ὃ ἐγὼ ἐπριάμην [x] ἐνενήκοντα μνῶν, καὶ αἴτιος ἐμοὶ γενόμενος ἐγγραφῆναι τὸ διπλοῦν τῷ δημοσίῳ.

30 Ἐπίσχες. ταυτὶ πάντα, ἃ νῦν ἐγκέκληκεν [y] ἐμοὶ, πρότερον τὸν Εὔεργον αἰτιασάμενος τὴν δίκην εἷλεν. μεμαρτύρηται μὲν δὴ καὶ ἐν ἀρχῇ μοι τοῦ λόγου πρὸς ὑμᾶς ὡς ἀπεδήμουν, ὅτε τούτοις αἱ πρὸς ἀλλήλους [z] ἐγίγνοντο διαφοραί· οὐ μὴν ἀλλὰ καὶ ἐκ τοῦ ἐγκλήματος τούτου
31 δῆλόν ἐστιν. οὐδαμοῦ γὰρ ὡς [a] ἐγώ τι πεποίηκα τούτων ἔγραψεν, ἀλλ' ὑπογράψας ἐπιβουλεῦσαί με αὐτῷ καὶ τῇ οὐσίᾳ προστάξαι [b] μέ φησι τῷ παιδὶ ταῦτα ποιεῖν, ψευδόμενος· πῶς γὰρ ἐγὼ προσέταξα, ὃς [c] ὅτε ἐξέπλεον
32 τῶν γενησομένων ἐνταῦθ' οὐδ' ὁτιοῦν [d] δήπουθεν ᾔδειν; εἶτα καὶ [e] πόση μωρία, λέγοντα ὡς ἐπεβούλευον ἀτιμῶσαι

[o] ἂν om. S. [p] ἐγιγνόμην] ἐγενόμην A.r. [q] ἁλισκόμενόν] ἀναλισκόμενον Q. ἂν ἁλισκόμενον F. [r] τοῦτο] τούτου F.Q. τούτῳ r. [s] αὐτὸ] αὐτό μοι F.Q. [t] ἐμοὶ] μοι Q. [u] Ἀντιγένην] ἀντιγένη S. [x] ἐνενήκοντα A.r. ἐννενήκοντα vulgo. [y] ἐμοὶ] μοι F.Q. [z] ἐγίγνοντο] ἐγίνοντο A. ἐγένοντο r. In S. διαφοραι εγιγνοντο. [a] ἐγώ] ἔγωγέ F. [b] μέ om F.S.Q. [c] ὅτε] ὅτε ἐγὼ F. [d] δήπουθεν ᾔδειν] ᾔδειν δήπουθεν A.F.Q.r. [e] πόση μωρία] πόσηι μωρίαι S.

καὶ τὰ ἔσχατα πρᾶξαι, οἰκέτῃ [f] με ταῦτα προστάξαι γεγραφέναι, ἃ οὐδὲ πολίτης πολίτην δύναιτ' ἂν ποιῆσαι; τί οὖν ἐστὶ τοῦτο; οὐκ ἔχων, οἶμαι, κατ' οὐδὲν διὰ τὴν ἀποδημίαν εἰς ἐμὲ τούτων ἀνενεγκεῖν τι, συκοφαντεῖν δὲ βουλόμενος, ὡς προσέταξα ἐνέγραψεν· οὐδὲ γὰρ λόγος ἦν, εἰ μὴ [g] τοῦτ' ἐποίησεν. λέγε [h] τἀκόλουθον.

33 [i] ΕΓΚΛΗΜΑ.

Καὶ ἐπειδὴ ὦφλον ἐγὼ τῷ δημοσίῳ, καταστήσας Ἀντιγένην τὸν ἑαυτοῦ οἰκέτην εἰς τὸ ἐργαστήριον [k] τὸ ἐμὸν τὸ ἐπὶ [l] Θρασύλλῳ κύριον τῶν ἐμῶν, ἀπαγορεύοντος ἐμοῦ.

34 *Ἐπίσχες. πάλιν ταυτὶ πάντα ὑπ' αὐτοῦ τοῦ πράγ-* 974 *ματος ἐξελεγχθήσεται ψευδόμενος. γέγραφε γὰρ καταστῆσαι μὲν ἐμέ, ἀπαγορεύειν δὲ αὐτόν. ταῦτα δ' οὐχ οἷόν τε τὸν μὴ παρόντα. οὔτε γὰρ καθίστην ἐγὼ ὅ γε ὢν ἐν τῷ Πόντῳ, οὔτ' ἀπηγόρευεν οὗτος τῷ μὴ παρόντι· πῶς γάρ; πῶς οὖν εἰς ἀνάγκην ἦλθε ταῦθ' οὕτω γράψαι;*
35 [m] *ὁ Εὔεργος [n] τότ', οἶμαι, πλημμελῶν ὧν [o] δέδωκε δίκην, συνήθως ἔχων ἐμοὶ καὶ γνώριμος ὢν κατέστησε [p] τὸν οἰκέτην οἴκοθεν λαβὼν παρ' ἐμοῦ φυλάττειν ὡς αὐτόν. εἰ μὲν οὖν ἔγραψε τἀληθές, γέλως ἂν ἦν· τί γάρ, εἰ κατέστησεν Εὔεργος, [q] ἐγώ σε ἀδικῶ; φεύγων δὲ τοῦτο τοιαῦτ' [r] ἠνάγκασται γράφειν, ἵν' [s] ᾖ πρὸς ἐμὲ [t] αὐτῷ τὸ ἔγκλημα. λέγε τὰ ἐφεξῆς.*

36 ΕΓΚΛΗΜΑ.

[u] Κἄπειτα πείσας τοὺς οἰκέτας τοὺς ἐμοὺς [x] καθίζεσθαι εἰς τὸν κεγχρεῶνα ἐπὶ βλάβῃ τῇ ἐμῇ.

[f] *με* A. *μετὰ* F.S.Q.r. [g] *τοῦτ' ἐποίησε*] *τοῦτο ποιήσει* F.Q. [h] *τἀκόλουθον*] *τὸ ἀκόλουθον* S. [i] ΕΓΚΛΗΜΑ om. A. [k] *τὸ ἐμὸν*] *ημων* pr. S. [l] *Θρασύλλῳ*] Legebatur *Θρασύλλου*. Harpocratio, *Ἐπὶ Θρασύλλῳ. Δημοσθένης ἐν τῇ πρὸς Πανταίνετον παραγραφῇ φησὶ "τὸ ἐπὶ Θρασύλλῳ." Ἀττικὸν ἔθος ἀντὶ τοῦ ἐπὶ τῷ Θρασύλλου μνήματι.* Dativus *ἐπὶ Θρασύλλῳ* est in inscr. Attica ap. Boeckh. vol. 1. p. 287. [m] *ὁ* addidi ex A.S.r. [n] *τότ'*] *ταῦτα* A.r. [o] *δέδωκε*] *ἔδωκε* S. [p] *τὸν*] *τιν'* A.r. [q] *ἐγώ σε*] *ἔγωγ'* A.r. [r] *ἠνάγκασται*] *ἐπηνάγκασται* A.r. [s] *ᾖ*] *ᾖ μὴ* S. [t] *αὐτῷ*] *αὐτῶν* A.r. [u] *Κἄπειτα* addidi ex Harpocratione et Photio s. v. *Κεγχρεὼν*, apud quos *κἄπειτ'* (vel *κἄπειτα*) *ἔπειδε* scriptum est. [x] *καθίζεσθαι* A.S.r. *καθέζεσθαι* vulgo et Harpocr. et Photius.

[y]Τουτὶ παντελῶς ἤδη καὶ ἀναιδές ἐστιν· οὐ γὰρ μόνον
ἐκ τοῦ προκαλεῖσθαι [z]τούτους παραδοῦναι, τοῦτον δὲ μὴ
ἐθέλειν, ἀλλὰ καὶ ἐκ πάντων δῆλόν ἐστι ψεῦδος ὄν. τίνος
37 γὰρ ἕνεκ' [a]ἔπειθον; ἵνα νὴ Δί' αὐτοὺς κτήσωμαι. ἀλλ'
αἱρέσεώς μοι δοθείσης [b]ἢ ἔχειν ἢ κομίσασθαι [c]τὰ ἐμαυτοῦ,
εἱλόμην κομίσασθαι, καὶ ταῦτα μεμαρτύρηται. λέγε [d]δὲ
[e]τὴν πρόκλησιν ὅμως.

ΠΡΟΚΛΗΣΙΣ.

Ταύτην τοίνυν οὐχὶ δεξάμενος τὴν πρόκλησιν, ἀλλὰ
[f]φυγών, σκέψασθε οἷον εὐθέως μετὰ ταῦτ' ἐγκαλεῖ. λέγε
τὸ ἐχόμενον.

ΕΓΚΛΗΜΑ.

38 Καὶ κατεργασάμενος τὴν ἀργυρῖτιν, ἣν οἱ ἐμοὶ [g]οἰκέται [h]εἰργάσαντο, καὶ ἔχων τὸ ἀργύριον [i]τὸ ἐκ ταύτης τῆς ἀργυρίτιδος.

[k]Πάλιν ταῦτα πῶς [l]ἔνεστ' ἐμοὶ πεπρᾶχθαι τῷ μὴ 975
παρόντι, καὶ περὶ ὧν Εὐέργου κατεδικάσω; λέγε δ' [m]αὐτὸ
τὸ ἔγκλημα [n]ἑξῆς.

ΕΓΚΛΗΜΑ.

39 Καὶ ἀποδόμενος τὸ ἐργαστήριον τὸ ἐμὸν καὶ τοὺς οἰκέτας παρὰ τὰς συνθήκας, ἃς ἔθετο [o]πρὸς ἐμέ.

Ἐπίσχες. τουτὶ πολὺ πάνθ' [p]ὑπερβέβληκε τἄλλα.
πρῶτον μὲν γὰρ παρὰ τὰς συνθήκας φησὶν, ἃς ἔθετο
40 [q]πρὸς ἐμέ. αὗται δ' εἰσὶ τίνες; ἐμισθώσαμεν τῶν τόκων
τῶν γιγνομένων τούτῳ τὰ ἡμέτερα ἡμεῖς, καὶ ἄλλο οὐδέν·
πρατὴρ μὲν γὰρ ὁ Μνησικλῆς ἡμῖν ἐγεγόνει τούτου παρόν-
τος καὶ κελεύοντος. μετὰ ταῦτα [r]δὲ τὸν αὐτὸν τρόπον

[y] Τουτὶ A.S.Q. Legebatur Ἐπισχές. τουτὶ—. [z] τούτους] τούτου F. [a] ἔπειθον] ἔπιθον A. [b] ἢ ἔχειν] ἢ κτήσασθαι F.Q. [c] τὰ ἐμαυτοῦ, εἱλόμην κομίσασθαι om. S. [d] δὲ] δὴ F.S.Q. [e] τὴν πρόκλησιν ὅμως] ὅμως τὴν πρόκλησιν A.r. [f] φυγὼν] φεύγων A.r. [g] οἰκέται] ἐργάται B. (in quo superscriptum οἰκέται) F.Q. [h] εἰργάσαντο] ἠργάσαντο pr. S. κατειργάσαντο A.r. [i] τὸ om. F.S.Q. [k] Πάλιν A.F.S.Q. Legebatur Ἐπίσχες. πάλιν—. [l] ἔνεστ' ἐμοὶ] ἔνεστιν ἐμοὶ A. ἔνεστί μοι F.Q. ενεσται μοι a m. sec. S. [m] αὐτὸ] αὐτοῖς A.r. [n] ἑξῆς] ἐφεξῆς A.r. om. S. [o] πρὸς ἐμέ] πρός με S. [p] ὑπερβέβληκε] ὑπερβέβηκε r. [q] πρὸς ἐμέ] πρός με r. [r] δὲ om. F.Q.

ἡμεῖς ἑτέροις ἀπεδόμεθα, [s] ἐφ' οἷσπερ αὐτοὶ ἐπριάμεθα,
41 οὐ μόνον κελεύοντος ἔτι τούτου, ἀλλὰ καὶ ἱκετεύοντος· οὐδεὶς γὰρ ἤθελε [t] δέχεσθαι τοῦτον πρατῆρα. τί οὖν αἱ τῆς μισθώσεως ἐνταῦθα συνθῆκαι; [u] τί τοῦτο, ὦ φαυλότατ' ἀνθρώπων, ἐνέγραψας; ἀλλὰ μὴν ὅτι σοῦ κελεύοντος καὶ ἐφ' οἷσπερ ἐωνήμεθα αὐτοὶ πάλιν ἀπεδόμεθα, λέγε τὴν μαρτυρίαν.

ΜΑΡΤΥΡΙΑ.

42 Μαρτυρεῖς τοίνυν καὶ σύ· ἃ γὰρ ἡμεῖς πέντε καὶ ἑκατὸν μνῶν [x] ἐωνήμεθα, ταῦθ' ὕστερον τριῶν ταλάντων καὶ δισχιλίων καὶ ἑξακοσίων ἀπέδου σύ· καίτοι τίς ἂν καθάπαξ [y] πρατῆρά σ' ἔχων σοὶ δραχμὴν ἔδωκε μίαν; ἀλλὰ μὴν ὅτι ταῦτ' ἀληθῆ λέγω, κάλει μοι [z] τούτων τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

43 Ἔχων μὲν τοίνυν ἣν ἐπείσθη τῶν αὐτοῦ τιμὴν, δεηθεὶς [a] δ' ἐμοῦ [b] τότε γενέσθαι πρατῆρα καθ' ὃ συνέβαλον ἀργύ- 976 ριον, αὐτὸς δυοῖν ταλάντοιν προσδικάζεται. καὶ τὰ λοιπὰ τῶν ἐγκλημάτων ἔτ' ἐστὶ δεινότερα. λέγε δή μοι τὸ λοιπὸν τοῦ ἐγκλήματος.

ΕΓΚΛΗΜΑ.

44 [c] Ἐνταυθὶ πόλλ' ἄττα καὶ δεινά μοι [d] ἄλλα ἐγκαλεῖ· καὶ γὰρ [e] αἰκίαν καὶ ὕβριν καὶ βιαίων καὶ πρὸς ἐπικλήρους ἀδικήματα. τούτων δ' εἰσὶν ἑκάστου χωρὶς αἱ δίκαι καὶ οὔτε πρὸς [f] ἀρχὴν τὴν αὐτὴν οὔθ' ὑπὲρ τιμημάτων τῶν
45 αὐτῶν, ἀλλ' ἡ μὲν [g] αἰκία καὶ [h] τὰ τῶν βιαίων πρὸς τοὺς τετταράκοντα, αἱ δὲ τῆς ὕβρεως πρὸς τοὺς θεσμοθέτας,

[s] ἐφ'—ἐπριάμεθα in γρ. F.Q. [t] δέχεσθαι] ἐνδέχεσθαι A.r. [u] τί τοῦτο] καὶ τί τοῦτο Q. [x] ἐωνήμεθα] ἀπεδόμεθα S.r. [y] πρατῆρά σ' Wolfius. πρατῆρας libri. In S. πρατηρασέχων. [z] τούτων A.S.Q. καὶ τούτων vulgo. [a] δ' ἐμοῦ A.r. δέ μου vulgo. [b] τότε] το S. [c] Ἐνταυθὶ] ἐνταυθί^οῖ F. ἐνταυθοῖ A.r. [d] ἄλλα S. Legebatur ἅμα, quod post ἐγκαλεῖ ponit r. [e] αἰκίαν] αικειαν S. [f] ἀρχὴν τὴν αὐτὴν] τὴν αὐτὴν ἀρχὴν A.r. [g] αἰκία] αἴκεια S. [h] τὰ τῶν] τὰ περὶ τῶν A.r.

ὅσα δ' [i]εἰς ἐπικλήρους, πρὸς τὸν ἄρχοντα. οἱ δὲ νόμοι καὶ τούτων διδόασι τὰς παραγραφὰς ἀντιλαγχάνειν, περὶ ὧν οὐκ εἰσὶν εἰσαγωγεῖς. λέγε [k]δ' αὐτοῖς [l]τουτονὶ τὸν νόμον.

ΝΟΜΟΣ.

46 Τοῦτο τοίνυν ἐμοῦ παραγεγραμμένου πρὸς τῇ ἄλλῃ παραγραφῇ, καὶ οὐκ ὄντων εἰσαγωγέων τῶν θεσμοθετῶν ὑπὲρ ὧν λαγχάνει Πανταίνετος, [m]ἐξαλήλιπται καὶ οὐ πρόσεστι τῇ παραγραφῇ. τὸ δ' ὅπως ὑμεῖς σκοπεῖτε· ἐμοὶ [n]μὲν γάρ, ἕως ἂν ἔχω [o]τὸν νόμον αὐτὸν δεικνύναι, οὐδ' ὁτιοῦν διαφέρει· οὐ γὰρ τὸ γιγνώσκειν καὶ συνιέναι τὰ δίκαια ὑμῶν ἐξαλεῖψαι δυνήσεται.

47 Λαβὲ [p]δὴ καὶ τὸν μεταλλικὸν νόμον· καὶ γὰρ [q]ἐκ τούτου δείξειν οἴομαι οὐκ οὖσαν εἰσαγώγιμον τὴν δίκην, χάριτός τε ὢν [r]μᾶλλον ἄξιος ἢ τοῦ συκοφαντεῖσθαι. λέγε.

ΝΟΜΟΣ.

48 Οὗτος [s]σαφῶς ὁ νόμος [t]διῄρηκεν ὧν εἶναι δίκας προσήκει μεταλλικάς. οὐκοῦν ὁ μὲν νόμος, ἐάν τις [u]ἐξείλλῃ τινὰ [x]τῆς ἐργασίας, ὑπόδικον ποιεῖ· ἐγὼ δ' [y]οὐχ ὅπως 977
αὐτὸς ἐξείλλω, ἀλλ' ὧν ἄλλος [z]τοῦτον [a]ἀπεστέρει, [b]τούτων ἐγκρατῆ κατέστησα καὶ παρέδωκα, καὶ πρατὴρ τούτου
49 δεηθέντος [c]ἐγενόμην. ναί, φησίν· ἀλλὰ κἂν [d]ἄλλο τι ἀδικῇ [e]τις περὶ τὰ μέταλλα, καὶ τούτων εἰσὶ δίκαι. ὀρ-

[i] εἰς om. S. [k] δ' om. A.Q.r. [l] τουτονὶ S. τοῦτον vulg. [m] ἐξαλήλιπται] ἐξαλήλειπται S. [n] μὲν om. A.r. [o] τὸν νόμον αὐτὸν] τοῦτον τὸν νόμον F.Q. τὸν νόμον τοῦτον A.r. [p] δὴ] δή μοι A.r. [q] ἐκ] εισ S. [r] μᾶλλον] μάλιστ' Q. [s] σαφῶς ὁ νόμος] ὁ νόμος σαφῶς F.Q. [t] διῄρηκεν correctus B. cujus margo διήρηκεν ἔστιν (scribendum non διὰ τοῦ, quod Dobræus voluit, sed ἐν τῷ) ἦτα ἀντὶ τοῦ διεχώρισεν. [u] ἐξείλλῃ—ἐξείλλω] ἐξείλῃ—ἐξείλω r. ἐξίλλῃ—ἐξίλλω correctus S. [x] τῆς] ἐκ τῆς r. [y] οὐχ] Ante χ literæ duæ erasæ in S. [z] τοῦτον, quod post ἐξείλλω legebatur, huc transposui cum S., in quo τούτων pr. scriptum fuit. [a] ἀπεστέρει] ἀποστερεῖ F.Q. [b] τούτων] τοῦτον F.Q. [c] ἐγενόμην] ἐγενόμην ὑπὲρ τούτου A.r. [d] ἄλλο τι] ἄλλος τις S.Q. ἄλλος τι F. [e] τις] τι Q.

θῶς γ', ὦ Πανταίνετε· ἀλλὰ ταῦτα τί ἐστιν; ἂν [f]τύφῃ
τις, ἂν ὅπλα ἐπιφέρῃ, ἂν ἐπικατατέμνῃ τῶν μέτρων ἐντός.
ταῦτ' ἐστὶ τἄλλα, ὧν οὐδὲν [g]δήπου πέπρακται πρὸς
ὑμᾶς ἐμοί, πλὴν [h]εἰ τοὺς κομιζομένους. ἃ [i]προεῖντό σοι,
μεθ' ὅπλων ἥκειν νομίζεις. εἰ δὲ ταῦθ' [k]ἡγεῖ, πρὸς [l]ἅπαν-
τας τοὺς [m]προϊεμένους τὰ ἑαυτῶν εἰσί σοι δίκαι μεταλλι-
50 καί. ἀλλ' οὐ δίκαιον. φέρε γάρ, ὅστις ἂν μέταλλον
παρὰ τῆς πόλεως πρίηται, τοὺς κοινοὺς παρελθὼν νό-
μους, καθ' οὓς καὶ διδόναι καὶ λαμβάνειν πᾶσι προσήκει
δίκας, ἐν ταῖς μεταλλικαῖς [n]δικάσεται. [o]ἐὰν [p]δανείσηται
[q]παρά τού τι, ἂν κακῶς ἀκούσῃ; [r]ἂν πληγὰς λάβῃ;
[s]ἐὰν κλοπὴν ἐγκαλῇ; ἂν προεισφορὰν μὴ [t]κομίζηται;
51 ἂν [u]ὅλως ἄλλο τι; ἐγὼ μὲν οὐκ [x]οἴομαι, ἀλλὰ τὰς με-
ταλλικὰς [y]εἶναι δίκας τοῖς κοινωνοῦσι μετάλλου καὶ τοῖς
[z]εἰς ἕτερον [a]συντρήσασιν καὶ ὅλως τοῖς ἐργαζομένοις τὰ
μέταλλα καὶ τῶν ἐν τῷ νόμῳ τι ποιοῦσι, τῷ δὲ δανείσαντι
Πανταινέτῳ, καὶ [b]ταῦτ' ἀπειληφότι [c]γλίσχρως καὶ μόλις
παρὰ τούτου, οὐκ εἶναι δίκην μεταλλικὴν [d]προσφευκτέον,
οὐδ' ἐγγύς.
52 Ὡς μὲν οὖν οὔτ' ἠδίκηκα τοῦτον οὐδὲν οὔτ' εἰσαγώγι-
μος ἐκ τῶν νόμων ἐστὶν ἡ δίκη, ταῦτ' ἄν τις σκοπῶν ῥᾳ-
δίως γνοίη. οὐδὲν τοίνυν δίκαιον ἔχων [e]οὐδὲ καθ' ἓν λέγειν 978
ὑπὲρ ὧν ἐγκαλεῖ, ἀλλὰ καὶ ψευδῆ γεγραφὼς εἰς τὸ ἐγ-

[f] τύφῃ Bekkerus. τυφῇ A.r. ὑφῆι S. ὑφάψῃ vulgo. [g] δήπου πέπρακται] πέπρακται δήπου A.r. [h] εἰ] εἰ μὴ F.Q. [i] προεῖντό σοι] προΐεντο,σ οἱ (sic) A. προΐεντο οἱ r. [k] ἡγεῖ pr. S. ἡγῇ vulgo et rec. S. [l] ἅπαντας] πάντας A.r. [m] προϊεμένους] προειμένους F.Q. προϊεμένους σοι A.r. [n] δικάσεται] δίκαις δικάσεται A.r. [o] ἐὰν S. Legebatur τί δὲ, ἄν. In A.r. τί δὲ, ἐάν. [p] δανείσηται] δανείσηταί τις A.r. [q] παρά τού τι, ἂν] παρά του τί. ἂν S. Legebatur παρά του; τί δὲ, ἂν (ἐὰν r.). [r] ἂν] ἐὰν A.r. [s] ἐὰν S. ἂν vulgo. [t] κομίζηται] κομίσηται A.r. [u] ὅλως] ἄλλως S. om. A.r. [x] οἴομαι S. οἶμαι vulgo. [y] εἶναι δίκας] δίκας εἶναι A.r. [z] εἰς addidit Schæferus. [a] συντρήσασιν Reiskius et Schæferus. Legebatur συντρήσασιν εἰς τὰ (τὸ A.r.) τῶν πλησίον. [b] ταῦτ'] αυτ' S. [c] γλίσχρως] γ'αισχρως pr. S. [d] προσφευκτέον] προσφθεγκτέον r. et correctus A., qui a pr. m. προσφευκτέον habuit. [e] οὐδὲ καθ' ἓν λέγειν] λέγειν οὐδὲ καθ' ἓν F.Q.

κλημα καὶ περὶ ὧν ἀφῆκε δικαζόμενος, τοῦ ἐξελθόντος
[f] μηνὸς, ὦ ἄνδρες Ἀθηναῖοι, ἐπειδὴ [g] ἔμελλον εἰσιέναι τὴν
δίκην, [h] ἤδη τῶν δικαστηρίων [i] ἐπικεκληρωμένων, προσελθὼν
καὶ περιστήσας τοὺς μεθ' ἑαυτοῦ, τὸ ἐργαστήριον [j] τῶν
53 συνεστώτων, πρᾶγμα ποιεῖ πάνδεινον· ἀναγιγνώσκει μοι
πρόκλησιν μακρὰν, ἀξιῶν, ὃν φησιν οἰκέτην ταῦτα συνει-
δέναι, βασανίζεσθαι, κἂν μὲν ᾖ ταῦτ' ἀληθῆ, τὴν δίκην
ἀτίμητον [k] ὀφλεῖν αὐτῷ, ἐὰν δὲ ψευδῆ, τὸν βασανιστὴν
[l] Μνησικλέα ἐπιγνώμονα [m] εἶναι τῆς τιμῆς τοῦ παιδός.
λαβὼν δ' ἐγγυητὰς τούτων παρ' ἐμοῦ, καὶ σημηναμένου
54 τὴν πρόκλησιν ἐμοῦ, οὐχ ὡς δίκαιον ὄν· ποῦ γάρ ἐστι δί-
καιον ἐν οἰκέτου σώματι καὶ [n] ψυχῇ [o] ἢ δύο ὠφληκέναι
τάλαντα ἢ μηδὲν τὸν συκοφαντοῦντα ζημιοῦσθαι; ἀλλ'
ἐγὼ πολλῷ τῷ δικαίῳ περιεῖναι βουλόμενος συνεχώρουν.
καὶ μετὰ ταῦτα προσκαλεῖται μέν με τὴν δίκην πάλιν,
ἐπειδὴ θᾶττον ἀνείλετο τὰς παρακαταβολάς· οὕτως εὐ-
θὺς ἦν δῆλος οὐδ' οἷς αὐτὸς ὡρίσατο [p] ἐμμένων δικαίοις.
55 ἐπειδὴ δ' ἥκομεν πρὸς τὸν βασανιστὴν, ἀντὶ τοῦ τὴν πρό-
κλησιν ἀνοίξας δεῖξαι τὰ γεγραμμένα καὶ κατὰ ταῦτα
πράττειν ὅ τι δόξαι (διὰ γὰρ τὸν θόρυβον [q] τὸν τότε καὶ
τὸ [r] μέλλειν καλεῖσθαι τὴν δίκην τοιοῦτον ἦν· προκαλοῦ-
μαί σε ταυτί· [s] δέχομαι· φέρε [t] δὴ τὸν δακτύλιον· λαβέ·
τίς δ' ἐγγυητής; οὑτοσί· [u] οὐδὲν οὔτ' ἀντίγραφον οὔτ'
ἄλλο οὐδὲν ἐποιησάμην τοιοῦτον) ἀντὶ [x] δὲ τοῦ ταῦθ' οὕτως
ὥσπερ λέγω πράττειν [y] ἑτέραν ἧκεν ἔχων πρόκλησιν, 979
ἀξιῶν αὐτὸς βασανίζειν τὸν ἄνθρωπον, καὶ ἐπιλαβόμενος

[f] μηνὸς hoc loco S. Legebatur post Ἀθηναῖοι. [g] ἔμελλον] ἔμελλεν r.
[h] ἤδη om. A.r. [i] ἐπικεκληρωμένων] ἐπικεκυρωμένων (λη supra κυ) F. [j] τῶν συνεστώ-
των] συνεστηκότων F.Q. [k] ὀφλεῖν] ὄφλειν vulgo. [l] Μνησικλέα om. r.
[m] εἶναι τῆς τιμῆς F.S.Q. τῆς τιμῆς εἶναι vulgo. [n] ψυχῇ] ψυχὴν F.Q.
[o] ἢ δύο ὠφληκέναι] ὠφληκέναι δύο F.Q. [p] ἐμμένων δικαίοις F.S.Q. δικαίοις
ἐμμένων vulgo. [q] τὸν om. F.S.Q. [r] μέλλειν] μέλλον r. [s] δέχομαι
om. r. [t] δὴ addidi ex S. [u] οὐδὲν οὔτ'] οὐδὲν οὐδὲ Q. [x] δὲ S. δὴ vulgo.
[y] ἑτέραν ἧκεν] ἧκεν ἑτέραν A.r.

56 εἷλκε, καὶ [z] ἐνέλειπεν οὐδὲν ἀσελγείας. καὶ ἔγωγ' ἐνεθυμήθην, ὦ ἄνδρες δικασταὶ, ἡλίκον ἐστὶ πλεονέκτημα [a] τὸ μὴ καταπεπλῆχθαι τὸν βίον. ἐγὼ γὰρ [b] ἐμαυτῷ ταῦτα πάσχειν ἐδόκουν [c] καταφρονούμενος τῷ ἁπλῶς καὶ ὡς πέφυκα ζῆν, καὶ δίκην διδόναι παμμεγέθη ταῦτ' ἀνεχόμενος· ὅτι δ' οὖν ἠναγκαζόμην, [d] παρ' ἃ ἡγούμην δίκαια εἶναι, [e] ἀντιπροκαλεῖσθαι, καὶ τὸν οἰκέτην παρεδίδουν. καὶ ὅτι ταῦτ' ἀληθῆ λέγω, λέγε τὴν πρόκλησιν.

ΠΡΟΚΛΗΣΙΣ.

57 [f] Φυγὼν μὲν τοίνυν ταῦτα, φυγὼν [g] δ' ἃ τὸ πρῶτον αὐτὸς προὐκαλέσατο, ἔγωγε, ὅ τι ποτ' ἐρεῖ πρὸς ὑμᾶς, θαυμάζω. ἵνα δ' εἰδῆτε ὑφ' οὗ φησὶ καὶ τὰ δεινὰ πεπονθέναι, θεάσασθε. οὗτός ἐστιν ὁ Πανταίνετον ἐκβαλών, οὗτός [h] ἐσθ' ὁ κρείττων τῶν φίλων [i] τῶν Πανταινέτου καὶ τῶν νόμων. οὐ γὰρ ἔγωγ' ἐπεδήμουν, οὐδ' αὐτὸς ἐγκαλεῖ.

58 Βούλομαι δ' ὑμῖν καὶ δι' ὧν τοὺς πρότερον δικαστὰς [k] ἐξαπατήσας εἷλε τὸν Εὔεργον εἰπεῖν, ἵν' εἰδῆθ' ὅτι καὶ νῦν οὐδὲν οὔτ' ἀναιδείας οὔτε τοῦ ψεύδεσθαι παραλείψει. πρὸς δὲ τούτοις καὶ περὶ ὧν ἐμοὶ δικάζεται [l] νυνὶ τὰς αὐτὰς οὔσας ἀπολογίας εὑρήσετε· [m] ὅσπερ ἔλεγχος ἀκριβέστατός ἐστιν ὑπὲρ τοῦ [n] τότ' ἐκεῖνον σεσυκοφαντῆσθαι.
59 οὗτος γὰρ ᾐτιάσατο [o] ἐκεῖνον πρὸς ἅπασι τοῖς ἄλλοις ἐλθόντ' εἰς ἀγρὸν ὡς αὑτὸν ἐπὶ τὰς ἐπικλήρους εἰσελθεῖν καὶ τὴν μητέρα τὴν αὑτοῦ, καὶ τοὺς νόμους ἧκεν ἔχων τοὺς τῶν ἐπικλήρων πρὸς τὸ δικαστήριον. καὶ πρὸς μὲν τὸν 980
ἄρχοντα, ὃν τῶν τοιούτων οἱ νόμοι κελεύουσιν ἐπιμελεῖσθαι

[z] ἐνέλειπεν S. Legebatur ἐνέλιπεν. [a] τὸ om. F.Q. [b] ἐμαυτῷ A.r. Legebatur ἐμαυτόν. [c] καταφρονούμενος] μεταφρονούμενος F. [d] παρ' ἃ ἡγούμην] παρηγούμην A.r. [e] ἀντιπροκαλεῖσθαι] ἀντιπροσκαλεῖσθαι F.Q. ἀντιπροκαλέσασθαι A.r. [f] Φυγὼν—φυγὼν] φεύγων—φεύγων A.r. [g] δ' ἃ] δι' ἃ Q. [h] ἐσθ' S. ἐστιν vulgo. [i] τῶν] τοῦ r. [k] ἐξαπατήσας] ἐξαπατήσειν r. om. S. [l] νυνὶ S. νῦν vulgo. [m] ὅσπερ] ὅπερ F.Q. et correctus S. [n] τότε in γρ. F.Q. [o] ἐκεῖνον] τό γ' ἐκεῖνον A.r.

60 καὶ [p]παρ' ᾧ τῷ μὲν ἠδικηκότι κίνδυνος περὶ τοῦ τί χρὴ παθεῖν ἢ ἀποτῖσαι, τῷ δ' ἐπεξιόντι μετ' οὐδεμιᾶς ζημίας ἡ βοήθεια. οὐδέπω καὶ [q]τήμερον ἐξήτασται, οὐδ' εἰσήγγειλεν οὔτ' ἐμὲ οὔτε τὸν Εὔεργον ὡς ἀδικοῦντας, ἐν δὲ τῷ δικαστηρίῳ ταῦτα [r]κατηγόρει καὶ δυοῖν ταλάντοιν εἷλε
61 [s]δίκην. ἣν γάρ, οἶμαι, κατὰ [t]μὲν τοὺς νόμους [u]προειδότα τὴν αἰτίαν, ἐφ' ᾗ κρίνεται, ῥᾴδιον τἀληθῆ καὶ τὰ δίκαια ἐπιδείξαντ' [x]ἀποφεύγειν, ἐν δὲ μεταλλικῇ [y]δίκῃ, περὶ ὧν οὐδ' ἂν [z]ἤλπισεν αὐτοῦ κατηγορηθήσεσθαι, χαλεπὸν παραχρῆμα ἔχειν [a]ἀπολύσασθαι τὴν διαβολήν· ἡ δ' ὀργὴ [b]παρὰ τῶν ἐξηπατημένων ὑπὸ τούτου δικαστῶν, ἐφ' ᾧ τὴν
62 ψῆφον εἶχον πράγματι, τούτου [c]κατεψηφίσατο. καίτοι [d]τὸν ἐκείνους ἐξηπατηκότα τοὺς δικαστὰς ἆρ' ὀκνήσειν ὑμᾶς ἐξαπατᾶν οἴεσθε; ἢ πεπιστευκότα εἰσιέναι τοῖς πράγμασιν, ἀλλ' οὐ τοῖς λόγοις καὶ τοῖς συνεστῶσι [e]μεθ' [f]αὑτοῦ μάρτυσι. [g]τῷ τ' ἀκαθάρτῳ καὶ μιαρῷ [h]Προκλεῖ, τῷ μεγάλῳ τούτῳ, καὶ Στρατοκλεῖ τῷ πιθανωτάτῳ πάντων ἀνθρώπων καὶ πονηροτάτῳ, καὶ τῷ μηδὲν ὑποστελλόμενον [i]μηδ' αἰσχυνόμενον [k]κλαήσειν [l]καὶ [m]ὀδυρεῖσθαι;
63 καίτοι [n]τοσούτου δεῖς [o]ἐλέου τινὸς ἄξιος εἶναι, ὥστε [p]μισηθείης ἂν δικαιότατ' [q]ἀνθρώπων ἐξ ὧν πεπραγμάτευσαι· [r]ὅς γε ὀφείλων μνᾶς ἑκατὸν καὶ πέντε καὶ [s]οὐχ οἷός τε ὢν διαλῦσαι, τοὺς ταῦτα συνευπορήσαντας καὶ γενομένους αἰτίους σοι τοῦ τὰ δίκαια ποιῆσαι τοῖς συμβαλοῦσιν ἐξ

[p] παρ' ᾧ] παρὰ F.Q. [q] τήμερον] νῦν F.Q. [r] κατηγόρει] κατηγορεῖ A.r. Accentu caret S. κατηγορεῖται omisso καὶ F.Q. [s] δίκην] καταδίκην F.Q. [t] μὲν om. F.Q. [u] προειδότα] προϊδόντα S. [x] ἀποφεύγειν] ἀποφυγεῖν F.Q. [y] δίκῃ in γρ. F.Q. [z] ἤλπισεν] ἤλπιζεν A.r. [a] ἀπολύσασθαι] ἀπολύσεσθαι A.r. [b] παρὰ] ἡ παρὰ Schæferus. [c] κατεψηφίσατο] κατεψηφίσαντο Q. [d] τὸν] τοὺς r. [e] μεθ' αὑτοῦ] τούτοις A.r. [f] αὑτοῦ S. ἑαυτοῦ vulgo. [g] τῷ τ'] καὶ τῷ γ' F.Q. [h] Προκλεῖ, τῷ] προκλείτῳ A.r. [i] μηδ' αἰσχυνόμενον in γρ. F.Q. [k] κλαήσειν] Scribebatur κλαιήσειν. [l] καὶ om. A r. [m] ὀδυρεῖσθαι] ὀδύρεσθαι A.S.r. [n] τοσούτου δεῖς] τοσοῦτ' οὐδεὶς F.S. τοσούτου δεῖ σ' r. [o] ἐλέου] ἐλέους r. [p] μισηθείης] μηθείης (sic) a m. sec. S. μειθη.ειης pr. S. [q] ἀνθρώπων] ἀνθρώπων ἁπάντων A.r. [r] ὅς γε] ὃς γὰρ A.F.S.Q.r. [s] οὐχ] μὴ F.Q.

ἀρχῆς, χωρὶς ὧν περὶ αὐτὰ τὰ συμβόλαια [t] ἠδικήκεις. 981
64 καὶ [u] πρὸς ἀτιμῶσαι ζητεῖς. καὶ τοὺς μὲν ἄλλους τοὺς δα-
νειζομένους ἴδοι τις ἂν ἐξισταμένους τῶν ὄντων· σοὶ δ' ὁ
συμβεβληκὼς τοῦτο πέπονθε, καὶ δανείσας τάλαντον δύο
ὤφληκε συκοφαντηθείς. ἐγὼ δὲ τετταράκοντα [x] μνᾶς δα-
νείσας δυοῖν ταλάντοιν ταυτηνὶ φεύγω δίκην. καὶ ἐφ' οἷς
δανείσασθαι μὲν οὐδεπώποτ' ἠδυνήθης ἑκατὸν μνῶν πλέον,
πέπρακας δὲ καθάπαξ τριῶν ταλάντων καὶ δισχιλίων,
65 εἰς ταῦτα [y] τέτταρα, ὡς ἔοικεν, ἠδίκηται τάλαντα. ὑπὸ
τοῦ ταῦτα; ὑπὸ τοῦ οἰκέτου νὴ [z] Δία τοῦ ἐμοῦ. τίς δ'
ἂν οἰκέτῃ παραχωρήσειε πολίτης τῶν [a] αὑτοῦ; ἢ τίς ἂν
φήσειεν, ὧν δίκην λαχὼν [b] ᾕρηκεν [c] οὗτος Εὔεργον, τούτων
καὶ τὸν ἐμὸν παῖδα ὑπεύθυνον εἶναι προσήκειν; χωρὶς δὲ
τούτων αὐτὸς αὐτὸν οὗτος ἀφῆκε τῶν τοιούτων αἰτιῶν
66 ἁπασῶν. οὐ γὰρ νῦν ἔδει λέγειν, οὐδ' εἰς τὴν πρόκλησιν
γράφειν ἐν ᾗ βασανίζειν ἐξῆτει, ἀλλὰ [d] λαχόντα ἐκείνῳ
τὴν δίκην τὸν κύριον διώκειν ἐμέ. νῦν δ' εἴληχε μὲν ἐμοί,
κατηγορεῖ δ' ἐκείνου. ταῦτα δ' οὐκ ἐῶσιν οἱ νόμοι· τίς
γὰρ πώποτε τῷ δεσπότῃ λαχὼν τοῦ δούλου τὰ πράγματα,
[e] ὥσπερ κυρίου, κατηγόρησεν;
67 Ἐπειδὰν τοίνυν τις αὐτὸν ἔρηται "καὶ τί δίκαιον ἕξεις
"λέγειν πρὸς Νικόβουλον;" μισοῦσι, φησὶν, Ἀθηναῖοι
τοὺς δανείζοντας· Νικόβουλος δ' ἐπίφθονός ἐστι, καὶ τα-
χέως βαδίζει, καὶ μέγα φθέγγεται, καὶ βακτηρίαν φο-
ρεῖ· ταῦτα δ' ἐστὶν [f] ἅπαντα, φησὶ, πρὸς ἐμοῦ. καὶ
ταῦτ' οὐκ αἰσχύνεται λέγων, [g] οὐδὲ τοὺς ἀκούοντας οἴεται
μανθάνειν ὅτι συκοφαντοῦντός [h] ἐστιν λογισμὸς οὗτος,

[t] ἠδικήκεις] ἠδίκεις A.r. [u] πρὸς ἀτιμῶσαι] Scribebatur προσατιμῶσαι. [x] μνᾶς δανείσας—ταυτηνὶ φεύγω δίκην] δανείσας μνᾶς—δίκην ταύτην φεύγω A.r. [y] τέτταρα] τεττερα (α supra) B.F.Q. hic et alibi non raro. [z] Δία A.S.r. Legebatur τὸν Δία. [a] αὑτοῦ S. ἑαυτοῦ vulgo. [b] ᾕρηκεν] εἴρηκεν F. [c] οὗτος] αὐτὸς F.Q. [d] λαχόντα] λαχόντας F.S.Q., non A. quem Reiskius nominavit pro B. [e] ὥσπερ] ὡς F.Q. [f] ἅπαντα] πάντα F.Q. [g] οὐδὲ] οὔτε r. [h] ἐστὶν ὁ λ.] ἐστὶ λ. A.r.

68 οὐκ ἀδικουμένου. ἐγὼ δ' ἀδικεῖν μὲν οὐδένα τῶν δανει- 982
ζόντων οἴομαι, μισεῖσθαι μέντοι [i] τινὰς [k] ἂν εἰκότως ὑφ' ὑμῶν, οἳ τέχνην τὸ πρᾶγμα πεποιημένοι μήτε συγγνώμης μήτ' ἄλλου μηδενός εἰσιν ἀλλ' ἢ τοῦ πλείονος. διὰ γὰρ [l] τὸ καὶ δεδανεῖσθαι πολλάκις, μὴ μόνον αὐτὸς τούτῳ δανεῖσαι, οὐδ' [m] ἐγὼ τούτους ἀγνοῶ οὐδὲ φιλῶ, οὐ μέντοι γ'
69 ἀποστερῶ μὰ Δί' οὐδὲ συκοφαντῶ. ὅστις δὲ εἴργασται μὲν ὥσπερ ἐγὼ πλέων καὶ κινδυνεύων, εὐπορήσας δὲ [n] μικρῶν [o] ἐδάνεισε ταῦτα, καὶ χαρίσασθαι βουλόμενος καὶ μὴ λαθεῖν διαρρυὲν αὐτὸν τὸ ἀργύριον, [p] τί τις ἂν τοῦτον εἰς ἐκείνους τιθείη; εἰ μὴ τοῦτο λέγεις, ὡς ὃς [q] ἂν σοὶ δανείσῃ, τοῦτον δημοσίᾳ μισεῖσθαι προσήκει. λέγε δή μοι τὰς μαρτυρίας, τίς ἐγὼ πρὸς τοὺς [r] συμβάλλοντας [s] ἄνθρωπος καὶ [t] πρὸς τοὺς δεομένους εἰμί.

ΜΑΡΤΥΡΙΑΙ.

70 Τοιοῦτος, ὦ Πανταίνετε, ἐγὼ ὁ ταχὺ βαδίζων καὶ τοιοῦτος σὺ ὁ ἀτρέμας. ἀλλὰ μὴν περὶ τοῦ ἐμοῦ [u] γε βαδίσματος ἢ τῆς διαλέκτου τἀληθῆ πάντ' ἐρῶ πρὸς ὑμᾶς, ὦ ἄνδρες δικασταί, μετὰ παρρησίας. ἐγὼ γὰρ οὐχὶ λέληθα ἐμαυτὸν, οὐδ' ἀγνοῶ οὐ τῶν εὖ πεφυκότων κατὰ ταῦτα ὢν ἀνθρώπων, οὐδὲ τῶν λυσιτελούντων [x] ἑαυτοῖς. εἰ γὰρ ἐν οἷς [y] μηδὲν ὠφελοῦμαι ποιῶν, λυπῶ τινὰς, πῶς
71 οὐκ ἀτυχῶ κατὰ τοῦτο τὸ μέρος; ἀλλὰ τί χρὴ παθεῖν; [z] ἂν τῷ δεῖνι δανείσω, διὰ ταῦτα δίκην [a] προσοφλεῖν; μηδαμῶς. κακίαν γὰρ [b] ἐμοὶ καὶ πονηρίαν οὔθ' οὗτος προσοῦσαν οὐδεμίαν δείξει οὔθ' ὑμῶν τοσούτων ὄντων [c] οὐδὲ εἷς

[i] τινὰς] τινὰ r. [k] ἂν εἰκότως] εἰκότως ἂν A.r. [l] τὸ καὶ S. τὸ F.Q. καὶ τὸ A.r. [m] ἐγὼ] ἐγὼ αὐτὸς A.r. [n] μικρῶν] μικρὸν A.r. [o] ἐδάνεισε] ἐδάνεισα F.Q. [p] τί om. A.r. [q] ἂν] ἐὰν S. [r] συμβάλλοντας] συμβαλόντας F.Q. Conf. ad p. 953, 3. [s] ἄνθρωπος Reiskius. ἀνθρώπους libri. [t] πρὸς om. r. [u] γε hoc loco S. Legebatur post περί. [x] ἑαυτοῖς Reiskius. ἐμαυτῷ libri. [y] μηδὲν F.S.Q. Legebatur οὐδέν. [z] ἂν τῷ δεῖνι] ἄν τῳ τί A. (non ἂν τῷ τι quod affert Reiskius) et r. [a] προσοφλεῖν] Scribebatur προσόφλειν. προσοφείλειν A.S.r. [b] ἐμοὶ] μοι A.r. [c] οὐδὲ εἷς B.S. οὐδεὶς vulgo.

σύνοιδεν. τἄλλα δὲ ταῦθ' ἕκαστος [d]ἡμῶν, ὅπως ἔτυχε,
πέφυκεν, οἶμαι. καὶ φύσει [e]μάχεσθαι μὲν ἔχοντα οὐκ 983
εὔπορόν ἐστιν (οὐ γὰρ ἂν ἀλλήλων διεφέρομεν οὐδέν),
72 γνῶναι δ' ἰδόντα ἕτερον καὶ ἐπιπλῆξαι ῥᾴδιον. ἀλλὰ τί
τούτων ἐμοὶ πρὸς σέ, [f]Πανταίνετε; πολλὰ καὶ δεινὰ πέ-
πονθας; οὐκοῦν εἴληφας δίκην. οὐ [g]παρ' ἐμοῦ γε; [h]οὐδὲ
γὰρ ἠδικήθης οὐδὲν ὑπ' ἐμοῦ. οὐ γὰρ ἄν ποτ' ἀφῆκας, οὐδ',
ὅτ' Εὐέργῳ [i]προῃροῦ λαγχάνειν, [k]εἴασας ἐμέ, οὐδὲ [l]πρα-
τῆρα ἠξίωσας ὑποστῆναι τόν γε δεινά [m]σε καὶ [n]πολλὰ
εἰργασμένον. εἶτα καὶ πῶς ἂν ὁ μὴ παρὼν μηδ' ἐπιδη-
73 μῶν ἐγώ τί σε ἠδίκησα; εἰ τοίνυν ὡς [o]οἷόν τε μέγιστ'
ἠδικῆσθαι δοίη [p]τις αὐτῷ καὶ ἐρεῖν ἅπαντα [q]τἀληθῆ περὶ
τούτων νυνί, ἐκεῖνό γ' οἶμαι πάντας [r]ἂν [s]ὑμᾶς ὁμολογῆ-
σαι, ὅτι πολλὰ συμβέβηκεν ἠδικῆσθαί τισιν ἤδη μείζω
τῶν εἰς χρήματα γιγνομένων ἀδικημάτων· καὶ γὰρ
ἀκούσιοι φόνοι καὶ ὕβρεις εἰς ἃ μὴ δεῖ καὶ πολλὰ [t]ἄλλα
74 τοιαῦτα γίγνεται. ἀλλ' ὅμως ἁπάντων τούτων ὅρος καὶ
λύσις τοῖς παθοῦσι τέτακται τὸ πεισθέντας ἀφεῖναι.
καὶ τοῦθ' οὕτω τὸ δίκαιον ἐν πᾶσιν ἰσχύει, ὥστε ἂν ἑλών
τις [u]ἀκουσίου φόνου καὶ σαφῶς ἐπιδείξας μὴ καθαρὸν
μετὰ ταῦτ' αἰδέσηται καὶ [x]ἀφῇ, οὐκέτ' ἐκβαλεῖν κύριος
75 τὸν αὐτόν ἐστιν. οὐδέ [y]γ', ἂν [z]ὁ παθὼν αὐτὸς ἀφῇ τοῦ
φόνου, πρὶν τελευτῆσαι, τὸν δράσαντα, οὐδενὶ τῶν λοιπῶν
συγγενῶν ἔξεστιν ἐπεξιέναι, ἀλλ' οὓς ἐκπίπτειν καὶ φεύ-
γειν, ἂν ἁλίσκωνται, καὶ τεθνάναι [a]προστάττουσιν οἱ νό-

[d] ἡμῶν] ὑμῶν S. [e] μάχεσθαι μὲν ἔχοντα A.S.r. μὲν ἔχοντα μάχεσθαι vulgo. [f] Πανταίνετε] πανταίνετε οὐδέν F.Q. [g] παρ' ἐμοῦ γε] παρὰ σοῦ γε A.r. [h] οὐδὲ] οὐ r. [i] προῃροῦ] προσῃροῦ S. [k] εἴασας] εἴας ἂν A.r. [l] πρατῆρα] πρατῆρας r. [m] σε] γε A.r. [n] πολλὰ A.S. Legebatur μεγάλα. [o] οἷόν τε] οἴονται A.r. [p] τις] τις ἂν A.r. [q] τἀληθῆ] ἀληθῆ A.Q.r. [r] ἂν ὑμᾶς] ὑμᾶς αν S. [s] ὑμᾶς] ὑμῶν A.r. [t] ἄλλα τοιαῦτα A.S.r. Legebatur τοιαῦτα ἄλλα. [u] ἀκουσίου] ἑκουσίου libri quidam p. 991, 3. [x] ἀφῇ] ἀφιηι S. ἀφῇ libri omnes p. 991, 5. [y] γ'] γὰρ F.Q. [z] ὁ παθὼν αὐτὸς] αὐτὸς ὁ παθὼν F.Q. [a] προστάττουσι] τάττουσι A.r.

μοι, τούτους. ἂν [b] ἀφεθῶσιν, ἅπαξ ἁπάντων ἐκλύει τῶν
76 δεινῶν τοῦτο τὸ ῥῆμα. εἶθ' ὑπὲρ μὲν [c] ψυχῆς καὶ τῶν μεγίστων οὕτως ἰσχύει καὶ μένει τὸ ἀφεῖναι, ὑπὲρ δὲ χρημάτων καὶ ἐλαττόνων ἐγκλημάτων ἄκυρον ἔσται; μηδαμῶς. οὐ γὰρ εἰ μὴ τῶν δικαίων ἐγὼ παρ' ὑμῖν τεύξομαι, 984
τοῦτ' ἔστι δεινότατον, ἀλλ' εἰ πρᾶγμα δίκαιον ὡρισμένον ἐκ παντὸς τοῦ χρόνου [d] νῦν [e] καταλυθήσεται ἐφ' ἡμῶν.

ΛΗ.

ΠΑΡΑΓΡΑΦΗ ΠΡΟΣ ΝΑΥΣΙΜΑΧΟΝ ΚΑΙ ΞΕΝΟΠΕΙΘΗΝ.

[f] ΥΠΟΘΕΣΙΣ.

Ναυσίμαχος καὶ Ξενοπείθης ἐπετροπεύθησαν ὑπὸ [g] Ἀρισταίχμου, ἐγγραφέντες δὲ εἰς ἄνδρας ἔλαχον δίκην [h] ἐπιτροπῆς αὐτῷ, εἶτα διελύσαντο λαβόντες τρία τάλαντα, καὶ ἀφῆκαν [i] αὐτὸν τῶν ἐγκλημάτων. καὶ ὁ μὲν τετελεύτηκε καταλιπὼν παῖδας [k] τέτταρας, τούτοις δὲ μετὰ χρόνον συχνὸν ὁ Ναυσίμαχος καὶ Ξενοπείθης δικάζονται βλάβης, χρήματα ἀπαιτοῦντες ἐκ τῆς ἐπιτροπῆς. οἱ δὲ [l] παραγράφονται παρατιθέμενοι τὸν νόμον τὸν οὐκ ἐῶντα περὶ ὧν ἄν τις ἄφεσιν δῷ καὶ [m] ἀπαλλαγὴν πάλιν δικάζεσθαι.

ΔΕΔΩΚΟΤΩΝ, [n] ὦ ἄνδρες [o] δικασταί, τῶν νόμων παραγράψασθαι περὶ ὧν ἄν τις ἀφεὶς καὶ ἀπαλλάξας πάλιν δικάζηται, γεγενημένων [p] ἀμφοτέρων τούτων τῷ πατρὶ πρὸς Ναυσίμαχον καὶ Ξενοπείθην τοὺς εἰληχότας ἡμῖν, 985

[b] ἀφεθῶσιν ἅπαξ A.S.r. ἅπαξ ἀφεθῶσιν vulgo. [c] ψυχῆς A.r. et p. 991, 6. Legebatur τῆς ψυχῆς. [d] νῦν S.Q. Legebatur νυνί. [e] καταλυθήσεται] καταλύσετε F.S.Q. In scriptura vulgata consentiunt libri p. 991, 11, omisso tamen ἐφ' ἡμῶν. [f] Argumentum a m. seculi quarti decimi habet S. [g] Ἀρισταίχμου] ἀριστέχνου F. [h] ἐπιτροπῆς] ἐπιτρόπου F. [i] αὐτὸν Wolfius. αὐτῷ libri. [k] τέτταρας] τέσσαρας S. [l] παραγράφονται] γράφονται F.S. [m] ἀπαλλαγὴν] ἀπαλλαγῆι F. [n] ὦ ἄ. δικασταὶ] $\overset{\delta}{\omega}$ A. [o] δικασταὶ] ἀθηναῖοι F.Q. om. r. [p] ἀμφοτέρων τούτων A.S.r. et p. 966, 4.

παρεγραψάμεθα, ὥσπερ ἠκούσατε ἀρτίως, μὴ εἰσαγώ-
2 γιμον εἶναι τὴν δίκην. δεήσομαι δὲ καὶ [q] δίκαια καὶ μέτρια ὑμῶν ἁπάντων, πρῶτον μὲν εὐνοϊκῶς ἀκοῦσαί μου λέγοντος, [r] εἶτ᾽, ἐὰν ἀδικεῖσθαι δοκῶ καὶ μὴ προσήκοντος ἐγκλήματος φεύγειν δίκην, βοηθῆσαί [s] μοι τὰ δίκαια. ὃ μὲν γὰρ ὑμεῖς ἐπὶ τῇ δίκῃ τίμημα ἀκηκόατε, τριάκοντα [t] μναῖ εἰσὶν. ὧν δὲ φεύγομεν χρημάτων, [u] τέτταρα τά-
3 λαντα. ὄντες γὰρ δύο τέτταρας εἰλήχασι δίκας ἡμῖν, τῶν αὐτῶν χρημάτων [x] πάσας, τρισχιλίων [y] ἑκάστην, βλάβης· καὶ νυνὶ πρὸς τριάκοντα μνῶν ἐπίγραμμα [z] ὑπὲρ τοσούτων χρημάτων εἰς ἀγῶνα καθέσταμεν. τὴν [a] μὲν οὖν συκοφαντίαν τὴν τούτων, καὶ μεθ᾽ ὅσης ἐπιβουλῆς ἐληλύθασιν ἐφ᾽ ἡμᾶς, ἐξ αὐτῶν τῶν πεπραγμένων εἴσεσθε.
4 ἀναγνώσεται δὲ πρῶτον μὲν ὑμῖν τὰς μαρτυρίας, ὡς [b] ἀφεῖσαν τὸν πατέρα ἡμῶν ὧν [c] ἐνεκάλεσαν εἰς τὴν ἐπιτροπήν· κατὰ γὰρ τοῦτο καὶ παρεγραψάμεθα μὴ εἰσαγώγιμον εἶναι τὴν δίκην. καί μοι λέγε [d] ταυτασὶ τὰς μαρτυρίας.

ΜΑΡΤΥΡΙΑΙ.

5 Ὅτι μὲν τοίνυν, ὦ ἄνδρες δικασταί, [e] καὶ δίκας ἔλαχον τῆς ἐπιτροπῆς καὶ ἀφεῖσαν ταύτας καὶ τὰ συγχωρηθέντα χρήματα ἔχουσιν, ἀκούετε τῶν [f] μαρτύρων. ὅτι δ᾽ οὐκ ἐῶσιν οἱ νόμοι περὶ τῶν οὕτω πραχθέντων αὖθις δικάζεσθαι, νομίζω μὲν [g] ἅπαντας ὑμᾶς εἰδέναι, κἂν μηδὲν εἴπω περὶ αὐτῶν ἐγὼ, βούλομαι δ᾽ ὅμως καὶ τὸν νόμον ὑμῖν αὐτὸν ἀναγνῶναι. λέγε τὸν νόμον.

[q] δίκαια καὶ μέτρια] μέτρια καὶ δίκαια F.Q. [r] εἶτ᾽] ἔπειτα A.r. [s] μοι om. S. [t] μναῖ εἰσὶν] εἰσι μναῖ F.Q. [u] τέτταρα τάλαντα] τέττ^{α}ερα τάλαντα F.Q. τετταροντα S., omisso τάλαντα. [x] πάσας] ἁπάσας F.Q. [y] ἑκάστην] ἑκάστης F.S.Q. [z] ὑπὲρ] ἐπὶ pr. S. [a] μὲν om. A.r. [b] ἀφεῖσαν] Literas ει in S. a m. rec. η superscriptum hic et bis infra. [c] ἐνεκάλεσαν] ἐκάλεσαν F. [d] ταυτασὶ] ταύτας A.r. [e] καὶ om. F.Q. [f] μαρτύρων F.Q. μαρτυριῶν A.S.r. Conf. p. 996, 9. [g] ἅπαντας ὑμᾶς S. ὑμᾶς ἅπαντας vulgo.

ΝΟΜΟΣ.

986
6 Ἀκούετε, ὦ ἄνδρες δικασταί, τοῦ νόμου σαφῶς λέγον-
τος ἕκαστα, ὧν μὴ εἶναι δίκας· ὧν [h]ἕν ἐστιν, ὁμοίως τοῖς
ἄλλοις [i]κύριον, περὶ ὧν ἄν τις ἀφῇ καὶ ἀπαλλάξῃ, μὴ
δικάζεσθαι. οὕτω τοίνυν καὶ μετὰ πολλῶν μαρτύρων τῆς
ἀφέσεως γεγονυίας, καὶ φανερῶς [k]ἀπολύοντος ἡμᾶς τοῦ
νόμου, εἰς τοῦτο ἐληλύθασιν ἀναισχυντίας οὗτοι καὶ τόλ-
7 μης, ὥστε τεττάρων μὲν καὶ δέκα ἐτῶν γεγενημένων ἀφ'
οὗ τὸν πατέρα ἡμῶν ἀφεῖσαν, εἴκοσι δὲ καὶ δυοῖν ἀφ' οὗ
τυγχάνουσι [l]γεγραμμένοι, τετελευτηκότος δὲ καὶ τοῦ πα-
τρὸς τοῦ ἡμετέρου, [m]πρὸς ὃν αὐτοῖς ἐγένοντο αἱ [n]ἀπαλλα-
γαί, καὶ τῶν ἐπιτρόπων, οἳ μετὰ τὸν ἐκείνου θάνατον τῶν
8 ἡμετέρων ἐγένοντο κύριοι, καὶ τῆς ἑαυτῶν μητρός, ἥτις
ἅπαντα ταῦτα ᾔδει, καὶ διαιτητῶν καὶ μαρτύρων καὶ
πάντων τῶν πλείστων ὡς εἰπεῖν, [o]τὴν ἡμετέραν ἀπειρίαν
καὶ τὴν ἐξ ἀνάγκης ἄγνοιαν τῶν πεπραγμένων ἕρμαιον
νομίσαντες [p]ἑαυτῶν τὰς δίκας [q]ἡμῖν ἔλαχον [r]ταυτασί, καὶ
9 λόγον [s]οὔτε δίκαιον [t]οὔτ' ἐπιεικῆ τολμῶσι λέγειν. φασὶ
γὰρ οὐκ [u]ἀποδόσθαι τὰ πατρῷα ὧν ἐκομίζοντο χρημάτων,
οὐδ' ἀποστῆναι τῶν ὄντων, ἀλλ' ὅσα αὐτοῖς κατελείφθη
χρέα καὶ σκεύη καὶ ὅλως χρήματα, [x]ταῦθ' [y]ἑαυτῶν γίγνε-
σθαι. ἐγὼ δ' οἶδ' ἀκούων ὅτι τὴν οὐσίαν Ξενοπείθης καὶ
Ναυσικράτης ἅπασαν χρέα [z]κατέλιπον, καὶ φανερὰν ἐκέ-
κτηντο μικράν τινα· εἰσπραχθέντων δὲ τῶν χρεῶν καί τινων
σκευῶν πραθέντων, ἔτι δ' ἀνδραπόδων, [a]καὶ τὰ χωρία καὶ
τὰς συνοικίας ἐπρίαντο οἱ ἐπίτροποι, ἃ παρέλαβον [b]οὗ-

[h] ἕν om. A.r. [i] κύριον] κυρίοις S. [k] ἀπολύοντος] ἀπολαύοντος A.r. [l] γεγραμμένοι] ἐγγεγραμμένοι A.r. [m] πρὸς] καθ' F.Q. [n] ἀπαλλαγαὶ] διαλλαγαὶ S. [o] τὴν ἡμετέραν ἀπειρίαν] τὴν ἀπειρίαν τὴν ἡμετέραν A.r. [p] ἑαυτῶν S. αὑτῶν vulgo. [q] ἡμῖν ἔλαχον] ἔλαχον ἡμῖν A.r. [r] ταυτασὶ S. ταύτας vulgo. [s] οὔτε δίκαιον om. F.Q. [t] οὔτ'] οὐκ F.Q. [u] ἀποδόσθαι] ἀποδιδοσθαι S. [x] ταῦθ'] ταῦτα τα̈ S. ταῦτ' A, qui αυτῶν. ταῦτα B. qui αὐτῶν. [y] ἑαυτῶν S. αὑτῶν vulgo. [z] κατέλιπον] κατέλειπον S. [a] καὶ addidi ex S. [b] οὗτοι] αὐτοί F.

10 τοι. εἰ μὲν οὖν μηδὲν [c]ἠμφεσβητήθη περὶ [d]τούτων πρότε-
ρον, μηδ' ὡς οὐ καλῶς διῳκημένων εἰς δίκην [e]ἦλθεν, ἄλλος 987
ἂν ἦν λόγος· ἐπειδὴ δ' ὅλην τὴν ἐπιτροπὴν ἐγκαλέσαντες
οὗτοι καὶ δίκας λαχόντες χρήματ' ἐπράξαντο, [f]πάντα
ταῦτα ἀφεῖται τότε. οὔτε γὰρ οὗτοι τοῦ ὀνόματος δήπου
[g]τοῦ τῆς ἐπιτροπῆς τὰς δίκας ἐδίωκον, ἀλλὰ τῶν χρημά-
των, οὔτ' ἐκεῖνοι τοὔνομα τοῦτο ἐωνοῦντο ὧν [h]ἀπέτισαν
χρημάτων, ἀλλὰ τὰ ἐγκλήματα.
11 Ὅτι μὲν οὖν ὧν πρὸ τῶν ἀπαλλαγῶν [i]εἰσέπραξε χρεῶν
ὁ πατὴρ ἢ ὅλως ἔλαβε χρημάτων ἐκ τῆς ἐπιτροπῆς, οὐ-
δενός εἰσι δίκαι [k]τούτοις καθ' ἡμῶν ἀπηλλαγμένοις, ἐξ
αὐτῶν τῶν νόμων καὶ τῆς ἀφέσεως ἱκανῶς πάντας [l]ἡγοῦ-
μαι ὑμᾶς μεμαθηκέναι. ὅτι δ' ὕστερον οὐκ ἔνι τὴν κομι-
δὴν γεγενῆσθαι τούτων τῶν χρημάτων (τοῦτο γὰρ [m]πλάτ-
12 τουσιν οὗτοι καὶ παράγουσι), τοῦτο βούλομαι δεῖξαι. τὸν
μὲν γὰρ πατέρ' [n]οὐδ' ἂν αἰτιάσαιντο λαβεῖν· τέτταρσι
γὰρ ἢ τρισὶ μησὶν ὕστερον ἢ διελύσατο πρὸς τούτους ἐτε-
λεύτησεν. ὡς δ' οὐδὲ [o]Δημάρετον τὸν καταλειφθέντα
ἡμῶν ἐπίτροπον λαβεῖν [p]οἷόν τε (καὶ γὰρ τοῦτον ἔγραψαν
13 εἰς τὸ ἔγκλημα), καὶ τοῦτο ἐπιδείξω. μέγιστοι μὲν οὖν
[q]ἡμῖν εἰσὶν οὗτοι μάρτυρες· οὐδαμοῦ γὰρ φανήσονται δί-
κην εἰληχότες ζῶντι τῷ Δημαρέτῳ· οὐ μὴν ἀλλὰ καὶ τὸ
πρᾶγμα ἄν τις [r]αὐτὸ σκοπῶν καὶ θεωρῶν ἴδοι οὐ μόνον
14 οὐχὶ λαβόντα, ἀλλ' οὐδ' ἐνὸν αὐτῷ λαβεῖν. ἦν μὲν γὰρ
τὸ [s]χρέως [t]ἐν Βοσπόρῳ, ἀφίκετο δ' οὐδεπώποτε εἰς τὸν

[c] ἠμφεσβητήθη S. ἠμφισβητήθη vulgo, quod a m. recentissima habet S.
[d] τούτων] τουτῶν^{ου} F. τούτου Q. [e] ἦλθεν] ἦλθον Schæferus. [f] πάντα ταῦτα] ταῦτα πάντα A.r. [g] τοῦ om. A.r. [h] ἀπέτισαν] ἀπαιτησαν pr. S.
[i] εἰσέπραξε] ὧν εἰσέπραξε S. [k] τούτοις καθ' ἡμῶν] καθ' ἡμῶν τούτοις F.Q.
[l] ἡγοῦμαι ὑμᾶς A.S.r. ὑμᾶς ἡγοῦμαι vulgo. [m] πλάττουσιν] πράττουσιν r.
[n] οὐδ' ἂν] οὐδὲν S. [o] Δημάρετον] δημάρατον pr. S., erasis tribus post hoc nomen literis. [p] οἷόν τε] οἴονται F.Q. [q] ἡμῖν εἰσὶν] εἰσὶν αὐτοὶ ἡμῖν A.r. [r] αὐτὸ σκοπῶν S. σκοπῶν αὐτὸ vulgo. [s] χρέως A.S.Q. χρέος vulgo hic et infra. [t] ἐν Βοσπόρῳ A.S.r. εἰς^{ἐν} τον^{ω} βόσπορον^{ω} F.

τόπον τοῦτον ὁ Δημάρετος· πῶς οὖν εἰσέπραξεν; ἔπεμψε νὴ Δία, εἴποι τις [u] ἄν, τὸν κομιούμενον. σκοπεῖτε [x] δὴ τοῦτο [y] οὑτωσί. ὤφειλεν [z] Ἑρμῶναξ στατῆρας ἑκατὸν 988 παρὰ Ναυσικράτους λαβὼν τούτοις. τούτων [a] Ἀρίσταιχμος ἐπίτροπος καὶ κηδεμὼν ἐγένετο ἑκκαίδεκα ἔτη.
15 οὐκοῦν [b] ἅ γε τούτων ἀνδρῶν γεγονότων δι' ἑαυτοῦ [c] διέλυε χρήματα ὁ Ἑρμῶναξ, οὐκ ἀπέδωκεν, ὅτ' ἦσαν παῖδες· οὐ γὰρ δίς γε ταὐτὰ κατετίθει. ἔστιν οὖν οὕτω τις ἀνθρώπων ἄτοπος, ὥσθ' ἃ τοὺς κυρίους διεκρούσατο μὴ καταθεῖναι τοσοῦτον χρόνον, ταῦτα [d] τῷ μὴ κυρίῳ [e] πέμψαντι
16 γράμματα ἑκὼν ἀποδοῦναι; ἐγὼ μὲν οὐκ [f] οἶμαι. ἀλλὰ μὴν ὡς ἀληθῆ λέγω, καὶ ὁ μὲν πατὴρ ἐτελεύτησεν εὐθέως μετὰ τὰς διαλύσεις, τῷ Δημαρέτῳ δ' οὐδεπώποθ' οὗτοι [g] τούτων τῶν χρημάτων δίκην ἔλαχον, οὐδ' [h] ὅλως ἐξέπλευσεν ἐκεῖνος οὐδ' ἀπεδήμησεν ἐκεῖσε, λαβὲ τὰς μαρτυρίας.

[i] ΜΑΡΤΥΡΙΑΙ.

17 Ὅτι μὲν τοίνυν [k] οὔθ' ὁ πατὴρ μετὰ τὴν ἄφεσιν τὰ χρήματ' εἰσέπραξεν, οὔτ' ἂν ἔδωκεν ἑκὼν οὐδείς, εἴ τινα [l] ἔπεμψεν ὁ Δημάρετος, οὔτ' [m] ἀνέπλευσεν αὐτὸς [n] οὐδ' ἀφίκετο ἐκεῖσε, δῆλον ἐκ τῶν χρόνων καὶ τῶν [o] μαρτυριῶν ὑμῖν γέ-
18 γονεν. βούλομαι τοίνυν καὶ ὅλως ψευδομένους αὐτοὺς ὅλον τὸ πρᾶγμα ἐπιδεῖξαι. οὗτοι γὰρ γεγράφασιν εἰς ὃ νῦν ἔγκλημα διώκουσιν, ὀφείλειν ἡμᾶς τὸ ἀργύριον κομισαμένου τοῦ πατρὸς καὶ παραδόντος αὐτοῖς τοῦτο τὸ χρέως

[u] ἄν, τὸν] αὐτὸν F.Q. [x] δὴ] δὲ A. [y] οὑτωσί] οὑτοσί pr. S. οὑτοσί γ' F.Q. [z] Ἑρμῶναξ F. Ἑρμώναξ hic et infra vulgo, et A.B. Accentu carent S.Q. [a] Ἀρίσταιχμος ἐπίτροπος καὶ κηδεμὼν ἐγένετο Bekkerus. ἀρίσταιχμος ἐπίτροπος ἦν καὶ κηδεμὼν ἐγένετο F.S.Q. ἐπίτροπος καὶ κηδεμὼν ἀρίσταιχμος ἐγένετο A.r. [b] ἅ γε] ἅτε F. [c] διέλυε] διέλυσε A.r. [d] τῷ μὴ] μητω S. [e] πέμψαντι] γράψαντι F.Q. [f] οἶμαι] οἴομαι A. [g] τούτων τῶν χρημάτων] τῶν χρημάτων τούτων A.r. [h] ὅλως] ὅλως F. ὅπως Q. [i] ΜΑΡΤΥΡΙΑΙ] ΜΑΡΤΥΡΙΑ S. [k] οὔθ'] οὐδ' S. [l] ἔπεμψεν] ἔπεμπεν r. [m] ἀνέπλευσεν Schæferus. Legebatur ἂν ἔπλευσεν. [n] οὐδ'] οὐδ' ἂν F.Q. [o] μαρτυριῶν] μαρτύρων B.

ἐν τῷ λόγῳ τῆς ἐπιτροπῆς ὀφειλόμενον. καί μοι λέγε αὐτὸ τὸ ἔγκλημα λαβών.

ΕΓΚΛΗΜΑ.

19 Ἀκούετε γεγραμμένον ἐν τῷ ἐγκλήματι "παραδόντος "ἐμοὶ τοῦ Ἀρισταίχμου τὸ χρέως ἐν τῷ λόγῳ τῆς ἐπιτρο- "πῆς." ὅτε τοίνυν ἐλάγχανον τῷ πατρὶ τῆς ἐπιτροπῆς, 989 τἀναντία ἐγράψαντο [p] τούτων· ὡς γὰρ οὐκ [q] ἀποδόντι λόγον [r] τότ' ἐγκαλοῦντες φαίνονται. λέγε [s] αὐτὸ τὸ ἔγκλημα, ὃ [t] τότ' ἔλαχον τῷ πατρί.

ΕΓΚΛΗΜΑ.

20 Ἐν ποίῳ δὴ λόγῳ [u] νῦν ἐγκαλεῖτε ὡς παρέδωκεν, ὦ Ξενοπείθη καὶ Ναυσίμαχε; τοτὲ μὲν γὰρ ὡς οὐκ [x] ἀποδόντι δίκας ἐλαγχάνετε καὶ χρήματ' ἐπράττεσθε. [y] τοτὲ δ' ὡς παραδόντος διώκετε. εἰ δ' ἐπ' ἀμφότερα ἔσται συκοφαντεῖν ὑμῖν, καὶ τοτὲ μὲν τοῦ μὴ παραδοῦναι χρήματα [z] ἐπράξασθε, τοτὲ δὲ ὡς παραδόντος διώξετε, οὐδὲν [a] κωλύει καὶ τρίτον τι σκοπεῖν μετὰ [b] ταῦτα, ὅτου πάλιν δικάσεσθε. οἱ νόμοι δ' οὐ ταῦτα λέγουσιν, ἀλλ' ἅπαξ περὶ τῶν αὐτῶν πρὸς τὸν αὐτὸν εἶναι τὰς δίκας.

21 Ἵνα τοίνυν εἰδῆτε, ὦ ἄνδρες [c] δικασταὶ, ὅτι οὐ μόνον οὐκ ἀδικοῦνται νῦν, ἀλλὰ καὶ παρὰ πάντας ἡμῖν δικάζονται τοὺς νόμους, βούλομαι καὶ τοῦτον ὑμῖν τὸν νόμον εἰπεῖν, ὅστις διαρρήδην λέγει, ἐὰν πέντε ἔτη παρέλθῃ καὶ μὴ δικάσωνται, μηκέτ' εἶναι τοῖς ὀρφανοῖς δίκην περὶ τῶν ἐκ τῆς ἐπιτροπῆς ἐγκλημάτων. [d] καὶ ὑμῖν ἀναγνώσεται τὸν νόμον.

[p] τούτων] τούτωι S. [q] ἀποδόντι] ἀποδιδόντι A.Q.r. [r] τότ' Sauppius. καὶ τότ' S. καὶ τοῦτό γ' A.r. Legebatur καὶ τοῦτο. [s] αὐτὸ] δ' αὐτὸ A.F.Q.r. [t] τότ' om. A.r. in γρ. habent F.Q. Conf. var. lect. ad p. 990, 11. [u] νῦν om. A.r. [x] ἀποδόντι S. Legebatur ἀποδιδόντι. [y] τοτὲ δ'—διώκετε om. A.S.r. [z] ἐπράξασθε S. Legebatur πράξεσθε. [a] κωλύει S. (non B, de quo fallitur Reiskius.) κωλύσει A.F.Q.r. [b] ταῦτα] τοῦτο F.Q. [c] δικασταὶ] ἀθηναῖοι F.Q.r. In A ὦ with ὁ above. [d] καὶ ὑμῖν B.F.S.Q. Legebatur καὶ τοῦτον ὑμῖν.

ΝΟΜΟΣ.

22 Ἀκούετε, ὦ ἄνδρες δικασταὶ, τοῦ νόμου λέγοντος ἄν-
τικρυς, ἐὰν μὴ πέντε ἐτῶν δικάσωνται, μηκέτ' εἶναι δίκην.
οὐκοῦν ἐλάχομεν, φαῖεν ἄν. καὶ διελύσασθέ γε, ὥστ'
οὐκ εἰσὶν αὖθις ὑμῖν δίκαι. ἢ δεινόν γ' ἂν εἴη, εἰ τῶν μὲν
ἐξ ἀρχῆς ἀδικημάτων οὐ δίδωσιν ἔξω πέντ' ἐτῶν τὰς δί-
κας τοῖς ὀρφανοῖς ὁ νόμος [e]κατὰ τῶν οὐκ ἀφειμένων ἐπι-
τρόπων, πρὸς δὲ τοὺς ἐξ ἐκείνων ἡμᾶς, περὶ ὧν [f]αὐτοὺς 990
ἀφήκατε, εἰκοστῷ νῦν ἔτει δίκην [g]τελέσαισθ' ὑμεῖς.
23 Ἀκούω τοίνυν αὐτοὺς τὰ μὲν περὶ τῶν πραγμάτων αὐ-
τῶν καὶ τῶν νόμων δίκαια [h]φεύξεσθαι, [i]παρεσκευάσθαι
δὲ λέγειν ὡς πολλὰ χρήματ' αὐτοῖς κατελείφθη καὶ
[k]ταῦτ' ἀπεστερήθησαν, καὶ τεκμηρίῳ [l]χρήσεσθαι [m]τούτου
τῷ μεγέθει τῶν δικῶν ἃς ἐξ ἀρχῆς ἔλαχον, καὶ τὴν ὀρφα-
νίαν ὀδυρεῖσθαι, καὶ τὸν τῆς ἐπιτροπῆς λόγον διεξιέναι·
καὶ [n]ταῦτ' εἶναι καὶ τοιαῦθ' οἷς πεπιστεύκασι [o]καὶ δι'
24 ὧν ὑμᾶς ἐξαπατήσειν οἴονται. ἐγὼ δὲ [p]τὸ μὲν τῶν δικῶν
μέγεθος τῶν [q]τότε [r]ληχθεισῶν μεῖζον ἡγοῦμαι τεκμήριον
[s]ἡμῖν [t]εἶναι, ὡς ἐσυκοφαντεῖτο ὁ πατὴρ, ἢ τούτοις, ὡς
πολλὰ ἀπεστεροῦντο. ὀγδοήκοντα μὲν γὰρ τάλαντ' ἔχων
25 [u]ἐξελέγχειν [x]οὐδὲ εἷς ἂν τρία λαβὼν ἀπηλλάγη· τοσούτων
δὲ χρημάτων [y]ἐπιτροπῆς φεύγων, οὐδεὶς ἔστιν ὅστις οὐκ
ἂν ἔδωκε τρία τάλαντα, τὸν κίνδυνον ὠνούμενος καὶ τὰ
φύσει τότε [z]τούτοις πλεονεκτήματα ὑπάρχοντα. καὶ γὰρ
ὀρφανοὶ καὶ νέοι καὶ ὁποῖοί τινές εἰσιν ἀγνῶτες ἦσαν·

[e] κατὰ] οὐδὲ κατὰ A.r. [f] αὐτοὺς ἀφήκατε] ἀφήκατε αὐτοὺς F.Q. [g] τελέσαισθ'] τελέσεσθ' r. [h] φεύξεσθαι A.F.Q.r. Legebatur φευξεῖσθαι. [i] παρεσκευάσθαι] παρασκευάσασθαι F.Q. [k] ταῦτ'] τούτων F.Q. [l] χρήσεσθαι Wolfius. χρήσασθαι F.S.Q. χρῆσθαι A.r. [m] τούτου A.r. τούτῳ F.S.Q. [n] ταῦτ' εἶναι καὶ τοιαῦθ' S. τοιαῦτ' εἶναι A.F.Q.r. [o] καὶ om. A.r. [p] τὸ μὲν τῶν δικῶν μέγεθος] τῶν μὲν δικῶν τὸ μέγεθος A.r. [q] τότε om. F.S.Q. [r] ληχθεισῶν Wolfius. λεχθεισῶν libri. [s] ἡμῖν] ὑμῖν A.r. [t] εἶναι post πατὴρ A.F.Q.r. [u] ἐξελέγχειν] ἐλέγχειν A.F.Q.r. [x] οὐδὲ εἷς] οὐδεεις S. οὐδεὶς vulgo. [y] ἐπιτροπῆς φεύγων] φεύγων ἐπιτροπῆς A.r. [z] τούτοις πλεονεκτήματα] πλεονεκτήματα τούτοις F.Q.

ταῦτα δὲ πάντες φασὶ μεγάλων δικαίων [a]ἰσχύειν [b]πλέον παρ' ὑμῖν.

26 Ὅτι τοίνυν οὐδ' ἀνάσχοισθ' ἂν αὐτῶν εἰκότως οὐδὲν περὶ τῆς ἐπιτροπῆς, καὶ τοῦτ' οἴομαι [c]δείξειν. εἰ γὰρ ὡς [d]οἷόν τε μέγιστ' ἠδικῆσθαι δοίη [e]τις αὐτοῖς καὶ ἐρεῖν [f]ἅπαντα τἀληθῆ περὶ τούτων νυνί, ἐκεῖνό γ' [g]οἶμαι [h]πάντας ἂν ὑμᾶς ὁμολογῆσαι, ὅτι πολλὰ συμβέβηκεν ἠδικῆσθαί τισιν ἤδη [i]μείζω τῶν εἰς χρήματα γιγνομένων ἀδική-
27 ματων· καὶ γὰρ ἀκούσιοι φόνοι καὶ ὕβρεις εἰς ἃ μὴ δεῖ καὶ [k]ἄλλα πολλὰ τοιαῦτ' ἀδικήματα γίγνεται. ἀλλ' ὅμως [l]τούτων ἁπάντων ὅρος καὶ λύσις τοῖς παθοῦσι τέτακται 991 τὸ πεισθέντας ἀφεῖναι. καὶ τοῦθ' οὕτω τὸ δίκαιον ἐν πᾶσιν ἰσχύει, ὥστ' [m]ἂν ἑλών τις [n]ἀκουσίου φόνου καὶ [o]σαφῶς ἐπιδείξας μὴ καθαρὸν μετὰ ταῦτ' αἰδέσηται καὶ ἀφῇ,
28 οὐκέτ' [p]ἐκβαλεῖν κύριος τὸν αὐτόν ἐστιν. εἶθ' ὑπὲρ μὲν ψυχῆς καὶ τῶν μεγίστων οὕτως ἰσχύει καὶ μένει τὸ ἀφεῖναι, ὑπὲρ δὲ χρημάτων καὶ ἐλαττόνων ἐγκλημάτων [q]ἄκυρον ἔσται; μηδαμῶς. οὐ γὰρ εἰ μὴ τῶν δικαίων ἐγὼ παρ' ὑμῖν τεύξομαι, τοῦτ' ἔστι [r]δεινότατον, ἀλλ' εἰ πρᾶγμα δίκαιον ὡρισμένον ἐκ παντὸς τοῦ χρόνου [s]νῦν καταλυθήσεται.

29 Οὐκ ἐμίσθωσαν [t]ἡμῶν τὸν οἶκον, ἴσως ἐροῦσιν. οὐ γὰρ ἐβούλεθ' ὁ θεῖος ὑμῶν Ξενοπείθης, ἀλλὰ φήναντος Νικίδου τοὺς δικαστὰς ἔπεισεν ἐᾶσαι [u]αὐτὸν διοικεῖν· καὶ ταῦτ' ἴσασι πάντες. πολλὰ [x]διήρπασαν [y]ἡμῶν ἐκεῖνοι. οὐκοῦν

[a] ἰσχύειν πλέον παρ' ὑμῖν] παρ' ὑμῖν ἰσχύειν πλέον A.r. [b] πλέον] πλειον S. [c] δείξειν] διδάξειν A.r. [d] οἷόν τε] οἴονται A.r. [e] τις] τις ἂν A.r. [f] ἅπαντα] πάντα F.Q.r. [g] οἶμαι A.S. οἴομαι vulgo. [h] πάντας ἂν ὑμᾶς ὁμολογῆσαι] δείξειν B.F.Q. Vulgatum in marg. habet B. [i] μείζω] μείζων S. [k] ἄλλα om. S. Habet p. 983, 16. [l] τούτων ἁπάντων] ἁπάντων τούτων A.r. et p. 983. [m] ἂν ἑλών] ἀνελών A.r. [n] ἀκουσίου] ἑκουσίου F.Q. Illud legitur p. 983. [o] σαφῶς] φανερῶς F.S.Q. [p] ἐκβαλεῖν] ἐκβάλλειν A. [q] ἄκυρον ἔσται] ἔσται ἄκυρον F. [r] δεινότατον] δεινόν F.Q. [s] νῦν A.S.r. Legebatur νυνί. [t] ἡμῶν τὸν οἶκον] τὸν οἶκον ἡμῶν F.Q. [u] αὐτὸν διοικεῖν] διοικεῖν αὐτόν F.Q. [x] διήρπασαν] δ' ἥρπασαν A.r. [y] ἡμῶν] ὑμῶν F.Q.

ἣν ἐπείσθητέ [z] γε, [a] τούτων δίκην παρ' αὐτῶν ἔχετε. καὶ
30 οὐ δήπουθεν πάλιν [b] δεῖ λαβεῖν ὑμᾶς παρ' ἐμοῦ. ἵνα δὲ
μηδ' οἴησθε εἶναί τι ταῦτα, ἔστι μὲν οὐκ ἴσον (πῶς γάρ;) πρὸς τοὺς πράξαντας διαλυσαμένους τῶν οὐκ εἰδότων κατηγορεῖν. ὅμως [c] μέντοι, ὦ Ξενοπείθη καὶ Ναυσίμαχε, εἰ [d] μεγάλα ὑμῖν καὶ θαυμαστὰ εἶναι τὰ δίκαια ταῦθ' ὑπολαμβάνετε, ἀποδόντες τὰ τρία τάλαντα περαίνετε. ὧν δὲ τοῦ μὴ κατηγορῆσαι τοσαῦτα χρήματα [e] ἐπράξασθε, πρὶν ἂν ταῦτα ἀποδῶτε, σιωπᾶν ἐστὲ δίκαιοι, καὶ μὴ κατηγορεῖν καὶ ἔχειν· ἔσχατον γὰρ [f] ἤδη πραγμάτων τοῦτό γε.

31 Τάχα τοίνυν [g] ἴσως καὶ τριηραρχίας ἐροῦσι, καὶ τὰ
ὄντα ὡς [h] ἀνηλώκασιν εἰς ὑμᾶς. ἐγὼ δ' ὅτι μὲν ψεύσον- 992
ται, καὶ [i] πολλὰ ἀπολωλεκότες τῶν ὄντων αὑτοῖς, μικρὰ
τῆς πόλεως μετειληφυίας, οὐ δικαίαν οὐδὲ γιγνομένην
32 [k] χάριν ἀξιώσουσι κομίζεσθαι παρ' ὑμῶν, ἐάσω. ἀξιῶ δὲ
καὶ αὐτός, ὦ ἄνδρες δικασταί, εἶναι τοῖς λειτουργοῦσιν ὑμῖν ἅπασι χάριν τινὰ ὑπάρχουσαν παρ' ὑμῶν. τίσι δὲ μεγίστην; τοῖς ὃ μὲν χρήσιμον τῇ πόλει τοῦ πράγματός ἐστι ποιοῦσιν, ὃ δ' αἰσχρὸν [l] ἅπαντες ἂν εἶναι φήσαιεν
33 καὶ ὄνειδος, μὴ κατασκευάζουσιν. οἱ μὲν τοίνυν μετὰ τοῦ
λειτουργεῖν τὰ σφέτερ' αὐτῶν διεφθαρκότες τὴν βλασφημίαν [m] ἀντὶ τῆς χρείας τῇ πόλει καταλείπουσιν· οὐδεὶς γὰρ αὐτὸς αὑτοῦ κατηγόρησε πώποτε, ἀλλ' ὡς ἡ πόλις
34 τὰ ὄντα [n] ἀφῄρηται λέγει. [o] οἱ δ' ὅσα μὲν προστάττετε
ὑμεῖς ποιοῦντες προθύμως, τῇ περὶ τἄλλα δὲ σωφροσύνῃ τὰ ὄντα σῴζοντες οὐ μόνον κατὰ τοῦτ' ἐκείνων πλεονε-

[z] γε om. A.F.Q.r. [a] τούτων δίκην] δίκην τούτων r. [b] δεῖ λαβεῖν] λαβεῖν δεῖ A.r. [c] μέντοι] δὲ Q. [d] μεγάλα ὑμῖν καὶ θαυμαστὰ εἶναι τὰ δίκαια] θαυμαστὰ ὑμῖν καὶ μεγάλα τὰ δίκαια εἶναι F.Q. [e] ἐπράξασθε—ταῦτα] εἰσεπράξασθε—αὐτὰ A.r. [f] ἤδη S. Legebatur δή. [g] ἴσως om. F.Q. [h] ἀνηλώκασιν A.S.r. ἀναλώκασιν vulgo. [i] πολλὰ S. τὰ πολλὰ vulgo. [k] χάριν om. A.r. [l] ἅπαντες ἂν] ἂν ἅπαντες F.Q. [m] ἀντὶ τῆς χρείας τῇ πόλει] τῇ πόλει ἀντὶ τῆς χρείας A.r. [n] ἀφῄρηται] ἀφαιρεῖται F.Q. [o] οἱ δ'] ἀλλ' A. ἄλλοι δὲ r.

κτοῖεν [p] ἂν εἰκότως, ὅτι [q] καὶ γεγόνασι χρήσιμοι καὶ ἔσονται, ἀλλ' ὅτι καὶ χωρὶς ὀνείδους ταῦτα παρ' αὐτῶν [r] ὑμῖν γίγνεται. ἡμεῖς μὲν τοίνυν τοιοῦτοι εἰς ὑμᾶς [s] φανούμεθ' ὄντες· τούτους δ' ἐάσω, [t] μή με φῶσι [u] κακῶς αὐτοὺς λέγειν.

35 Οὐ τοίνυν θαυμάσαιμ' ἂν εἰ καὶ δακρύειν καὶ ἐλεεινοὺς [x] ἑαυτοὺς πειρῷντο ποιεῖν. ἐγὼ δ' ἀξιῶ πρὸς ταῦτα ὑπολαμβάνειν ἅπαντας ὑμᾶς ὅτι τῶν αἰσχρῶν ἐστὶ, μᾶλλον δ' [y] οὐδὲ δικαίων, τὰ [z] μὲν ὄντα [a] κατεσθίοντας καὶ παροινοῦντας μετὰ Ἀριστοκράτους καὶ [b] Διογνήτου καὶ τοιούτων [c] ἑτέρων [d] αἰσχρῶς καὶ κακῶς [e] ἀνηλωκέναι, τὰ δ' ἀλλότρια
36 ὥστε λαβεῖν, δακρύειν νυνὶ καὶ [f] κλάειν. ἐπ' ἐκείνοις ἐκλάετ' ἂν, οἷς ἐποιεῖτε, δικαίως. νῦν δ' οὐ δεῖ δακρύειν, 993 ἀλλ' ὡς οὐκ [g] ἀφήκατε δεικνύναι, ἢ ὡς εἰσὶν [h] ὧν ἀφήκατε αὖθις ὑμῖν [i] δίκαι, ἢ ὡς εἰκοστῷ λαγχάνειν [k] ἔτει δίκαιόν ἐστι, τοῦ νόμου πέντ' ἔτη τὴν προθεσμίαν δεδωκότος· ταῦτα
37 γάρ ἐστιν ὑπὲρ ὧν οὗτοι δικάζουσιν. ἐὰν δὲ μὴ δύνωνται ταῦτα [l] δεικνύναι, ὡς οὐ δυνήσονται, ἡμεῖς ὑμῶν ἁπάντων, ὦ ἄνδρες δικασταὶ, [m] δεόμεθα μὴ ἡμᾶς προέσθαι τούτοις, μηδὲ τετάρτην οὐσίαν ἔτι δοῦναι τρεῖς ἑτέρας κακῶς [n] διῳκηκόσιν, ἣν παρ' ἑκόντων ἔλαβον τῶν ἐπιτρόπων, ἣν ὑπὲρ τῶν δικῶν εἰσεπράξαντο, ἣν πρώην [o] ἀφείλοντο Αἰσίου δίκην ἑλόντες, ἀλλ' ἡμᾶς τὰ ἡμέτερα, ὥσπερ ἐστὶ δίκαιον,

[p] ἂν ante κατὰ A.r. [q] καὶ om. F. [r] ὑμῖν γίγνεται] ὑμῖν αὐτοῖς γίγνονται A.r. [s] φανούμεθ'] ἅπαντες φανούμεθ' S. [t] μή με φῶσι] μήτε σφῶσιν r. [u] κακῶς αὐτοὺς] αὐτοὺς κακῶς A.r. [x] ἑαυτοὺς πειρῶντο ποιεῖν S. Legebatur αὐτοὺς πειρῶνται ποιεῖν. ποιεῖν ἑαυτοὺς πειρῶντο A.r. πειρῷτο ποιεῖν est ap. grammat. in Bekkeri Anecd. p. 144, 17. [y] οὐδὲ] οὐ A. [z] μὲν om. F. in γρ. habet Q. [a] κατεσθίοντας] κατέσθοντας F.Q. [b] Διογνήτου] διογένους A.r. [c] ἑτέρων] ἀνθρώπων F.Q. [d] αἰσχρῶς om. F.Q. [e] ἀνηλωκέναι A.S. ἀναλωκέναι vulgo. [f] κλάειν] Scribebatur κλαίειν, et ἐκλαίετ'. quod εκλεαιτ' scriptum in S. [g] ἀφήκατε—ἀφήκατε] ἀφείκατε—ἀφείκατε A.r. [h] ὧν] ὧν ἂν F.Q. [i] δίκαι ἢ ὡς εἰκοστῷ Reiskius. δίκαι ἢ ὡς εἰκὸς τὸ A.r. δίκαι ἢ ὡς τὸ S. δικαίως τὸ F.Q. [k] ἔτει Reiskius. ἔτ' εἰ A.r. ἔτι F.S.Q. [l] δεικνύναι om. A.r. [m] δεόμεθα] δεησόμεθα F.Q. [n] διῳκηκόσιν] διῳκήκασιν A.r. [o] ἀφείλοντο] ἀφείλαντο A.r.

38 ἐὰν ἔχειν· ἃ καὶ ὑμῖν ἐστιν [p] ἐπ' ὠφελείᾳ μείζονι παρ' ἡμῖν ὄντα ἢ παρὰ τούτοις, [q] καὶ δικαιότερον δήπου τὰ ἡμέτερα ἡμᾶς ἐστιν ἔχειν ἢ τούτους.

Οὐκ οἶδ' ὅ τι δεῖ πλείω λέγειν· οἶμαι γὰρ ὑμᾶς οὐδὲν ἀγνοεῖν τῶν εἰρημένων. ἐξέρα τὸ ὕδωρ[r].

ΛΘ.

ΠΡΟΣ ΒΟΙΩΤΟΝ ΠΕΡΙ ΤΟΥ ΟΝΟΜΑΤΟΣ.

[s]ΥΠΟΘΕΣΙΣ.

Μαντίας, εἷς τῶν πολιτευσαμένων Ἀθήνησι, γήμας γυναῖκα κατὰ τοὺς νόμους ἐκ ταύτης παῖδα ἐκτήσατο τὸν νυνὶ δικαζόμενον. προσῄει δέ τινι [t] Πλαγγόνι κατ' ἐρωτικὴν ἐπιθυμίαν, [u] Ἀττικῇ γυναικί. ταύτης δύο υἱεῖς ἀνδρωθέντες ἐδικάζοντο τῷ Μαντίᾳ, ἑαυτῶν εἶναι πατέρα φάσκοντες· ὁ δὲ ἀντέλεγεν. ἔπειτα ἀναλαμβάνει τοὺς παῖδας ἀναγκασθεὶς [x] ἀπὸ ἰδίας προκλήσεως, 994 *ἣν ἀπατηθεὶς ἐποιήσατο. προὐκαλέσατο μὲν γὰρ τὴν Πλαγγόνα ὀμόσαι περὶ τῶν παίδων, εἰ ὄντως εἰσὶν ἐξ [y] αὐτοῦ, ὑποσχόμενος, εἰ ὀμόσειεν, ἐμμένειν τῷ ὅρκῳ· προὐκαλέσατο δὲ ἀπατηθεὶς ὡς οὐ δεξομένης τὸν ὅρκον τῆς γυναικός· ὑπὲρ τούτου γὰρ καὶ μισθὸν αὐτῇ συχνὸν ἐπηγγείλατο. ὡς δέ φησιν ὁ τὸν λόγον λέγων, καὶ ὁμωμόκει ἡ [z] Πλαγγὼν αὐτῷ λάθρᾳ προτεινόμενον τὸν ὅρκον μὴ [a] δέξεσθαι. προκαλεσαμένου τοίνυν παραβᾶσα τὰς συνθήκας δέχεται τὸν ὅρκον. καὶ οὕτω μὲν ἀναγκάζεται τοὺς παῖδας ἀναλαβεῖν, μετὰ [b] τοῦτο δὲ τετελεύτηκεν. ὁ τοίνυν ἐκ τῆς νόμῳ γαμηθείσης γυναικὸς παῖς δικάζεται τῷ ἑτέρῳ τῶν εἰσποιηθέντων περὶ τοῦ ὀνόματος, λέγων αὐτὸν Βοιωτὸν καλεῖσθαι προσήκειν, ὅπερ ἐξ ἀρχῆς ὠνομάζετο, καὶ μὴ Μαντίθεον· τοῦτο γὰρ αὐτῷ παρὰ τοῦ πατρὸς ἐξ ἀρχῆς τεθεῖσθαι τοὔνομα. αὐτόθεν μὲν οὖν δόξειεν ἂν*

[p] ἐπ'] ἐν F.S.Q. [q] καὶ δικαιότερον] δικαιότερον δὲ A.r. [r] In B.S. subscriptum Παραγραφὴ πρὸς ναυσίμαχον καὶ ξενοπείθη (–ην B.). Additur in S. numerus versuum HH|Δ|ΔΔ. [s] Argumentum a m. rec. habet S. [t] Πλαγγόνι—Πλαγγόνα] πλάγγωνι—πλάγγωνα correctus S. [u] Ἀττικῇ] ἀστικῇ Bekkerus. [x] ἀπὸ] ὑπὸ Schæferus. [y] αὐτοῦ Wolfius. αὐτῆς libri. [z] Πλαγγὼν] πλάγγων S. [a] δέξεσθαι Schæferus. Legebatur δέξασθαι. Conf. p. 1011, 10. [b] τοῦτο δὲ F.S. δὲ τοῦτο vulgo.

τις φιλοπράγμων καὶ φιλόνεικος ὑπὲρ προσηγοριῶν διαφερόμενος· ὁ μέντοι λόγος ἱκανὰς ἀποδείξεις παρέχεται τοῦ καὶ δημοσίᾳ καὶ ἰδίᾳ βλαβερὰν εἶναι τὴν ὁμωνυμίαν.

ΟΥΔΕΜΙΑι φιλοπραγμοσύνῃ μὰ τοὺς θεοὺς, ὦ ἄνδρες
δικασταὶ, τὴν δίκην [c] ταύτην ἔλαχον Βοιωτῷ, οὐδ' ἠγνό-
ουν ὅτι πολλοῖς ἄτοπον δόξει τὸ δίκην [d] ἐμὲ λαγχάνειν, εἴ 995
τις ἐμοὶ ταὐτὸν ὄνομα οἴεται δεῖν ἔχειν· ἀλλ' ἀναγκαῖον
ἦν ἐκ τῶν συμβησομένων, εἰ μὴ τοῦτο διορθώσομαι, ἐν
2 ὑμῖν κριθῆναι. εἰ μὲν οὖν ἑτέρου τινὸς οὗτος ἔφη πατρὸς
εἶναι καὶ μὴ [e] τοὐμοῦ, περίεργος ἂν [f] εἰκότως ἐδόκουν εἶναι
φροντίζων ὅ τι βούλεται καλεῖν [g] αὐτὸς ἑαυτόν. νῦν δὲ
λαχὼν δίκην τῷ πατρὶ τῷ ἐμῷ καὶ μεθ' ἑαυτοῦ κατα-
σκευάσας ἐργαστήριον συκοφαντῶν, Μνησικλέα [h] τε, ὃν
ἴσως γιγνώσκετε πάντες, καὶ Μενεκλέα τὸν τὴν [i] Νίνον
ἑλόντα ἐκεῖνον, καὶ τοιούτους τινὰς, ἐδικάζεθ' υἱὸς εἶναι
φάσκων ἐκ [k] τῆς Παμφίλου θυγατρὸς καὶ δεινὰ πά-
3 σχειν καὶ τῆς πατρίδος ἀποστερεῖσθαι. ὁ πατὴρ δὲ
(πᾶσα γὰρ εἰρήσεται [l] ἡ ἀλήθεια, ὦ ἄνδρες δικασταὶ)
ἅμα μὲν φοβούμενος εἰς [m] δικαστήριον εἰσιέναι, μή τις
[n] οἷα ὑπὸ πολιτευομένου ἑτέρωθί που λελυπημένος [o] ἐν-
ταυθὶ ἀπαντήσειεν αὐτῷ, ἅμα δ' ἐξαπατηθεὶς ὑπὸ τῆς
[p] τουτουὶ μητρὸς [q] ὀμοσάσης αὐτῆς [r] ἦ μὴν, ἐὰν ὅρκον
αὐτῇ διδῷ περὶ τούτων, [s] μὴ ὀμεῖσθαι, τούτων δὲ πρα-
χθέντων [t] οὐδὲν [u] ἔτι ἔσεσθαι αὐτοῖς, καὶ [x] μεσεγγυησα-
4 μένης ἀργύριον, ἐπὶ τούτοις δίδωσι τὸν ὅρκον. ἡ δὲ δεξα-
μένη οὐ μόνον τοῦτον, ἀλλὰ καὶ τὸν ἀδελφὸν τὸν ἕτερον

[c] *ταύτην ἔλαχον* S. *ἔλαχον ταυτηνὶ* vulgo. [d] *ἐμὲ* S. Scribebatur *με.* [e] *τοὐμοῦ*] *τοῦ ἐμοῦ* S. [f] *εἰκότως ἐδόκουν*] *ἐδόκουν εἰκότως* F.Q. [g] *αὐτὸς*] *οὗτος* A.S.r. [h] *τε*] *γε* F.Q. [i] *νίνον* A.r. Scribebatur *Νῖνον.* [k] *τῆς* om. A.r. [l] *ἡ* om. F.Q. [m] *δικαστήριον* S. *τὸ δικαστήριον* vulgo. Conf. p. 1008, 5. 1009, 18. [n] *οἷα*] *οἷον εἰκὸς* A.r. et *γρ.* F.S.Q. [o] *ἐνταυθὶ*] Scribebatur *ἐνταῦθα.* [p] *τουτουὶ*] *τούτου* A.r. et *γρ.* S. [q] *ὀμοσάσης*] *ἐξαπατησάσης* S. qui vulgatum in *γρ.* habet. [r] *ἦ μὴν*] *ἡμῖν* F. [s] *μὴ* om. S. [t] *οὐδὲν*] *μηδὲν* F.Q. [u] *ἔτι* om. A.r. [x] *μεσεγγυησαμένης*] *μετεγγυησαμένης* r.

πρὸς [y] τούτῳ κατωμόσατο ἐκ τοῦ πατρὸς εἶναι τοῦ ἐμοῦ. ὡς δὲ τοῦτ' ἐποίησεν, εἰσάγειν εἰς τοὺς [z] φράτερας ἦν ἀνάγκη τούτους καὶ λόγος οὐδεὶς ὑπελείπετο. εἰσήγαγεν, ἐποιήσατο, ἵνα [a] τἀμμέσῳ συντέμω, ἐγγράφει τοῖς Ἀπατουρίοις τουτονὶ μὲν Βοιωτὸν εἰς τοὺς [b] φράτερας, τὸν δ' ἕτερον Πάμφιλον· Μαντίθεος δ' ἐνεγεγράμμην ἐγώ.
5 συμβάσης δὲ τῷ πατρὶ [c] τελευτῆς πρὶν τὰς εἰς τοὺς δημό- 996
τας ἐγγραφὰς γενέσθαι, ἐλθὼν εἰς τοὺς δημότας [d] οὑτοσὶ ἀντὶ Βοιωτοῦ Μαντίθεον ἐνέγραψεν [e] ἑαυτόν. τοῦτο δ' ὅσα βλάπτει ποιῶν πρῶτον μὲν ἐμέ, [f] εἶτα καὶ ὑμᾶς, ἐγὼ διδάξω, ἐπειδὰν ὧν λέγω παράσχωμαι μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

6 Ὃν μὲν τοίνυν τρόπον ἡμᾶς ἐνέγραψεν ὁ πατήρ, ἀκηκόατε τῶν [g] μαρτύρων· ὅτι δ' οὐκ [h] οἰομένου [i] τούτου δεῖν ἐμμένειν [k] δικαίως καὶ ἀναγκαίως ἔλαχον τὴν δίκην, [l] τοῦτ' ἤδη δείξω. ἐγὼ γὰρ οὐχ οὕτω δήπου σκαιός εἰμι ἄνθρωπος οὐδ' ἀλόγιστος, ὥστε τῶν μὲν πατρῴων, ἃ πάντα ἐμὰ ἐγίγνετο, ἐπειδήπερ ἐποιήσατο τούτους ὁ πατήρ, συγκεχωρηκέναι τὸ τρίτον νείμασθαι μέρος καὶ στέργειν ἐπὶ τούτῳ, περὶ δ' ὀνόματος ζυγομαχεῖν, εἰ μὴ τὸ μὲν ἡμᾶς μεταθέσθαι μεγάλην ἀτιμίαν ἔφερε καὶ [m] ἀνανδρίαν, τὸ δὲ ταὐτὸν [n] ἔχειν τοῦτον ἡμῖν ὄνομα διὰ πόλλ' ἀδύνατον ἦν.

7 Πρῶτον μὲν γάρ, εἰ [o] δεῖ τὰ κοινὰ τῶν ἰδίων εἰπεῖν πρότερον, τίν' ἡμῖν ἡ πόλις [p] ἐπιτάξει τρόπον, ἄν τι δέῃ ποιεῖν; [q] οἴσουσι νὴ Δία οἱ φυλέται τὸν αὐτὸν τρόπον ὄν-

[y] τούτῳ] τοῦτο A.r. [z] φράτερας—φράτερας] φράτερας—φράτερας (superscript ο) F. φράτορας vulgo. [a] τἀμμέσῳ] τὰν μέσω A.r. [b] φράτερας] φράτορας S. [c] τελευτῆς codices. τῆς τελευτῆς vulgo. [d] οὑτοσὶ] οὗτος r. [e] ἑαυτόν S. αὑτόν vulgo. [f] εἶτα] εἶτα δὲ S. [g] μαρτύρων] μαρτυριῶν A.r. Conf. p. 985, 24. [h] οἰομένου] οἰόμενοι A.r. [i] τούτου] τῇ διαθήκῃ τούτου r. τούτου, superscripto a m. rec. τῇ διαθήκῃ, A. [k] δικαίως] τοῖς δικαίοις F.Q. Quod probat Schæferus, deleto καί. [l] τοῦτ'] ταῦτ' A.r. [m] ἀνανδρίαν] ἀνανδρειαν S. [n] ἔχειν τοῦτον ἡμῖν ὄνομα] ἡμῖν ὄνομα ἔχειν τοῦτον A.r. [o] δεῖ] δη pr. S. [p] ἐπιτάξει] ἐπέταξε pr. S. [q] οἴσουσι Schæferus. Legebatur ἢ οἴσουσι. Conf. p. 997, 7.

περ καὶ τοὺς ἄλλους. οὐκοῦν Μαντίθεον [r]Μαντίου [s]Θο-
ρίκιον [t]*οἴσουσιν,* [u]*ἐὰν χορηγὸν ἢ γυμνασίαρχον ἢ* [x]*ἑστιά-
τορα ἢ* [y]*ἐάν τι τῶν ἄλλων φέρωσιν. τῷ δῆλον οὖν ἔσται*
8 *πότερον σὲ* [z]*φέρουσιν ἢ ἐμέ; σὺ μὲν γὰρ φήσεις ἐμὲ, ἐγὼ
δὲ σέ.* [a]*καὶ δὴ καλεῖ μετὰ τοῦθ' ὁ ἄρχων, ἢ πρὸς ὅντιν'
ἂν ᾖ* [b]*ἡ δίκη.* [c]*οὐχ ὑπακούομεν, οὐ λειτουργοῦμεν. πό-
τερος* [d]*ταῖς ἐκ τῶν νόμων* [e]*ἔσται ζημίαις ἔνοχος; τίνα
δ' οἱ στρατηγοὶ τρόπον ἐγγράψουσιν,* [f]*ἂν εἰς συμμορίαν* 997
ἐγγράφωσιν, ἢ ἂν τριήραρχον καθιστῶσιν; ἢ [g]*ἂν στρα-
τεία τις ᾖ, τῷ* [h]*δῆλον ἔσται πότερός ἐσθ' ὁ κατει-*
9 *λεγμένος; τί δὲ,* [i]*ἂν ἄλλη τις ἀρχὴ καθιστῇ* [k]*εἰς λει-
τουργίαν, οἷον ἄρχων, βασιλεὺς, ἀθλοθέται, τί σημεῖον
ἔσται πότερον καθιστᾶσιν; προσπαραγράψουσι νὴ* Δία
τὸν ἐκ [l]Πλαγγόνος, [m]*ἂν σὲ* [n]*ἐγγράφωσιν, ἂν δ' ἐμὲ,
τῆς ἐμῆς μητρὸς τοὔνομα.* [o]*καὶ τίς ἤκουσε πώποτε, ἢ
κατὰ ποῖον νόμον προσπαραγράφοιτ' ἂν τοῦτο τὸ* [p]*πα-
ράγραμμα ἢ ἄλλο τι πλὴν ὁ πατὴρ καὶ ὁ δῆμος; ὧν
ὄντων ἀμφοῖν τῶν αὐτῶν πολλὴ ταραχὴ* [q]*συμβαίνει.*
10 *φέρε,* [r]*εἰ δὲ κριτὴς καλοῖτο* Μαντίθεος Μαντίου Θορίκιος,
*τί ἂν ποιοῖμεν; ἢ βαδίζοιμεν ἂν ἄμφω; τῷ γὰρ ἔσται
δῆλον πότερον σὲ κέκληκεν ἢ ἐμέ; πρὸς* Διὸς, [s]*ἂν* [t]*δ'
ἀρχὴν ἡντινοῦν ἡ πόλις κληροῖ, οἷον βουλῆς* [u]*ἢ θεσμοθέτου
ἢ τῶν ἄλλων, τῷ δῆλος ὁ λαχὼν ἡμῶν ἔσται; πλὴν* [x]*εἰ*

[r] Μαντίου] *μαντιθέου γρ.* F.Q. [s] Θορίκιον] *θορκιον* pr. S. [t] *οἴσουσιν* Schæferus. Legebatur *οἴσουσί με.* [u] *ἐὰν* B. *ἂν* vulgo. [x] *ἑστιάτορα*] *ἱστιάτορα* A.S. *ἱστιάτορα* B. [y] *ἐάν* S. *ἄλλο* vulgo. [z] *φέρουσιν*] *φήσουσιν* r. [a] *καὶ δὴ καλεῖ*] *κἂν δὴ καλῇ* r. et A. a rec. m. correctus. [b] *ἡ* om. S. [c] *οὐχ*] *ἡμεῖς δὲ οὐχ* r. et A. a rec. m. correctus. [d] *ταῖς* A.S.r. Legebatur *οὖν ταῖς.* [e] *ἔσται ζημίαις*] *ζημίαις ἐστὶν* A.r. [f] *ἂν εἰς—ἢ ἂν* S. *ἐὰν εἰς—ἢ ἐὰν* vulgo. [g] *ἂν*] *ἐὰν* A.r. [h] *δῆλον ἔσται*] *δῆλόν ἐστιν* A.r. [i] *ἂν*] *ἐὰν* r. [k] *εἰς λειτουργίαν* S. *λειτουργίαν* F.Q. *λειτουργεῖν* A.r. [l] Πλαγγόνος] *παφλαγόνος* r. [m] *ἂν—ἂν* S. *ἐὰν—ἐὰν* vulgo. [n] *ἐγγράφωσιν*] *γράφωσιν* F.Q. [o] Post *καὶ*, quo folium 409. finitur, ex A. exciderunt folia duo usque ad *κα*, quæ est postrema syllaba vocis *γυναῖκα* p. 1002, 13. a qua incipit folium 410. [p] *παράγραμμα*] *γράμμα* F.Q. [q] *συμβαίνει*] *συμβαίνοι* r. [r] *εἰ δὲ*] *εἰ δὲ δὴ* F.Q. [s] *ἂν* S. Scribebatur *ἐάν.* [t] δ' om. r. [u] *ἢ θεσμοθέτου ἢ* S. Aberat utrumque *ἤ.* [x] *εἰ* S. *εἰ μὴ* vulgo.

σημεῖον, ὥσπερ ἄλλῳ τινὶ, τῷ [y] χαλκίῳ προσέσται· καὶ
οὐδὲ τοῦθ' ὁποτέρου ἐστὶν οἱ πολλοὶ γνώσονται. οὐκοῦν
[z] ὁ μὲν ἑαυτὸν, ἐγὼ δ' ἐμαυτὸν [a] φήσω τὸν εἰληχότ' εἶναι.
11 λοιπὸν εἰς τὸ δικαστήριον [b] ἡμᾶς εἰσιέναι. οὐκοῦν ἐφ'
[c] ἑκάστῳ τούτων δικαστήριον ἡμῖν ἡ πόλις καθιεῖ, καὶ
τοῦ μὲν κοινοῦ καὶ ἴσου, τοῦ τὸν λαχόντ' ἄρχειν, ἀπο-
στερησόμεθα, ἀλλήλους δὲ πλυνοῦμεν, καὶ [d] ὁ τῷ λόγῳ
κρατήσας ἄρξει. καὶ πότερ' ἂν βελτίους εἴημεν τῶν
ὑπαρχουσῶν δυσκολιῶν ἀπαλλαττόμενοι ἢ [e] καινὰς ἔχ-
θρας καὶ βλασφημίας ποιούμενοι; ἃς πᾶσα ἀνάγκη
συμβαίνειν, ὅταν ἀρχῆς ἤ τινος ἄλλου πρὸς ἡμᾶς αὐτοὺς
12 ἀμφισβητῶμεν. τί δὲ, ἂν ἄρα (δεῖ γὰρ [f] ἅπανθ' ἡμᾶς 998
ἐξετάσαι) ἅτερος ἡμῶν πείσας τὸν ἕτερον, ἐὰν λάχῃ,
παραδοῦναι αὐτῷ τὴν ἀρχὴν οὕτω κληρῶται; τὸ δυοῖν
[g] πινακίοιν τὸν ἕνα κληροῦσθαι τί ἄλλο ἐστίν; εἶτ' ἐφ' ᾧ
θάνατον ζημίαν ὁ νόμος λέγει, τοῦθ' ἡμῖν ἀδεῶς ἐξέσται
πράττειν; πάνυ γε· οὐ γὰρ ἂν αὐτὸ ποιήσαιμεν. οἶδα
κἀγὼ, τό γοῦν κατ' ἐμέ· ἀλλ' οὐδ' αἰτίαν τοιαύτης ζη-
μίας ἐνίους ἔχειν καλὸν, ἐξὸν [h] μή.

13 Εἶεν. ἀλλὰ ταῦτα μὲν ἡ πόλις βλάπτεται· ἐγὼ δ'
ἰδίᾳ τί; θεάσασθε [i] ἡλίκα, καὶ σκοπεῖτε ἄν τι δοκῶ λέ-
γειν· πολὺ γὰρ [k] χαλεπώτερα ταῦτα ὧν ἀκηκόατ' ἐστίν.
ὁρᾶτε μὲν γὰρ ἅπαντες αὐτὸν χρώμενον, ἕως μὲν ἔζη,
Μενεκλεῖ καὶ τοῖς περὶ ἐκεῖνον ἀνθρώποις, νῦν δ' ἑτέροις
[l] ἐκείνου βελτίοσιν οὐδὲν καὶ τὰ τοιαῦτ' ἐζηλωκότα καὶ
δεινὸν δοκεῖν εἶναι βουλόμενον· καὶ νὴ Δία ἴσως ἔστιν.
14 [m] ἂν οὖν προϊόντος τοῦ χρόνου τῶν αὐτῶν τι ποιεῖν τούτοις

[y] χαλκίῳ r. et pr. S. χαλκείῳ vulgo. [z] ὁ—ἑαυτὸν (vel αὑτὸν)] σὺ—σεαυτὸν r. [a] φήσω post εἶναι F.Q. [b] ἡμᾶς] ἡμιν [ας] F. om. Q. [c] ἑκάστῳ] ἑκάστου F.Q.r. [d] ὁ om. Q. [e] καινὰς S. κενὰς F.Q. κοινῶς r. [f] ἅπανθ' ἡμᾶς] ἡμᾶς ἅπαντα F.Q. [g] πινακίοιν] πινάκιον r. [h] μή] μὴ δ' r. [i] ἡλίκα om. pr. S. [k] χαλεπώτερα ταῦτα] ταῦτα χαλεπώτερα F.Q. [l] ἐκείνου βελτίοσιν οὐδὲν S. Legebatur οὐδὲν ἐκείνου βελτίοσι. [m] ἂν S. Scribebatur ἐάν.

ἐπιχειρῇ (ἔστι δὲ ταῦτα γραφαί, [n]φάσεις, ἐνδείξεις,
ἀπαγωγαί,) εἶτ' ἐπὶ τούτων τινὶ (πολλὰ γάρ [o]ἐστι
τἀνθρώπινα, καὶ τοὺς πάνυ δεινοὺς ἑκάστοτε, ὅταν
πλεονάζωσιν, ἐπίστασθ' ὑμεῖς κοσμίους ποιεῖν) [p]ὄφλῃ
τῷ δημοσίῳ, τί μᾶλλον οὗτος ἐγγεγραμμένος ἔσται
ἐμοῦ; ὅτι νὴ Δία εἴσονται [q]πάντες [r]πότερός ποτε [s]ὦφλεν.
15 [t]καλῶς. [u]ἂν δέ, ὃ [x]τυχὸν γένοιτ' ἄν, χρόνος διέλθῃ καὶ
μὴ [y]ἐκτισθῇ τὸ ὄφλημα, τί μᾶλλον οἱ τούτου [z]παῖδες
ἔσονται τῶν ἐμῶν ἐγγεγραμμένοι, ὅταν τοὔνομα [a]καὶ
ὁ πατὴρ καὶ ἡ φυλὴ καὶ πάντ' ᾖ ταὐτά; τί δ', εἴ τις
δίκην ἐξούλης αὐτῷ λαχὼν μηδὲν ἐμοὶ φαίη πρὸς αὐτὸν
εἶναι, κυρίαν δὲ ποιησάμενος [b]ἐγγράψαι, τί μᾶλλον ἂν 999
εἴη τοῦτον ἢ ἐμὲ ἐγγεγραφώς; τί δ', εἴ τινας εἰσφορὰς
16 μὴ θείη; τί δ', εἴ τις ἄλλη περὶ τοὔνομα γίγνοιτο ἢ
λῆξις [c]δίκης ἢ δόξα ὅλως ἀηδής; τίς εἴσεται τῶν πολ-
λῶν πότερός ποτε οὗτός ἐστι, δυοῖν [d]Μαντιθέοιν ταὐτοῦ
πατρὸς ὄντοιν; φέρε, [e]εἰ δὲ δίκην ἀστρατείας [f]φεύγοι,
χορεύοι δὲ ὅταν στρατεύεσθαι [g]δέῃ; καὶ [h]γὰρ νῦν, ὅτε
εἰς Ταμύνας παρῆλθον οἱ ἄλλοι, ἐνθάδε τοὺς χόας ἄγων
ἀπελείφθη καὶ τοῖς Διονυσίοις καταμείνας ἐχόρευεν, ὡς
17 [i]ἅπαντες ἑωρᾶτε οἱ ἐπιδημοῦντες. ἀπελθόντων [k]δ' ἐξ
Εὐβοίας τῶν στρατιωτῶν [l]λιποταξίου προσεκλήθη, [m]κἀγὼ
ταξιαρχῶν τῆς φυλῆς ἠναγκαζόμην κατὰ τοῦ ὀνόματος
τοῦ ἐμαυτοῦ πατρόθεν δέχεσθαι τὴν λῆξιν· καὶ εἰ μισθὸς
ἐπορίσθη τοῖς δικαστηρίοις, εἰσῆγον [n]ἂν δῆλον ὅτι.

[n] φάσεις om. S. [o] ἐστι τἀνθρώπινα] εστἀνθρώπινα S. ἐστιν ἀνθρώπινα r. [p] ὄφλῃ] Legebatur ἐὰν ὄφλῃ. ἐὰν om. r. in γρ. habet S. [q] πάντες in margine S. a m. pr. [r] πότερός] πότερόν r. [s] ὦφλεν] ὤφειλεν F.Q. [t] καλῶς] κακῶς r. [u] ἂν S. Scribebatur ἐάν. [x] τυχὸν] τυχὼν S. [y] ἐκτισθῇ] ἐκτεισθῇ pr. S. [z] παῖδες ἔσονται] ἔσονται παῖδες F.Q. [a] καὶ ὁ πατὴρ om. r. [b] ἐγγράψαι r. ἐνγράψαι S. ἐγγεγράφθαι F.Q. [c] δίκης] ἡ δίκη F.Q. [d] Μαντιθέοιν in γρ. F.Q. [e] εἰ δὲ] δὲ εἰ S.r. [f] φεύγοι] φύγοι F.Q. [g] δέῃ] δέοι F.Q. et pr. S., qui δέῃ ab eadem m. [h] γὰρ νῦν] νῦν γὰρ r. [i] ἅπαντες] πάντες F.Q. [k] δ' om. Q. [l] λιποταξίου] λειποταξίου r. [m] κἀγὼ] καὶ ἐγὼ S. [n] ἂν S.r. Legebatur ἄν με.

ταῦτα δ' εἰ μὴ σεσημασμένων ἤδη συνέβη τῶν ἐχίνων,
18 [o]κἂν μάρτυρας ὑμῖν παρεσχόμην. εἶεν. εἰ δὲ ξενίας προσκληθείη; πολλοῖς δὲ προσκρούει, καὶ ὃν ἠναγκάσθη τρόπον [p]ὁ πατὴρ ποιήσασθαι αὐτὸν, οὐ λέληθεν. ὑμεῖς δ', ὅτε μὲν τοῦτον οὐκ ἐποιεῖτο ὁ πατὴρ, τὴν μητέρα ἀληθῆ λέγειν ἡγεῖσθε αὐτοῦ· ἐπειδὰν [q]δ' οὕτω γεγονὼς [r]οὗτος ὀχληρὸς ᾖ, πάλιν ὑμῖν [s]ποτὲ δόξει [t]ἐκεῖνος ἀληθῆ λέγειν.
19 τί δ', εἰ ψευδομαρτυριῶν ἁλώσεσθαι προσδοκῶν ἐφ' οἷς ἐρανίζει τούτοις τοῖς περὶ αὐτὸν, ἐρήμην [u]ἐάσειε τελεσθῆναι τὴν δίκην; ἆρά γε μικρὰν ἡγεῖσθε βλάβην, ὦ ἄνδρες Ἀθηναῖοι, ἐν κοινωνίᾳ τὸν [x]ἅπαντα βίον τῆς τούτου δόξης καὶ τῶν ἔργων εἶναι;

20 Ὅτι τοίνυν οὐδ' ἃ διεξελήλυθα ὑμῖν μάτην φοβοῦμαι, θεωρήσατε. οὗτος γὰρ ἤδη καὶ γραφάς τινας, ὦ ἄνδρες Ἀθηναῖοι, πέφευγεν, ἐφ' αἷς οὐδὲν αἴτιος ὢν ἐγὼ συνδιαβάλλομαι, καὶ τῆς ἀρχῆς [y]ἠμφεσβήτει, ἣν ὑμεῖς [z]ἐμὲ ἐχειροτονήσατε, καὶ πολλὰ καὶ δυσχερῆ διὰ τὸ ὄνομα συμβέβηκεν ἡμῖν, ὧν, ἵν' εἰδῆτε, [a]ἑκάστων μάρτυρας ὑμῖν παρέξομαι.

ΜΑΡΤΥΡΕΣ.

21 Ὁρᾶτε, ὦ ἄνδρες Ἀθηναῖοι, τὰ συμβαίνοντα, καὶ τὴν ἀηδίαν τὴν ἐκ τοῦ [b]πράγματος. εἰ τοίνυν [c]μὴ ἀηδὲς ἦν ἐκ τούτων μηδ' ὅλως ἀδύνατον ταὐτὸν [d]ἔχειν ὄνομα ἡμῖν συνέβαινεν, οὐ δήπου τοῦτον μὲν δίκαιον τὸ μέρος τῶν [e]ἐμῶν χρημάτων ἔχειν κατὰ τὴν ποίησιν, ἣν ὁ πατὴρ αὐτὸν ἀναγκασθεὶς ἐποιήσατο, ἐμὲ δ' ἀφαιρεθῆναι τοῦ-

[o] κἂν] καὶ r. [p] ὁ πατὴρ ποιήσασθαι αὐτὸν] ποιήσασθαι αὐτὸν ὁ πατὴρ F.Q. [q] δ' om. pr. S. [r] οὗτος om. F.Q. [s] ποτὲ δόξει] ὁπότε δόξειεν F.Q. [t] ἐκεῖνος] ἐκεῖνου (ς supra) F. ἐκεῖνον Q. [u] ἐάσειε] ἐάσετε r. [x] ἅπαντα] πάντα Q. [y] ἠμφεσβήτει S. ἠμφισβήτει vulgo. [z] ἐμὲ ἐχειροτονήσατε B.Q. ἐπεχειροτονήσατε pr. S. in quo litera π in μὲ mutata est a correctore. Legebatur ἐμὲ ἐπεχειροτονήσατε. [a] ἑκάστων] ἕκαστα γρ. S. [b] πράγματος S.r. Legebatur πράγματος θεωρεῖτε. [c] μὴ S. Legebatur μηδέν. [d] ἔχειν om. r. [e] ἐμῶν om. r. In γρ. habent F.Q.

νομα, ὃ βουλόμενος καὶ οὐδ᾽ ὑφ᾽ ἑνὸς βιασθεὶς ἔθετο.

22 οὐκ ἔγωγε [f] ἡγοῦμαι. ἵνα τοίνυν εἰδῆτε ὅτι οὐ μόνον εἰς τοὺς [g] φράτερας οὕτως, ὡς μεμαρτύρηται, ὁ πατὴρ τὴν ἐγγραφὴν ἐποιήσατο, ἀλλὰ καὶ τὴν δεκάτην ἐμοὶ ποιῶν τοὔνομα τοῦτο ἔθετο, λαβέ μοι [h] καὶ ταύτην τὴν μαρτυρίαν.

ΜΑΡΤΥΡΙΑ.

23 [i] Ἀκούετε, [k] ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι ἐγὼ μέν [l] εἰμι ἐπὶ τοῦ ὀνόματος τούτου πάντα τὸν χρόνον, τουτονὶ δὲ Βοιωτὸν εἰς τοὺς [m] φράτερας, ἡνίκ᾽ ἠναγκάσθη, ἐνέγραψεν ὁ πατήρ. ἡδέως τοίνυν ἐροίμην ἂν αὐτὸν ἐναντίον ὑμῶν· εἰ μὴ ἐτελεύτησεν ὁ πατήρ, τί ἂν [n] ποτε ἐποίεις πρὸς τοῖς δημόταις;

24 [o] οὐκ ἂν εἴας [p] σε αὐτὸν ἐγγράφειν Βοιωτόν; ἀλλ᾽ ἄτοπον δίκην [q] μὲν λαγχάνειν τούτου, κωλύειν δὲ πάλιν. καὶ μὴν εἴ γ᾽ εἴας αὐτὸν, ἐνέγραψεν ἄν σε εἰς τοὺς δημότας, ὅπερ εἰς τοὺς φράτερας. οὐκοῦν δεινὸν, ὦ γῆ καὶ θεοὶ, 1001 φάσκειν μὲν ἐκεῖνον αὐτοῦ πατέρα εἶναι, τολμᾶν δ᾽ ἄκυρα ποιεῖν ἃ ἐκεῖνος ἔπραξε [r] ζῶν.

25 Ἐτόλμα τοίνυν πρὸς τῷ διαιτητῇ πρᾶγμα ἀναιδέστατον λέγειν, ὡς ὁ πατὴρ αὐτοῦ δεκάτην ἐποίησεν ὥσπερ ἐμοῦ καὶ τοὔνομα τοῦτ᾽ ἔθετο αὐτῷ, καὶ μάρτυράς τινας παρείχετο, οἷς [s] ἐκεῖνος οὐδεπώποτε ὤφθη χρώμενος. ἐγὼ δ᾽ οὐδένα ὑμῶν ἀγνοεῖν [t] οἴομαι ὅτι οὔτ᾽ ἂν ἐποίησε δεκάτην οὐδεὶς παιδίου μὴ νομίζων αὑτοῦ δικαίως εἶναι, οὔτε ποιήσας καὶ στέρξας, ὡς ἂν υἱόν τις

26 στέρξαι, πάλιν ἔξαρνος ἐτόλμησε γενέσθαι. οὐδὲ γὰρ εἴ τι τῇ μητρὶ πρὸς ὀργὴν ἦλθε τῇ τούτων, τούτους [u] ἂν ἐμίσει,

[f] ἡγοῦμαι] οἶμαι F.Q. [g] φράτερας] φράτορας S. [h] καὶ om. Q. [i] Ἀκούετε] ἠκούσατε F.Q. [k] ὦ om. S. [l] εἰμι S. Legebatur ἦν. [m] φράτερας] φράτορας hic et infra sæpissime S. φράτ^ε^ορας F. [n] ποτε addidi ex S. [o] οὐκ ἂν] οὐ γὰρ r. [p] σε αὐτὸν Schæferus. σὺ αὐτὸν pr. S. αὐτὸν r. Legebatur σεαυτόν. [q] μὲν—τούτου] σε—τούτῳ B. (qui vulgatum in γρ. habet) F.Q. [r] ζῶν om. r. [s] ἐκεῖνος οὐδεπώποτε] οὐδεπώποτε ὁ πατὴρ F.Q. [t] οἴομαι] οἶμαι B. [u] ἂν S. γ᾽ ἂν F.Q. γὰρ r.

νομίζων [x] αὑτοῦ εἶναι· πολὺ γὰρ μᾶλλον εἰώθασιν, ὧν [y] ἂν ἑαυτοῖς διενεχθῶσιν ἀνὴρ καὶ [z] γυνή, διὰ τοὺς παῖδας [a] καταλλάττεσθαι ἢ δι' [b] ἃ ἂν ἀδικηθῶσιν ὑφ' αὑτῶν, τοὺς κοινοὺς παῖδας [c] πρὸς μισεῖν. οὐ τοίνυν ἐκ τούτων [d] ἔστιν ἰδεῖν μόνον ὅτι ψεύσεται, ταῦτ' ἂν λέγῃ, ἀλλὰ πρὶν ἡμέτερος [e] φάσκειν συγγενὴς εἶναι, εἰς [f] Ἱπποθων-
27 τίδα ἐφοίτα φυλὴν εἰς παῖδας χορεύσων. καίτοι τίς ἂν ὑμῶν οἴεται τὴν μητέρα πέμψαι τοῦτον εἰς ταύτην τὴν φυλὴν [g] δεινὰ μέν, ὥς φησιν, ὑπὸ τοῦ πατρὸς πεπονθυῖαν, [h] δεκάτην δ' εἰδυῖαν πεποιηκότα ἐκεῖνον καὶ πάλιν ἔξαρνον ὄντα; ἐγὼ μὲν οὐδέν' ἂν οἶμαι. εἰς γὰρ τὴν Ἀκαμαντίδα ὁμοίως ἐξῆν σοι [i] φοιτᾶν, καὶ ἐφαίνετ' ἂν οὖσ' ἀκόλουθος ἡ φυλὴ τῇ θέσει τοῦ ὀνόματος. ὡς τοίνυν ταῦτ' ἀληθῆ λέγω, τούτων μάρτυρας ὑμῖν τοὺς συμφοιτῶντας καὶ τοὺς εἰδότας παρέξομαι.

ΜΑΡΤΥΡΕΣ. 1002

28 [k] Οὕτω τοίνυν φανερῶς παρὰ τὸν τῆς [l] αὑτοῦ μητρὸς ὅρκον καὶ τὴν τοῦ δόντος ἐκείνῃ τὸν ὅρκον εὐήθειαν πατρὸς τετυχηκὼς [m] καὶ ἀνθ' Ἱπποθωντίδος ἐν Ἀκαμαντίδι φυλῇ γεγονὼς οὐκ ἀγαπᾷ Βοιωτὸς [n] οὑτοσί, ἀλλὰ [o] καὶ δίκας ἐμοὶ [p] δύ' ἢ τρεῖς εἴληχεν ἀργυρίου πρὸς αἷς καὶ πρότερόν μ' ἐσυκοφάντει. καίτοι πάντας οἶμαι τοῦθ'
29 ὑμᾶς εἰδέναι, [q] τίς ἦν χρηματιστὴς ὁ πατήρ. ἐγὼ δ' ἐάσω ταῦτα. ἀλλ' εἰ δίκαια [r] ὀμώμοκεν ἡ μήτηρ ἡ τούτων, ἐπ'

[x] αὑτοῦ—ἑαυτοῖς S. ἑαυτοῦ—αὑτοῖς vulgo. [y] ἂν om. r. [z] γυνὴ] ἡ γυνὴ F.Q. [a] καταλλάττεσθαι S. Legebatur διαλλάττεσθαι. Quod legitur p. 1017, 12. [b] ἃ om. S. Fortasse igitur crasis restituenda ἂν cum Bekkero. [c] πρὸς μισεῖν Schæferus. Scribebatur προσμισεῖν hic et p. 1017, 14. [d] ἔστιν ἰδεῖν—ψεύσεται] ἰδεῖν ἐστὶν—ψεύδεται r. [e] φάσκειν] φάσκει S. [f] Ἱπποθωντίδα] Scribebatur Ἱπποθοωντίδα, eademque forma p. 1002, 4. et 25. Correxi ex S. [g] δεινὰ] εἶναι pr. S. [h] δεκάτην] δὲ καὶ τὴν pr. S. [i] φοιτᾶν—συμφοιτῶντας] φυτᾶν—συμφυτῶντας pr. S. [k] Οὕτω] οὕτως B. [l] αὑτοῦ μητρὸς] μητρὸς αὑτοῦ F.Q. [m] καὶ additum ex F.Q. [n] οὑτοσὶ] τουτοισὶ F.Q. [o] καὶ om. F.Q. [p] δύ' ἢ] δοιη pr. S. [q] Ante τίς literæ duæ erasæ in S. [r] ὀμώμοκεν] ὠμώμοκεν S.

αὐτοφώρῳ [s] συκοφάντην [t] ἐπιδεικνύει τοῦτον ταῖς δίκαις ταύταις. εἰ γὰρ οὕτω [u] δαπανηρὸς ἦν, ὥστε γάμῳ γεγαμηκὼς τὴν ἐμὴν μητέρα ἑτέραν εἶχε γυναῖκα, ἧς ὑμεῖς ἐστὲ, καὶ δύ' οἰκίας ᾤκει, πῶς ἂν ἀργύριον τοιοῦτος ὢν κατέλιπεν;

30 Οὐκ ἀγνοῶ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι Βοιωτὸς οὑτοσὶ δίκαιον μὲν οὐδὲν ἕξει λέγειν, ἥξει δ' ἐπὶ ταῦθ' ἅπερ [x] ἀεὶ λέγει, ὡς ἐπηρέαζεν ὁ πατὴρ αὐτῷ πειθόμενος ὑπ' ἐμοῦ, ἀξιοῖ δ' αὐτὸς ὡς δὴ πρεσβύτερος ὢν τοὔνομ' ἔχειν τὸ τοῦ [y] πρὸς πατρὸς πάππου. πρὸς δὴ ταῦτα ἀκοῦσαι βέλτιον ὑμᾶς βραχέα. ἐγὼ γὰρ οἶδα τοῦτον, ὅτε οὔπω συγγενὴς ἦν ἐμοὶ, ὁρῶν ὥσπερ ἂν ἄλλον τινὰ [z] οὑτωσὶ, νεώτερον ὄντα ἐμοῦ καὶ [a] συχνῷ, ὅσα ἐξ ὄψεως,
31 οὐ μὴν ἰσχυρίζομαι τούτῳ· καὶ γὰρ εὔηθες. ἀλλ' εἴ τις ἔροιτο Βοιωτὸν τουτονὶ, ὅτ' ἐν Ἱπποθωντίδι φυλῇ ἠξίου χορεύειν, οὔπω τοῦ πατρὸς εἶναι φάσκων τοῦ ἐμοῦ [b] υἱὸς, [c] τί σαυτὸν ἔχειν δικαίως [d] ἂν θείης ὄνομα; εἰ γὰρ Μαντίθεον, οὐκ ἂν διὰ τοῦτό [e] γε φαίης, ὅτι πρεσβύτερος εἶ ἐμοῦ. ὃς γὰρ οὐδὲ τῆς φυλῆς τότε σοι προσήκειν ἡγοῦ 1003 τῆς ἐμῆς, πῶς ἂν τοῦ γε πάππου τοῦ ἐμοῦ [f] ἠμφεσβή-
32 τεις; ἔτι δ', ὦ ἄνδρες Ἀθηναῖοι, τὸν μὲν τῶν [g] ἐτῶν [h] ἀριθμὸν οὐδεὶς οἶδεν ὑμῶν· ἐγὼ μὲν γὰρ ἐμοὶ πλείονα, οὗτος δ' ἑαυτῷ φήσει· τὸν δὲ τοῦ δικαίου λόγον ἅπαντες ἐπίστασθε. ἔστι δ' οὗτος τίς; ἀφ' οὗ παῖδας ἐποιήσατο τούτους ὁ πατὴρ, ἀπὸ τούτου καὶ νομίζεσθαι. [i] πρότερον τοίνυν ἐμὲ εἰς τοὺς δημότας ἐνέγραψε Μαντίθεον, πρὶν εἰσαγαγεῖν τοῦτον εἰς τοὺς φράτερας. ὥστ' οὐ τῷ χρόνῳ

[s] συκοφάντην] συκοφαντεῖν pr. S. [t] ἐπιδεικνύει S. deletis post hoc verbum literis ει. ἐπιδείκνυμι F. ἐπιδείκνυσι Q. Legebatur ἐπιδείκνυμι. [u] δαπανηρὸς] δ' ἀπόνηρος F. δαπονηρος Q. [x] ἀεὶ] αἰεὶ A. [y] πρὸς in marg. a m. pr. habet S. [z] οὑτωσὶ] οὕτως F.Q. [a] συχνῷ] συχνῶς F.Q. [b] υἱὸς] υος S. [c] τί om. A.r. [d] ἂν] ἄρα F.Q. [e] γε om. F.Q. [f] ἠμφεσβήτεις S. ἠμφισβήτεις vulgo. [g] ἐτῶν excidit in fine versus in S. ubi supplevit manus antiqua. [h] ἀριθμὸν] χρόνον A.r. [i] πρότερον] πότερον F.r.

μόνον, ἀλλὰ καὶ τῷ δικαίῳ πρεσβεῖον ἔχοιμ᾽ ἂν ἐγὼ
33 *τοὔνομα τοῦτ᾽ εἰκότως. εἶεν. εἰ δέ* [k] *τίς σ᾽ ἔροιτο* "*εἰπέ*
"*μοι, Βοιωτὲ, πόθεν νῦν* [l] *᾽Ακαμαντίδος φυλῆς γέγονας*
"*καὶ* [m] *τῶν δήμων* [n] *Θορίκιος καὶ* [o] *υἱὸς Μαντίου, καὶ τὸ*
"*μέρος τῶν ὑπ᾽ ἐκείνου καταλειφθέντων ἔχεις,*" *οὐδὲν ἂν*
ἄλλ᾽ ἔχοις εἰπεῖν πλὴν ὅτι [p] *κἀμὲ ζῶν ἐποιήσατο Μαν-*
τίας. τί τεκμήριον, εἴ τίς [q] *σε ἔροιτο, ἢ μαρτύριόν ἐστί σοι*
τούτου; εἰς τοὺς φράτεράς [r] *με εἰσήγαγε, φήσειας ἄν.*
τί οὖν σε ἐνέγραψεν ὄνομα, εἴ τις ἔροιτο, Βοιωτὸν ἂν
34 *εἴποις· τοῦτο γὰρ εἰσήχθης. οὐκοῦν δεινὸν εἰ τῆς μὲν*
πόλεως καὶ τῶν ὑπ᾽ ἐκείνου καταλειφθέντων διὰ τοὔνομα
τοῦτο μέτεστί σοι, τοῦτο δ᾽ ἀξιοῖς ἀφεὶς ἕτερον μεταθέ-
σθαι σαυτῷ. φέρ᾽, εἴ σε ὁ πατὴρ ἀξιώσειεν ἀναστὰς ἢ
μένειν ἐφ᾽ οὗ σε αὐτὸς ἐποιήσατο ὀνόματος ἢ πατέρ᾽
ἄλλον σαυτοῦ φάσκειν εἶναι, ἆρ᾽ οὐκ ἂν μέτρια ἀξιοῦν
δοκοίη; [s] *ταὐτὰ τοίνυν* [t] *ταῦτα ἐγώ σε ἀξιῶ, ἢ πατρὸς*
ἄλλου [u] *σαυτὸν παραγράφειν, ἢ τοὔνομα ἔχειν ὃ ἐκεῖνος*
35 *ἔδωκέ σοι. νὴ Δί᾽, ἀλλ᾽ ὕβρει καὶ ἐπηρείᾳ τινὶ τοῦτο*
ἐτέθη σοι. ἀλλὰ πολλάκις μὲν, ὅτ᾽ οὐκ ἐποιεῖτο ὁ πατὴρ 1004
τούτους, ἔλεγον οὗτοι ὡς οὐδὲν χείρους εἰσὶν οἱ τῆς μητρὸς
τῆς τούτου συγγενεῖς τῶν τοῦ πατρὸς τοῦ ἐμοῦ. ἔστι δ᾽
ὁ Βοιωτὸς ἀδελφοῦ τῆς τούτου μητρὸς ὄνομα. ἐπειδὴ δ᾽
εἰσάγειν ὁ πατὴρ τούτους ἠναγκάζετο, ἐμοῦ προειση-
γμένου Μαντιθέου, οὕτω τοῦτον εἰσάγει Βοιωτὸν, τὸν ἀδελ-
36 *φὸν δ᾽ αὐτοῦ Πάμφιλον. ἐπεὶ σὺ δεῖξον, ὅστις ᾽Αθηναίων*
ταὐτὸν ὄνομα τοῖς αὑτοῦ παισὶν ἔθετο δυοῖν· κἂν δείξῃς,
ἐγὼ συγχωρήσω δι᾽ ἐπήρειάν σοι τοῦτο τοὔνομα θέσθαι τὸν

[k] *τίς σ᾽* (*σε* S.) *ἔροιτο*] *σ᾽ ἔροιτό τις* F. Apud Aristidem in Walzii Rhet. vol. 9. p. 389, 5. *τις ἔροιτό σε.* [l] *᾽Ακαμαντίδος φυλῆς*] *ἐν ἀκαμαντίδι φυλῇ* F.Q. [m] *τῶν δήμων* S. *τῶν δημοτῶν* Q. *τῶν δημωτῶν* F. Legebatur *τὸν δῆμον.* [n] *Θορίκιος*] *θεορίκιος* A. [o] *υἱὸς*] *ὕος* S. *ι* a m. pr. superscripto. [p] *κἀμὲ* A.B.r. et Aristides. *καὶ ἐμὲ* vulgo. [q] *σε* om. A.r. [r] *με εἰσήγαγε*] *εἰσήγαγέ με* Q. [s] *ταὐτὰ*] *τὰ αὐτὰ* A. [t] *ταῦτα* post *ταὐτὰ* ponit S. post *σε* F.Q. [u] *σαυτὸν*] *σεαυτὸν* S.

πατέρα. καίτοι εἴ γε τοιοῦτος ἦσθα ὥστε ποιήσασθαι μὲν
σαυτὸν ἀναγκάσαι, ἐξ ὅτου δ' ἀρέσεις ἐκείνῳ τρόπου μὴ
37 σκοπεῖν, οὐκ [x]ἦσθα οἷον δεῖ τὸν προσήκοντα εἶναι περὶ
τοὺς γονέας, οὐκ ὢν δὲ οὐκ ἐπηρεάζου δικαίως ἄν, ἀλλ'
[y]ἀπολώλεις. ἢ δεινόν γ' ἂν εἴη, εἰ κατὰ μὲν τῶν ὑπὸ
τοῦ πατρὸς αὐτοῦ νομιζομένων παίδων [z]οἱ περὶ τῶν γονέων
ἰσχύσουσι νόμοι, κατὰ δὲ τῶν αὐτοὺς εἰσβιαζομένων ἄκον-
τας ποιεῖσθαι ἄκυροι γενήσονται.

38 Ἀλλ', ὦ χαλεπώτατε Βοιωτέ, μάλιστα μὲν ὧν πράτ-
τεις πάντων παῦσαι, εἰ δ' ἄρα μὴ βούλει, ἐκεῖνό γε πρὸς
Διὸς πείθου· παῦσαι μὲν σαυτῷ παρέχων πράγματα,
παῦσαι δ' ἐμὲ συκοφαντῶν, ἀγάπα δ' ὅτι σοι πόλις,
οὐσία, πατὴρ γέγονεν. οὐδεὶς ἀπελαύνει σε ἀπὸ τούτων,
οὔκουν ἔγωγε. ἀλλ' [a]ἂν [b]μέν, ὥσπερ εἶναι φῂς ἀδελφός,
καὶ τὰ ἔργα ἀδελφοῦ [c]ποιῇς, δόξεις εἶναι συγγενής, [d]ἂν
δ' ἐπιβουλεύῃς, δικάζῃ, φθονῇς, βλασφημῇς, δόξεις εἰς
ἀλλότρια ἐμπεσὼν ὡς οὐ προσήκουσιν οὕτω χρῆσθαι.
39 ἐπεὶ ἔγωγ' οὐδ' εἰ τὰ μάλιστα ὁ πατὴρ ὄντα σε [e]αὑτοῦ 1005
μὴ ἐποιεῖτο [f]ἀδικῶ. οὐ γὰρ [g]ἔμοιγε προσῆκεν εἰδέναι
τίνες εἰσὶν υἱεῖς ἐκείνου, ἀλλ' ἐκείνῳ δεῖξαι [h]τίνα ἐμοὶ
νομιστέον ἔστ' ἀδελφόν. ὃν μὲν τοίνυν οὐκ ἐποιεῖτό
σε χρόνον, οὐδ' ἐγὼ προσήκονθ' ἡγούμην, [i]ἐπειδὴ δ'
ἐποιήσατο, κἀγὼ νομίζω. τί τούτου σημεῖον; τῶν πα-
τρῴων ἔχεις τὸ μέρος μετὰ τὴν τοῦ πατρὸς τελευτήν·
ἱερῶν, ὁσίων μετέχεις· [k]ἀπάγει σε οὐδεὶς ἀπὸ τούτων. τί
40 βούλει; ἂν δὲ φῇ δεινὰ πάσχειν καὶ [l]κλάῃ καὶ ὀδύρη-
ται καὶ κατηγορῇ ἐμοῦ, [m]ἃ μὲν ἂν [n]λέγῃ, μὴ πιστεύετε·

[x] ἦσθα] οἶσθα r. [y] ἀπολώλεις] ἀπωλώλεις A.r. [z] οἱ] οὐ A. [a] ἂν S. ἐὰν vulgo. [b] μὲν om. S. [c] ποιῇς] ποιεῖς A. et infra cum S. φθονεῖς, βλασφημεῖς. [d] ἂν S. ἐὰν vulgo. [e] αὑτοῦ] ἑαυτοῦ A. [f] ἀδικῶ] ἀδίκως A.r. ἀδικῶ margo A. a m. rec. Quod ante ἀδικῶ legebatur οὐκ delevi omissum in A.S.r. [g] ἔμοιγε] ἐμοὶ F.Q. [h] τίνα ἐμοὶ—ἀδελφόν A.S r. Legebatur τίνας μοι—ἀδελφούς. [i] ἐπειδὴ] ἐπεὶ F.Q. [k] ἀπάγει] ἀπείργει Dobræus. [l] κλάῃ] Scribebatur κλαίῃ. [m] ἃ μὲν ἂν F.S.Q. ἃ μὲν δὴ A.r. ἃ ἂν μὲν vulgo. [n] λέγῃ] λέγει A.r.

οὐ γὰρ δίκαιον μὴ περὶ [o] τούτων ὄντος τοῦ λόγου [p] νυνί· ἐκεῖνο δ' ὑπολαμβάνετε, ὅτι οὐδὲν ἔστ' αὐτῷ ἧττον δίκην λαμβάνειν Βοιωτῷ κληθέντι. τί οὖν φιλονεικεῖς; μηδαμῶς· μὴ ἔχε [q] οὕτω πρὸς ἡμᾶς ἐθελέχθρως· οὐδὲ γὰρ
41 *[r] ἐγὼ πρὸς σέ, ἐπεὶ καὶ νῦν, ἵνα μηδὲ τοῦτο λάθῃ σε, ὑπὲρ σοῦ [s] λέγω μᾶλλον, ἀξιῶν μὴ ταὐτὸν ἔχειν ὄνομα ἡμᾶς, [t] ἢ ἐμαυτοῦ. εἰ γὰρ μηδὲν ἄλλο, ἀνάγκη τὸν ἀκούσαντα [u] ἐρέσθαι [v] πότερος, δύ' ἂν ὦσι [x] Μαντίθεοι Μαντίου. οὐκοῦν, ὃν ἠναγκάσθη ποιήσασθαι, σὲ [y] ἂν λέγῃ, ἐρεῖ. τί οὖν ἐπιθυμεῖς τούτων; ἀνάγνωθι δέ μοι λαβὼν δύο ταυτασὶ μαρτυρίας, ὡς ἐμοὶ Μαντίθεον καὶ τούτῳ Βοιωτὸν ὁ πατὴρ ὄνομ' ἔθετο.*

ΜΑΡΤΥΡΙΑΙ.

42 *Λοιπὸν ἡγοῦμαι τοῦθ' ὑμῖν ἐπιδεῖξαι, ὦ ἄνδρες [z] Ἀθηναῖοι, ὡς οὐ μόνον [a] εὐορκήσετε, ἂν ἃ ἐγὼ λέγω ψηφίσησθε, ἀλλὰ καὶ ὡς [b] οὗτος αὐτὸς αὑτοῦ κατέγνω Βοιωτόν, ἀλλ' οὐ Μαντίθεον ὄνομα [c] δικαίως ἂν ἔχειν.* 1006
λαχόντος γὰρ ἐμοῦ τὴν δίκην ταύτην Βοιωτῷ Μαντίου Θορικίῳ, ἐξ ἀρχῆς τ' [d] ἠντεδίκει καὶ ὑπώμνυτο ὡς [e] ὢν Βοιωτός. καὶ τὸ τελευταῖον ἐπεὶ οὐκέτι ἐνῆν αὐτῷ [f] διακρούσασθαι, ἐρήμην ἐάσας [g] καταδιαιτῆσαι, [h] σκέψασθε
43 *πρὸς θεῶν τί ἐποίησεν· ἀντιλαγχάνει μοι τὴν μὴ οὖσαν [i] Βοιωτὸν αὐτὸν προσαγορεύσας. καίτοι ἐξ ἀρχῆς [k] τε ἔδει [l] ἐὰν αὐτὸν τελέσασθαι τὴν δίκην κατὰ Βοιωτοῦ, εἰ-*

[o] *τούτων*] *τούτου* A.S.r. [p] *νυνὶ* A.r. Legebatur *τοῦ νυνί.* [q] *οὕτω πρὸς ἡμᾶς*] *πρὸς ἡμᾶς οὕτως* F.Q. [r] *ἐγὼ*] *ἔγωγε* A.r. [s] *λέγω—ἀξιῶν* A.r. *λέγειν—ἀξιῶ* vulgo. [t] *ἢ* om. Q. *ἢ ἐμαυτοῦ* in margine habet a correctore S. [u] *ἐρέσθαι*] *ἔρεσθαι* S. [v] *πότερος*] *πότερον* F. [x] *Μαντίθεοι Μαντίου*] *μαντίθεοι μαρτυρίου* A. *μαντίου μαρτυρίου* r. [y] *ἂν* S. *ἐὰν* vulgo. [z] *ἀθηναῖοι* S. et per compendium ($\overset{\theta}{\omega}$) A. Legebatur *δικασταί.* [a] *εὐορκήσετε*] *εὑρήσετε* F. [b] *οὗτος* om. A.r. *αὐτὸς* om. S. [c] *δικαίως*] *εἰκὸς* r. [d] *ἠντεδίκει* S. *ἠντιδίκει* vulgo. Conf. p. 1013, 23. [e] *ὢν* S. *ἂν* A.r. *ἦν* vulgo. [f] *διακρούσασθαι*] *διακρούεσθαι* A.r. [g] *καταδιαιτῆσαι*] *καταδιαιτήσασθαι* F.Q. [h] *σκέψασθε* om. F.Q. [i] *βοιωτὸν αὐτὸν* codices. *ὁ πρότερον ἑαυτὸν Βοιωτὸν* vulgo. [k] *τε* additum ex S. [l] *ἐὰν αὐτὸν*] *αὐτὸν ἐὰν* A.r.

περ μηδὲν προσῆκεν αὐτῷ τοῦ ὀνόματος, ὕστερόν τε μὴ αὐτὸν φαίνεσθαι ἐπὶ τῷ ὀνόματι τούτῳ ἀντιλαγχάνοντα τὴν μὴ οὖσαν. ὃς οὖν αὐτὸς αὐτοῦ κατέγνω δικαίως εἶναι [m] Βοιωτὸς, τί ὑμᾶς ἀξιώσει τοὺς ὀμωμοκότας ψηφίζεσθαι; ὡς δὲ ταῦτ᾽ ἀληθῆ λέγω, λαβέ μοι τὴν ἀντίληξιν καὶ τὸ ἔγκλημα τουτί.

ΑΝΤΙΛΗΞΙΣ. ΕΓΚΛΗΜΑ.

44 Εἰ [n] μὲν τοίνυν οὗτος ἔχει δεῖξαι νόμον ὃς ποιεῖ κυρίους εἶναι τοὺς παῖδας τοῦ ἑαυτῶν ὀνόματος, ἃ λέγει νῦν οὗτος, ὀρθῶς ἂν ψηφίζοισθε. εἰ δ᾽ ὁ μὲν νόμος, ὃν πάντες ἐπίστασθε ὁμοίως ἐμοὶ, τοὺς γονέας ποιεῖ κυρίους οὐ μόνον [o] θέσθαι τοὔνομα ἐξ ἀρχῆς, ἀλλὰ [p] κἂν πάλιν ἐξαλεῖψαι βούλωνται καὶ ἀποκηρῦξαι, ἐπέδειξα δ᾽ ἐγὼ τὸν πατέρα, ὃς κύριος ἦν ἐκ τοῦ νόμου, τούτῳ μὲν Βοιωτὸν, ἐμοὶ δὲ Μαντίθεον θέμενον, πῶς ὑμῖν [q] ἔστιν ἄλλο τι
45 πλὴν [r] ἁγὼ λέγω ψηφίσασθαι; ἀλλὰ μὴν ὧν γ᾽ ἂν [s] μὴ ὦσι νόμοι, [t] γνώμῃ τῇ δικαιοτάτῃ [u] δικάσειν ὀμωμόκατε, ὥστ᾽ εἰ μηδεὶς ἦν περὶ τούτων κείμενος νόμος, κἂν οὕτω [x] δικαίως [y] πρὸς ἐμοῦ τὴν ψῆφον ἔθεσθε. τίς γάρ ἐστιν ὑμῶν ὅστις ταὐτὸν ὄνομα τοῖς [z] αὑτοῦ παισὶ τέθει- 1007
46 ται [a] δυοῖν; [b] τίς δ᾽, ᾧ [c] μήπω παῖδες εἰσὶ, θήσεται; οὐδεὶς δήπου. οὐκοῦν ὃ δίκαιον τῇ γνώμῃ τοῖς ὑμετέροις αὐτῶν παισὶν ὑπειλήφατε, τοῦτο καὶ περὶ ἡμῶν εὐσεβὲς γνῶναι. ὥστε καὶ κατὰ τὴν δικαιοτάτην γνώμην καὶ κατὰ τοὺς νόμους καὶ κατὰ τοὺς ὅρκους καὶ κατὰ τὴν [d] τούτου προσομολογίαν ἐγὼ μὲν μέτρια ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι,

[m] Βοιωτὸς] βοιωτὸς (ν superscr.) F. βοιωτὸν Q. [n] μὲν om. F.Q. [o] θέσθαι τοὔνομα] τοὔνομα θέσθαι F.Q. [p] κἂν—βούλωνται] καὶ—ἐὰν βούλωνται F.Q. [q] ἔστιν] ἔνεστιν A.r. [r] ἁγὼ S. ἃ ἐγὼ vulgo. [s] μὴ ὦσι νόμοι] μη νόμ . . ω . pr. S. μὴ νόμῳ F.Q. et correctus S. [t] γνώμῃ] ἀλλὰ γνώμῃ F.Q. [u] δικάσειν ὀμωμόκατε] δικάζετε A.r. [x] δικαίως πρὸς ἐμοῦ] πρὸς ἐμοῦ δικαίως F.Q. [y] πρὸς] πρὸ A. [z] αὑτοῦ S. ἑαυτοῦ vulgo. [a] δυοῖν A.S.r. Legebatur δυοῖν οὖσι. Conf. p. 1004, 8. [b] τίς δ᾽—θήσεται in margine a correctore habet S. [c] μήπω] μὴ A.r. [d] τούτου προσομολογίαν] τοῦ πατρὸς ὁμολογίαν γρ. F.S.Q.

[e] δέομαι καὶ δίκαια ἀξιῶ, οὗτος δ' οὐ μόνον οὐ μέτρια, ἀλλ' οὐδ' εἰωθότα γίγνεσθαι[f].

Μ.

ΠΡΟΣ ΒΟΙΩΤΟΝ [g] ΠΕΡΙ ΠΡΟΙΚΟΣ ΜΗΤΡΩΙΑΣ.

[h] ΥΠΟΘΕΣΙΣ.

Καὶ οὗτος [i] παρὰ τοῦ αὐτοῦ καὶ πρὸς τὸν αὐτὸν ὁ λόγος εἴρηται. καὶ τὰ μὲν ἄλλα πάντα ταὐτὰ, ἡ [k] Πλαγγὼν, ὁ ὅρκος, ἡ τῶν παίδων ἀναγκαία ποίησις. ἀποθανόντος δὲ τοῦ Μαντίου οἱ παῖδες ὄντες τρεῖς, Μαντίθεος ὁ ἐκ τῆς νόμῳ γαμηθείσης καὶ Βοιωτὸς καὶ Πάμφιλος [l] οἱ ἐκ τῆς Πλαγγόνος, ἐνέμοντο τὴν οὐσίαν. φάσκοντος δὲ τοῦ Μαντιθέου προῖκα ἑαυτῷ μητρῴαν ὀφείλεσθαι, Βοιωτὸς καὶ Πάμφιλος καὶ αὐτοὶ προικὸς ἠμφισβήτουν, ὡς καὶ τῆς Πλαγγόνος εἰσενεγκαμένης εἰς τὸν οἶκον τοῦ Μαντίου μνᾶς ἑκατόν. συνέδοξεν οὖν αὐτοῖς νείμασθαι πάντα ἐπ' ἴσης πλὴν τῆς οἰκίας, ἵν' [m] ὁποτέρων ἂν ἡ μήτηρ φανῇ προῖκα εἰσενεγκαμένη, τούτοις ἀπὸ τῆς οἰκίας ἀποδοθῇ τὸ ἀργύριον, καὶ πλὴν τῶν ἀνδραπόδων, ὅπως οἱ περὶ τὸν Βοιωτὸν, ἐὰν ἐπιζητῶσί τι τῶν ἔνδον, 1008
ἔχωσιν ἔλεγχον. μετὰ [n] δὲ ταῦτα ἀντενεκάλεσαν ἀλλήλοις, ὁ μὲν Μαντίθεος ὑπὲρ τῆς μητρῴας οὐσίας, ἐκεῖνοι δὲ ὑπὲρ ἄλλων τινῶν. καὶ ὁ διαιτητὴς Μαντιθέου μὲν ἀπεδιαίτησε, Βοιωτοῦ δὲ κατεδιαίτησεν ἐρήμην. λαγχάνει [o] δὴ Μαντίθεος καὶ εἰς τὸ δικαστήριον αὐτῷ τὴν αὐτὴν δίκην, ἀπαιτῶν τὴν προῖκα.

ΠΑΝΤΩΝ ἐστὶν ἀνιαρότατον, ὦ ἄνδρες δικασταὶ, ὅταν τις ὀνόματι μὲν ἀδελφὸς προσαγορευθῇ τινῶν, τῷ δ' ἔργῳ ἐχθροὺς ἔχῃ τούτους, καὶ ἀναγκάζηται πολλὰ καὶ δεινὰ παθὼν ὑπ' αὐτῶν εἰσιέναι εἰς δικαστήριον, [p] ὃ νῦν ἐμοὶ

[e] δέομαι] δεήσομαι A.r. [f] In S. subscriptum πρὸς βοιωτὸν περὶ τοῦ ὀνόματος. ΗΗΗ|Δ|ΔΔΔ. Numero versuum caret B. [g] περὶ S. Legebatur ὑπέρ. [h] Argumentum a m. rec. habet S. [i] παρὰ Wolfius. περὶ libri. [k] Πλαγγὼν] πλάγγων F. et infra πλάγγονος. Sic etiam S, nisi quod πλάγγωνος. [l] οἱ] ὁ F. [m] ὁποτέρων F.S. ὁποτέρῳ vulgo. [n] δὲ om. S. [o] δὴ S. δὲ vulgo. [p] ὃ] ὅπερ A.r.

2 συμβέβηκεν. οὐ γὰρ μόνον ἀτύχημά μοι ἐξ ἀρχῆς ἐγέ-
νετο, διότι [q] Πλαγγὼν ἡ [r] τούτων μήτηρ ἐξαπατήσασα
τὸν πατέρα μου καὶ ἐπιορκήσασα φανερῶς ἠνάγκασεν
αὐτὸν ὑπομεῖναι τούτους ποιήσασθαι, καὶ διὰ τοῦτο τὰ
δύο μέρη τῶν πατρῴων [s] ἀπεστερήθην· ἀλλὰ πρὸς τούτοις
[t] ἐξελήλαμαι μὲν ἐκ τῆς πατρῴας οἰκίας ὑπὸ [u] τούτων,
ἐν ᾗ καὶ ἐγενόμην καὶ [x] ἐτράφην καὶ εἰς ἣν οὐχ ὁ πατὴρ
αὐτοὺς, ἀλλ' ἐγὼ τελευτήσαντος ἐκείνου παρεδεξάμην,
3 ἀποστεροῦμαι δὲ τὴν προῖκα τῆς ἐμαυτοῦ μητρὸς, περὶ ἧς 1009
[y] νυνὶ δικάζομαι, αὐτὸς μὲν τούτοις δίκας ὑπὲρ ὧν ἐνεκά-
λουν μοι πάντων δεδωκὼς, πλὴν εἴ τινα νῦν ἕνεκα τῆς
δίκης ταύτης ἀντειλήχασί μοι συκοφαντοῦντες, ὡς [z] καὶ
ὑμῖν ἔσται καταφανὲς, παρὰ δὲ [a] τούτων ἐν [b] ἕνδεκα
ἔτεσιν οὐ δυνάμενος τυχεῖν τῶν μετρίων, ἀλλὰ νῦν εἰς
4 [c] ὑμᾶς καταπεφευγώς. δέομαι οὖν ἁπάντων ὑμῶν, ὦ
ἄνδρες δικασταὶ, μετ' εὐνοίας τέ μου ἀκοῦσαι οὕτως
ὅπως ἂν δύνωμαι λέγοντος, κἂν ὑμῖν [d] δοκῶ δεινὰ πεπον-
θέναι, συγγνώμην ἔχειν μοι ζητοῦντι κομίσασθαι τἀμαυ-
τοῦ, ἄλλως τε καὶ εἰς θυγατρὸς ἔκδοσιν· συνέβη [e] γάρ
μοι δεηθέντος τοῦ πατρὸς [f] ὀκτωκαιδεκέτη γῆμαι, καὶ
5 διὰ τοῦτο [g] εἶναί μοι [h] θυγατέρα ἤδη [i] ἐπίγαμον. ὥστ'
ἐμοὶ μὲν δικαίως ἂν ἀδικουμένῳ [k] διὰ πολλὰ βοηθήσαιτε,
τούτοις δ' εἰκότως ἂν ὀργίζοισθε· οἵτινες, ὦ γῆ καὶ θεοὶ,
ἐξὸν αὐτοῖς τὰ δίκαια ποιήσασι μὴ εἰσιέναι εἰς [l] δικα-
στήριον, οὐκ αἰσχύνονται μὲν ἀναμιμνήσκοντες ὑμᾶς εἴ τι

[q] Πλαγγὼν] πλάγγων F. hic et infra constanter. Accentu caret S. [r] τούτων] τούτου A.r. [s] ἀπεστερήθην] ἀπεστερήθη Q. [t] ἐξελήλαμαι] ἐξελήλασμαι A.S.Q.r. [u] τούτων] τούτου F.Q. [x] ἐτράφην] ἐγράφην A.S.r. [y] νυνὶ] νῦν Q. [z] καὶ om. F.Q. [a] τούτων] τούτοιν A.r. [b] ἕνδεκα] δεκα S. [c] ὑμᾶς] ὑμᾶς βοηθοὺς S. Conf. p. 1014, 1. [d] δοκῶ δεινὰ S. Legebatur δεινὰ δοκῶ. [e] γάρ μοι] μοι γάρ F.Q. μοι γαρ S. [f] ὀκτωκαιδεκέτη] ὀκτωκαίδεκ' ἔτη F.S.Q. ὀκτωκαιδεκατῆ r. ὀκτωκαιδεκ' ἐτῆ (sic) A. [g] εἶναί μοι S. μοι εἶναι vulgo. [h] θυγατέρα ἤδη] ἤδη θυγατέρα F. [i] ἐπίγαμον. ὥστ' ἐμοὶ] ἐπὶ γάμον. ὥστε μοι S. [k] διὰ πολλὰ om. A.r. in γρ. habent F.Q. [l] δικαστήριον] τὸ δικαστήριον A.F.Q.r. Conf. p. 995, 15.

[m]ἢ ὁ πατὴρ ἡμῶν μὴ ὀρθῶς διεπράξατο ἢ οὗτοι εἰς ἐκεῖνον ἥμαρτον, ἀναγκάζουσι [n]δ' ἐμὲ δικάζεσθαι αὐτοῖς. ἵνα δ' [o]ἀκριβῶς εἰδῆτε [p]ὡς οὐκ ἐγὼ [q]τούτου αἴτιος [r]εἰμὶ, ἀλλ' οὗτοι, ἐξ ἀρχῆς ὑμῖν, ὡς [s]ἂν ἐν βραχυτάτοις δύνωμαι, διηγήσομαι τὰ πραχθέντα.

6 Ἡ γὰρ μήτηρ ἡ ἐμὴ, ὦ ἄνδρες δικασταὶ, θυγάτηρ μὲν ἦν Πολυαράτου [t]Χολαργέως, ἀδελφὴ δὲ Μενεξένου καὶ Βαθύλλου καὶ Περιάνδρου. ἐκδόντος δ' αὐτὴν τοῦ πατρὸς [u]Κλεομέδοντι τῷ Κλέωνος υἱεῖ, καὶ προῖκα τάλαντον ἐπιδόντος, τὸ μὲν πρῶτον τούτῳ συνῴκει· γενο- 1010 μένων δ' [x]αὐτῇ τριῶν μὲν θυγατέρων, υἱοῦ δ' ἑνὸς [y]Κλέωνος, καὶ μετὰ ταῦτα τοῦ ἀνδρὸς [z]αὐτῇ τελευτήσαντος, 7 ἀπολιποῦσα τὸν οἶκον καὶ κομισαμένη τὴν προῖκα, πάλιν ἐκδόντων αὐτὴν τῶν ἀδελφῶν Μενεξένου καὶ Βαθύλλου (ὁ γὰρ Περίανδρος ἔτι παῖς ἦν) καὶ τὸ τάλαντον ἐπιδόντων συνῴκησε τῷ ἐμῷ πατρί. καὶ γίγνομαι αὐτοῖς ἐγώ τε καὶ ἄλλος ἀδελφὸς νεώτερος ἐμοῦ, ὃς ἔτι παῖς ὢν ἐτελεύτησεν. ὡς δ' ἀληθῆ λέγω περὶ τούτων ὑμῖν, πρῶτον τοὺς μάρτυρας παρέξομαι.

ΜΑΡΤΥΡΕΣ.

8 Τὴν μὲν τοίνυν μητέρα τὴν ἐμὴν οὕτως ὁ πατήρ μου γήμας εἶχε γυναῖκα ἐν [a]τῇ οἰκίᾳ τῇ ἑαυτοῦ, ἐμέ τε ἐπαίδευε καὶ ἠγάπα, ὥσπερ καὶ ὑμεῖς ἅπαντες τοὺς ὑμετέρους παῖδας ἀγαπᾶτε. τῇ δὲ τούτων μητρὶ [b]Πλαγγόνι [c]ἐπλησίασεν ὅντινα δή ποτ' οὖν τρόπον· οὐ γὰρ

m ἢ om. A.F.Q.r. et Tzetzes Exeg. Iliad. p. 85. n δ' ἐμὲ] δέ με A.S.r. o ἀκριβῶς om. F.Q. p ὡς οὐκ ἐγὼ S. Legebatur ὡς ἐγώ. q τούτου in margine a m. prima S. r εἰμὶ] Legebatur οὐκ εἰμί. οὐκ a m. rec. deletum in S. s ἂν om. F.Q. t Χολαργέως S. τοῦ Χολαργέως vulgo. u Κλεομέδοντι] κλεομέδοντος (τι superscr.) F. x αὐτῇ] αὐτῷ S. y Κλέωνος om. S.: in margine haud dubie supplere voluit aut librarius ipse aut corrector antiquus qui ad ἑνὸς signum adscripsit annotationem in margine positam monstrans. z αὐτῇ] αὐτῆς A.r. a τῇ οἰκίᾳ τῇ] τῷ οἴκῳ τῷ r. b Πλαγγόνι] πλάγγωνι B. Conf. var. lect. ad p. 1014, 19. 1026, 27. c ἐπλησίασεν] ἐπλησίαζεν A.r.

9 ἐμὸν τοῦτο λέγειν ἐστί. καὶ οὕτως οὐ πάντα [d] γε ἦν ὑπὸ τῆς ἐπιθυμίας κεκρατημένος, ὥστ' οὐδὲ [e] τῆς μητρὸς τῆς ἐμῆς ἀποθανούσης ἠξίωσεν αὐτὴν εἰς τὴν οἰκίαν παρ' [f] ἑαυτὸν εἰσδέξασθαι, οὐδὲ τούτους, ὡς υἱεῖς εἰσὶν αὐτοῦ, πεισθῆναι· ἀλλὰ τὸν μὲν ἄλλον χρόνον οὗτοι διῆγον οὐκ ὄντες [g] τοὐμοῦ πατρὸς, ὡς καὶ ὑμῶν οἱ πολλοὶ ἴσασιν, ἐπειδὴ δ' [h] οὑτοσὶ αὐξηθεὶς καὶ [i] μεθ' αὑτοῦ [k] παρασκευασάμενος ἐργαστήριον συκοφαντῶν, ὧν ἡγεμὼν ἦν Μνησικλῆς [l] καὶ Μενεκλῆς ἐκεῖνος ὁ τὴν [m] Νίνον ἑλὼν, μεθ' ὧν οὗτος ἐδικάζετό [n] μου τῷ πατρὶ φάσκων υἱὸς εἶναι ἐκεί-
10 νου. συνόδων [o] δὲ γιγνομένων πολλῶν ὑπὲρ τούτων, καὶ
τοῦ πατρὸς οὐκ ἂν φάσκοντος πεισθῆναι ὡς οὗτοι γεγό- 1011
νασιν ἐξ αὐτοῦ, τελευτῶσα ἡ Πλαγγὼν, ὦ ἄνδρες δικασταὶ, (πάντα γὰρ εἰρήσεται τἀληθῆ πρὸς ὑμᾶς) [p] μετὰ τοῦ Μενεκλέους ἐνεδρεύσασα τὸν πατέρα μου καὶ ἐξαπατήσασα ὅρκῳ ὃς μέγιστος δοκεῖ καὶ δεινότατος
11 παρὰ πᾶσιν ἀνθρώποις εἶναι, ὡμολόγησε τριάκοντα μνᾶς λαβοῦσα τούτους μὲν τοῖς αὑτῆς ἀδελφοῖς εἰσποιήσειν υἱεῖς, αὐτὴ δ', ἂν πρὸς τῷ διαιτητῇ προκαλῆται αὐτὴν ὁ πατήρ μου ὀμόσαι ἦ μὴν τοὺς παῖδας ἐξ αὐτοῦ γεγονέναι, [q] οὐ δέξεσθαι τὴν πρόκλησιν· τούτων γὰρ γενομένων οὔτε τούτους ἀποστερήσεσθαι τῆς [r] πόλεως, τῷ τε πατρί μου οὐκέτι δυνήσεσθαι αὐτοὺς πράγματα παρέχειν τῆς
12 μητρὸς αὐτῶν οὐ [s] δεξαμένης τὸν ὅρκον. συγχωρηθέντων δὲ τούτων τί ἂν ὑμῖν μακρολογοίην; ὡς γὰρ πρὸς τὸν διαιτητὴν ἀπήντησε, παραβᾶσα [t] πάντα τὰ ὡμολογημένα

[d] γε] τε F. [e] τῆς μητρὸς τῆς ἐμῆς S. τῆς ἐμῆς μητρὸς vulgo. [f] ἑαυτὸν S. αὐτὸν vulgo. [g] τοὐμοῦ] τοῦ ἐμοῦ S. [h] οὑτοσὶ] οὗτος S.Q. [i] μεθ' αὑτοῦ Bekkerus. μεταυτοῦ S. μεθ' ἑαυτοῦ vulgo. [k] παρασκευασάμενος] παρεσκευασμένος F.Q. [l] καὶ Μενεκλῆς in γρ. F.Q. [m] νίνον A. Scribebatur Νῖνον. [n] μου om. A.r. [o] δὲ om. A.r. [p] μετὰ τοῦ Μεν. ἐνεδρεύσασα] ἐνεδρεύσασα μετὰ τοῦ μεν. F.Q. [q] οὐ δέξεσθαι S. οὐ δέξασθαι A.r. μὴ δέξασθαι F.Q. Legebatur μὴ δέξεσθαι. [r] πόλεως] πολιτείας S. et γρ. F.Q. [s] δεξαμένης] προσδεξαμένης F.Q. [t] πάντα] ἅπαντα F.Q. In S. παραβασαάπαντα, accentibus ″ erasis.

ἡ Πλαγγὼν δέχεταί τε τὴν πρόκλησιν καὶ ὄμνυσιν ἐν τῷ
Δελφινίῳ ἄλλον ὅρκον ἐναντίον τῷ προτέρῳ, ὡς καὶ ὑμῶν
13 οἱ πολλοὶ ἴσασι· περιβόητος γὰρ ἡ πρᾶξις ἐγένετο. καὶ
οὕτως ὁ πατήρ μου διὰ τὴν [u] ἑαυτοῦ πρόκλησιν ἀναγκα-
σθεὶς ἐμμεῖναι τῇ διαίτῃ ἐπὶ μὲν τοῖς γεγενημένοις ἠγα-
νάκτει καὶ βαρέως ἔφερε, καὶ εἰς τὴν οἰκίαν οὐδ᾽ ὣς εἰσ-
δέξασθαι τούτους ἠξίωσεν, εἰς δὲ τοὺς φράτερας ἠναγ-
κάσθη εἰσαγαγεῖν. καὶ τοῦτον μὲν [x] ἐνέγραψε Βοιωτὸν,
14 τὸν δ᾽ ἕτερον Πάμφιλον. ἐμὲ δ᾽ εὐθὺς ἔπεισε περὶ ὀκτω-
καίδεκ᾽ ἔτη γεγενημένον τὴν Εὐφήμου [y] γῆμαι θυγατέρα,
βουλόμενος παῖδας ἐξ ἐμοῦ γενομένους ἐπιδεῖν. ἐγὼ δ᾽,
ὦ ἄνδρες δικασταὶ, νομίζων δεῖν καὶ πρότερον καὶ ἐπειδὴ 1012
[z] οὗτοι ἐλύπουν αὐτὸν δικαζόμενοι καὶ πράγματα παρ-
έχοντες, ἐμὲ τοὐναντίον εὐφραίνειν ἅπαντα ποιοῦνθ᾽ ὅσ᾽
15 ἐκείνῳ χαριεῖσθαι μέλλοιμι, ἐπείσθην αὐτῷ. γήμαντος δέ
μου τὸν τρόπον τοῦτον ἐκεῖνος μὲν τὸ θυγάτριόν μοι ἐπιδὼν
γενόμενον, οὐ πολλοῖς ἔτεσιν [a] ὕστερον ἀρρωστήσας ἐτε-
λεύτησεν· ἐγὼ δ᾽, ὦ ἄνδρες δικασταὶ, ζῶντος μὲν τοῦ πα-
τρὸς [b] οὐδὲν ᾤμην δεῖν ἐναντιοῦσθαι αὐτῷ, τελευτήσαντος
[c] δ᾽ ἐκείνου εἰσεδεξάμην τε τούτους εἰς τὴν οἰκίαν καὶ
τῶν ὄντων ἁπάντων μετέδωκα, οὐχ ὡς ἀδελφοῖς οὖσιν
(οὐδὲ γὰρ [d] ὑμῶν τοὺς πολλοὺς λελήθασιν ὃν τρόπον οὗτοι
γεγόνασιν), νομίζων δ᾽ [e] ἀναγκαῖον εἶναί μοι, ἐπειδὴ [f] ὁ
πατὴρ ἐξηπατήθη, πείθεσθαι τοῖς νόμοις τοῖς ὑμετέροις.
16 καὶ οὕτως ὑπ᾽ ἐμοῦ εἰς τὴν οἰκίαν εἰσδεχθέντες, ὡς ἐνε-
μόμεθα τὰ πατρῷα, ἀξιοῦντος [g] ἐμοῦ ἀπολαβεῖν τὴν τῆς
[h] μητρὸς προῖκα [i] ἀντενεκάλουν καὶ οὗτοι, καὶ ἔφασαν
ὀφείλεσθαι καὶ τῇ [k] αὐτῶν μητρὶ τὴν ἴσην προῖκα. συμ-

[u] ἑαυτοῦ S. αὐτοῦ vulgo, quod om. A.r. [x] ἐνέγραψε] ἔγραφεν S. [y] γῆμαι θυγατέρα] θυγατέρα γῆμαι F.Q.r. [z] οὗτοι] καὶ οὗτοι A.F.Q.r. [a] ὕστερον om. r. [b] οὐδὲν S. οὐκ vulgo. [c] δ᾽ om. Q. [d] ὑμῶν τοὺς πολλοὺς] τοὺς πολλοὺς ὑμῶν F.Q. [e] ἀναγκαῖον] ἂν ἀναγκαῖον F. [f] ὁ] δ᾽ ὁ A.r. [g] ἐμοῦ] μου A.F.Q.r. [h] μητρὸς] μητρός μου A.F.Q.r. [i] ἀντενεκάλουν] ἀνενεγκάλουν F.Q. [k] αὐτῶν] ἑαυτῶν F.Q.

βουλευσάντων δ' ἡμῖν τῶν παρόντων τὰ μὲν ἄλλα πάντα ἐνειμάμεθα, τὴν δ' οἰκίαν καὶ [l] τοὺς παῖδας [m] τοὺς δια-
17 κόνους [n] τοὺς τοῦ πατρὸς ἐξαιρέτους ἐποιησάμεθα, [o] ἵν' ἐκ μὲν τῆς οἰκίας, ὁποτέροις ἂν [p] ἡμῶν φαίνηται ὀφειλομένη ἡ προὶξ, οὗτοι αὐτὴν κομίσωνται, ἐκ δὲ τῶν παίδων κοινῶν ὄντων, ἐάν τι οὗτοι τῶν πατρῴων ἐπιζητῶσι, πυνθάνωνται, καὶ βασανίζοντες αὐτοὺς καὶ ἄλλῳ ὅτῳ ἂν τρόπῳ [q] βούλωνται [r] ζητοῦντες. ὅτι δὲ [s] καὶ ταῦτ' ἀληθῆ λέγω, ἐκ [t] τούτων τῶν μαρτυριῶν εἴσεσθε.

ΜΑΡΤΥΡΙΑΙ. 1013

18 Μετὰ ταῦτα τοίνυν οὗτοί τ' ἐμοὶ δίκας ἔλαχον ὑπὲρ ὧν ἐνεκάλουν κἀγὼ τούτοις ὑπὲρ τῆς προικός. καὶ τὸ μὲν πρῶτον [u] παραγραψάμενοι Σόλωνα [x] Ἐρχιέα διαιτητὴν τούτῳ [y] ἐπετρέψαμεν [z] δικάσαι περὶ ὧν ἐνεκαλοῦμεν ἀλλήλοις· ὡς δ' οὐκ ἀπήντων οὗτοι, ἀλλ' ἐφυγοδίκουν καὶ χρόνος διετρίβετο συχνὸς, τῷ μὲν Σόλωνι συνέβη τελευτῆσαι τὸν βίον, οὗτοι δὲ πάλιν ἐξ ὑπαρχῆς λαγχάνουσί μοι [a] δίκας, καὶ ἐγὼ [b] τούτῳ, προσκαλεσάμενος αὐτὸν καὶ ἐπιγραψάμενος ἐπὶ τὸ ἔγκλημα Βοιωτόν·
19 τοῦτο γὰρ αὐτῷ ὁ πατὴρ ἔθετο τοὔνομα. περὶ μὲν οὖν ὧν οὗτοί μοι ἐδικάζοντο, παρόντος τούτου καὶ ἀντιδικοῦντος καὶ οὐκ ἔχοντος ἐπιδεῖξαι οὐδὲν ὧν ἐνεκάλουν, ἀπεδιῄτησέ μου ὁ διαιτητής· καὶ [c] οὗτος συνειδὼς αὐτῷ ἀδίκως [d] ἐγκαλοῦντι οὔτε ἐφῆκεν εἰς τὸ δικαστήριον, οὔτε νῦν περὶ ἐκείνων εἴληχέ μοι δίκην οὐδεμίαν, ἀλλὰ περὶ ἄλλων τινῶν, [e] λύσειν τοῖς ἐγκλήμασι τούτοις τὴν δίκην ταύτην
20 οἰόμενος. ἣν [f] δ' ἐγὼ τοῦτον ἐδίωκον τότε περὶ τῆς προι-

[l] τοὺς παῖδας τοὺς διακόνους] τοὺς διακόνους παῖδας F.Q. [m] τοὺς διακόνους delet Dobræus. [n] τοὺς om. A.S.r. [o] ἵν'] ἵν' ᾖ F. ἵν' εἴη A.Q.r. [p] ἡμῶν φαίνηται] φαίνηται ἡμῶν F.Q. [q] βούλωνται] βούλοιντω (sic) S. [r] ζητοῦντες] ζητεῖν A.r. [s] καὶ om. A.r. [t] τούτων] τουτωνὶ A.r. [u] παραγραψάμενοι] παραγραψάμενος S. [x] Ἐρχιέα] ἀρχιέα r. [y] ἐπετρέψαμεν] ἐπέτρεψαν F.Q. [z] δικάσαι] δικάσασθαι Q. [a] δίκας S. Legebatur τὰς δίκας. [b] τούτῳ] τοῦτο F. [c] οὗτος] οὕτως Q. [d] ἐγκαλοῦντι S. μοι ἐγκαλῶν vulgo. [e] λύσειν] λύσιν F. [f] δ' om. F.Q.

κὸς, ἐπιδημοῦντος [g] τούτου ἐνθάδε καὶ οὐκ ἀπαντήσαντος πρὸς τὸν διαιτητὴν ἐρήμην κατεδιῄτησεν αὐτοῦ. [h] οὑτοσὶ δ', ὦ ἄνδρες δικασταὶ, οὔτε [i] ἠντεδίκει τότε παρὼν οὔτ' ἔφη με [k] καταδιαιτήσασθαι τὴν δίκην αὐτοῦ· οὐ [l] γὰρ εἶναι Βοιωτὸν αὐτῷ ὄνομα, ἀλλὰ Μαντίθεον, καὶ οὕτως ὀνόματι ἀμφισβητῶν ἔργῳ [m] τὴν προῖκά με τῆς μητρὸς ἀποστερεῖ.

21 ἀπορῶν δ' ἐγὼ τί ἄν [n] τις χρήσαιτο τῷ πράγματι, οὕτω [o] πάλιν τὴν αὐτὴν [p] ταύτην δίκην λαχὼν αὐτῷ Μαντιθέῳ ἑνδεκάτῳ ἔτει νῦν εἰς ὑμᾶς καταπέφευγα. ὡς δὲ καὶ 1014 ταῦτ' ἀληθῆ λέγω, ἀναγνώσεται [q] ὑμῖν περὶ τούτων μαρτυρίας.

ΜΑΡΤΥΡΙΑΙ.

22 Ὅτι μὲν τοίνυν, ὦ ἄνδρες δικασταὶ, ἥ τε μήτηρ μου τάλαντον ἐπενεγκαμένη προῖκα, ἐκδοθεῖσα ὑπὸ τῶν ἀδελφῶν τῶν αὑτῆς, ὥσπερ οἱ νόμοι κελεύουσι, συνῴκησε τῷ πατρὶ, καὶ ὃν τρόπον ἐγὼ τούτους εἰσεδεξάμην εἰς τὴν οἰκίαν τοῦ πατρὸς τελευτήσαντος, καὶ ὅτι [r] ἀπέφυγον αὐτοὺς τὰς δίκας ἅς μοι ἐνεκάλουν, ταῦτα μὲν πάντα καὶ μεμαρτύρηται ὑμῖν καὶ ἐπιδέδεικται. [s] ἴθι [t] δὲ λαβὲ καὶ [u] τὸν περὶ τῆς προικὸς νόμον τουτονί.

ΝΟΜΟΣ.

23 Οὕτω τοίνυν τοῦ νόμου ἔχοντος οἶμαι τουτονὶ Βοιωτὸν ἢ Μαντίθεον, ἢ ὅ τι ποτ' ἄλλο χαίρει προσαγορευόμενος, δικαίαν μὲν ἀπολογίαν καὶ ἀληθινὴν οὐδεμίαν ἕξειν εἰπεῖν, ἐπιχειρήσειν δὲ τῇ τόλμῃ καὶ τῇ θρασύτητι τῇ [x] ἑαυτοῦ πιστεύοντα περιστάναι τὰς [y] ἑαυτοῦ συμφορὰς εἰς

24 ἐμὲ, ἅπερ καὶ ἰδίᾳ ποιεῖν [z] εἴωθε, λέγων ὡς δημευθείσης

[g] τούτου] δὲ τούτου F.Q. [h] οὑτοσὶ S. Legebatur οὗτος. [i] ἠντεδίκει S. ἠντιδίκει vulgo. Conf. p. 1006, 2. [k] καταδιαιτήσασθαι] καταδιητήσασθαι S. [l] γὰρ] γὰρ ἂν Q. [m] τὴν προῖκά με τῆς μητρὸς ἀποστερεῖ] με ἀποστερεῖ τὴν προῖκα τῆς μητρός F.Q. [n] τις om. S. [o] πάλιν τὴν αὐτὴν ταύτην correctus B. πάλιν ταύτην pr. B. [p] ταύτην om. A.r. [q] ὑμῖν om. A.r. [r] ἀπέφυγον om. r. [s] ἴθι] ἴσθι A.S. Conf. p. 961, 20. [t] δὲ A.r. δὴ vulgo. [u] τὸν supra versum a m. pr. S. [x] ἑαυτοῦ] τούτου A.r. [y] ἑαυτοῦ F.S.Q. αὐτοῦ vulgo. αὐτῶν A.r. [z] εἴωθε] εἴωθα S.Q.

τῆς [a]τοῦ Παμφίλου οὐσίας, ὃς ἦν πατὴρ τῆς [b]Πλαγγόνος,
τὰ περιγενόμενα χρήματα ὁ πατὴρ ὁ ἐμὸς ἔλαβεν ἐκ τοῦ
βουλευτηρίου, καὶ οὕτως ἀποφαίνειν πειρώμενος τὴν μὲν
αὑτοῦ μητέρα ἐπενεγκαμένην προῖκα [c]πλεῖν ἢ ἑκατὸν
25 μνᾶς, τὴν δ' ἐμὴν ἄπροικον φάσκων συνοικῆσαι [d]ταῦτα ·
διέξεισιν, ὦ ἄνδρες δικασταί, οὔτε μαρτυρίαν οὐδεμίαν
[e]ἐμβεβλημένος ὑπὲρ τούτων οὔτ' ἀγνοῶν ὡς οὐδὲν ὑγιὲς
λέγει, ἀλλ' ἀκριβῶς εἰδὼς ὅτι ὁμολογῶν μὲν ἀδικεῖν ἐν
ὑμῖν οὐδείς πω [f]ἀπέφυγε, ψευδόμενος δὲ καὶ παραγω-
γὰς λέγων ἤδη τις δίκην [g]οὐκ ἔδωκεν. ἵν' οὖν μὴ ἐξα- 1015
πατηθῆτε ὑπ' αὐτοῦ, βέλτιον εἶναί μοι δοκεῖ βραχέα καὶ
26 περὶ τούτου πρὸς ὑμᾶς εἰπεῖν. ἐὰν [h]γὰρ λέγῃ ὡς ἡ
μὲν ἐμὴ μήτηρ οὐκ ἐπηνέγκατο προῖκα, ἡ δὲ τούτων ἐπη-
νέγκατο, ἐνθυμεῖσθ' ὅτι περιφανῶς ψεύδεται. πρῶτον μὲν
γὰρ [i]ὁ Πάμφιλος ὁ πατὴρ τῆς [k]τούτου μητρὸς πέντε τά-
λαντα τῷ δημοσίῳ ὀφείλων ἐτελεύτησε, καὶ [l]τοσούτου
ἐδέησε περιγενέσθαι τι τοῖς ἐκείνου παισὶ τῆς οὐσίας
27 ἀπογραφείσης καὶ δημευθείσης, [m]ὥστ' οὐδὲ τὸ ὄφλημα
πᾶν ὑπὲρ αὐτοῦ [n]ἐκτέτισται, ἀλλ' ἔτι καὶ νῦν ὁ Πάμφι-
λος ὀφείλων τῷ δημοσίῳ [o]ἐγγέγραπται. πῶς οὖν οἷόν τε
τὸν ἐμὸν πατέρα χρήματα λαβεῖν ἐκ τῆς Παμφίλου οὐ-
σίας, ἣ οὐδ' αὐτὸ τὸ ὄφλημα [p]ἱκανὴ ἐγένετο τῇ πόλει
28 [q]ἐκτῖσαι; ἔπειτ', ὦ ἄνδρες δικασταί, ἐνθυμεῖσθ' ὅτι εἰ τὰ
μάλιστα περιεγένετο τὰ χρήματα ταῦτα, [r]ὥσπερ [s]οὗ-
τοί φασιν, οὐκ ἂν ὁ ἐμὸς πατὴρ [t]αὐτὰ ἔλαβεν, ἀλλ' οἱ
τοῦ Παμφίλου υἱεῖς Βοιωτὸς καὶ Ἡδύλος καὶ Εὐθύδη-

[a] τοῦ addidi ex S. [b] Πλαγγόνος] πλαγγωνος S. πλάγγωνος B. [c] πλεῖν] Scribebatur πλεῖον. πλέον F.Q. [d] ταῦτα S. Legebatur ταῦτα δέ. [e] ἐμβεβλημένος] συμβεβλημένος B.Q. [f] ἀπέφυγε] ἀπέφευγε S. [g] οὐκ ἔδωκεν] οὐ δέδωκεν A.r. [h] γὰρ S. Legebatur μὲν γάρ. [i] ὁ addidi ex S. [k] τούτου A.S.r. Legebatur τούτων. [l] τοσούτου] τοσοῦτον F.Q. [m] ὥστ'] ὡς F.Q. [n] ἐκτέτισται] ἐκτετεισθαι S. Hoc est ἐκτετίσθαι. [o] ἐγγέγραπται] γέγραπται F. [p] ἱκανὴ ἐγένετο τῇ πόλει] τῇ πόλει ἱκανὴ ἐγένετο A.F.Q.r. [q] ἐκτῖσαι] εκτεισαι S. [r] ὥσπερ] ὡς F.Q. [s] οὗτοί] αὐτοὶ S. [t] αὐτὰ] ταῦτα F.Q.

μος, οἳ οὐκ ἂν δήπου ἐπὶ μὲν [u] τῷ τἀλλότρια λαμβάνειν ὁτιανοῦν ἐποίουν, ὡς καὶ ὑμεῖς ἅπαντες ἴστε, τὰ δ' αὑτῶν
29 τὸν ἐμὸν πατέρα περιεῖδον κομισάμενον. ὅτι μὲν τοίνυν ἥ γε τούτων [x] μήτηρ οὐκ ἐπηνέγκατο προῖκα, ἀλλ' οὗτοι τοῦτο ψεύδονται, ἱκανῶς ὑμᾶς μεμαθηκέναι νομίζω· ὅτι δ' ἡ ἐμὴ μήτηρ ἐπηνέγκατο, ῥᾳδίως ἐγὼ [y] δείξω. πρῶτον μὲν γὰρ Πολυαράτου θυγάτηρ ἦν, ὃς καὶ ὑφ' [z] ὑμῶν ἐτιμᾶτο καὶ πολλὴν οὐσίαν ἐκέκτητο· ἔπειτα μεμαρτύρηται ὑμῖν ὡς καὶ ἡ ἀδελφὴ αὐτῆς τοσαύτην προῖκα ἐπε- 1016
νεγκαμένη Ἐρυξιμάχῳ συνῴκησε, τῷ Χαβρίου κηδεστῇ.
30 πρὸς δὲ τούτοις φαίνεταί [a] μου ἡ μήτηρ τὸ πρῶτον ἐκδοθεῖσα Κλεομέδοντι, οὗ φασὶ τὸν πατέρα Κλέωνα τῶν ὑμετέρων προγόνων στρατηγοῦντα, Λακεδαιμονίων πολλοὺς ἐν Πύλῳ ζῶντας λαβόντα, μάλιστα πάντων ἐν τῇ πόλει εὐδοκιμῆσαι· ὥστ' οὔτε τὸν ἐκείνου προσῆκεν υἱὸν
31 ἄπροικον αὐτὴν γῆμαι, οὔτε Μενέξενον καὶ Βάθυλλον εἰκός ἐστιν, αὐτούς τε [b] οὐσίαν πολλὴν κεκτημένους καὶ Κλεομέδοντος τελευτήσαντος κομισαμένους τὴν προῖκα, ἀποστερῆσαι τὴν ἀδελφὴν τὴν [c] ἑαυτῶν, ἀλλὰ προσθέντας αὐτοὺς ἐκδοῦναι τῷ ἡμετέρῳ πατρί, καθάπερ καὶ
32 αὐτοὶ πρὸς ὑμᾶς καὶ οἱ [d] ἄλλοι μεμαρτυρήκασιν. χωρὶς δὲ τούτων ἐνθυμήθητε διὰ τί ἄν ποτε ὁ πατήρ, εἴπερ ἡ [e] μὲν ἐμὴ μήτηρ μὴ ἦν ἐγγυητὴ μηδ' ἠνέγκατο προῖκα, ἡ δὲ τούτων ἠνέγκατο, [f] τούτους μὲν οὐκ ἔφη [g] αὑτοῦ υἱεῖς εἶναι, ἐμὲ δὲ καὶ ἐποιεῖτο καὶ [h] ἐπαίδευεν; ὅτι νὴ Δί', ὡς οὗτοι [i] φήσουσιν, ἐμοὶ χαριζόμενος καὶ [k] τῇ ἐμῇ μητρὶ
33 τούτους ἠτίμαζεν. ἀλλ' ἐκείνη μὲν ἔτι παῖδα μικρὸν ἐμὲ καταλιποῦσα αὐτὴ τὸν βίον ἐτελεύτησεν, ἡ δὲ τούτων

[u] τῷ] τὸ F. [x] μήτηρ] ἡ μήτηρ S., sed ἡ cum puncto. [y] δείξω] διδάξω A.r. [z] ὑμῶν] ἡμῶν F. [a] μου ἡ μήτηρ] ἡ μήτηρ μου A.F.Q.r. [b] οὐσίαν πολλὴν] πολλὴν οὐσίαν F.Q. [c] ἑαυτῶν S. αὐτῶν vulgo. [d] ἄλλοι S. Legebatur ἄλλοι (οἱ addunt F.Q.) οἰκεῖοι. [e] μὲν om. S. [f] τούτους] τοὺς S. [g] αὑτοῦ υἱεῖς] ἑαυτοῦ υἱεῖς A. ἑαυτοῦ παῖδας r. [h] ἐπαίδευεν] ἐπαίδευσεν F. [i] φήσουσιν S. Legebatur φασιν. [k] τῇ] τῇ γε F.Q.

μήτηρ Πλαγγὼν καὶ πρότερον καὶ μετὰ ταῦτα εὐπρεπὴς
τὴν ὄψιν οὖσα [l] ἐπλησίαζεν αὐτῷ· ὥστε πολὺ μᾶλλον
εἰκὸς ἦν αὐτὸν διὰ τὴν ζῶσαν γυναῖκα, ἧς ἐρῶν ἐτύγχανε,
τὸν τῆς τεθνεώσης υἱὸν ἀτιμάζειν, ἢ δι' ἐμὲ καὶ τὴν τετε-
λευτηκυῖαν τοὺς ἐκ τῆς ζώσης καὶ πλησιαζούσης αὐτῷ
34 παῖδας μὴ ποιεῖσθαι. καίτοι οὗτός γ' εἰς τοῦτο τόλμης
ἥκει, ὥστε φησὶ τὸν πατέρα μου δεκάτην ὑπὲρ αὐτοῦ
[m] ἑστιᾶσαι. καὶ περὶ τούτου [n] μόνον Τιμοκράτους καὶ 1017
Προμάχου [o] ἐμβέβληται μαρτυρίας, οἳ οὔτε γένει προσή-
κουσί [p] μου τῷ πατρὶ οὐδὲν οὔτε φίλοι ἦσαν ἐκείνῳ.
οὕτω δὲ φανερῶς τὰ ψευδῆ μεμαρτυρήκασιν, ὥστε ὃν
πάντων ὑμῶν [q] εἰδότων [r] οὑτοσὶ δίκην λαχὼν ἄκοντα ἠ-
νάγκασε ποιήσασθαι αὐτὸν, τοῦτον οὗτοι, ὥσπερ κλητῆ-
ρες, δύο μόνοι ὄντες μαρτυροῦσι δεκάτην ὑπὲρ τούτου [s] ἑστι-
35 ᾶσαι. [t] οἷς τίς ἂν ὑμῶν πιστεύσειεν; καὶ μὴν οὐδ' ἐκεῖνό
γε εἰπεῖν αὐτῷ ἐνδέχεται, ὡς μικρὸν μὲν ὄντα ἐποιεῖτο
αὐτὸν ὁ πατὴρ, μείζω δὲ γενόμενον τῇ μητρὶ [u] ὀργισθείς τι
τῇ [x] τούτων [y] ἠτίμαζε· πολὺ γὰρ δήπου μᾶλλον εἰώθασιν,
ὧν ἂν [z] ἐν αὐτοῖς διενεχθῶσι γυνὴ καὶ ἀνὴρ, διαλλάττε-
σθαι διὰ τοὺς παῖδας ἢ διὰ τὰς πρὸς ἑαυτοὺς ὀργὰς
τοὺς κοινοὺς παῖδας [a] πρὸς μισεῖν. ὥστ' ἐὰν μὲν ἐπιχειρῇ
36 ταῦτα λέγειν, μὴ [b] ἐπιτρέπετε [c] αὐτῷ ἀναισχυντεῖν. [d] ἂν
δὲ λέγῃ περὶ τῶν δικῶν [e] ἃς ἀπεδιῄτησέ μου ὁ διαιτη-
τὴς, καὶ φάσκῃ ὑπ' ἐμοῦ ἀπαράσκευος ληφθῆναι. πρῶ-
τον μὲν μέμνησθε ὅτι οὐκ ὀλίγος χρόνος ἐγένετο, ἐν ᾧ
[f] ἔδει [g] παρασκευάσασθαι αὐτὸν, ἀλλ' ἔτη πολλὰ, ἔπειθ'

[l] ἐπλησίαζεν] ἐπλησίασεν A.S.r. [m] ἑστιᾶσαι] εἱστιᾶσαι B. et sine accentibus S. ἱστιᾶσαι A. [n] μόνον] μόνου A.r. [o] ἐμβέβληται] ἀποδέδεικται A.F.Q.r. [p] μου] μοι F.r. [q] εἰδότων om. S. [r] οὑτοσὶ] οὗτος A.F.r. [s] ἑστιᾶσαι] εἱστιᾶσαι B.S. ἑστιᾶσθαι r. ἱστιᾶσθαι A. [t] οἷς] ὅς A.r. [u] ὀργισθείς τι] ὀργίζεσθε S. [x] τούτων] τούτου A.F.Q.r. [y] ἠτίμαζε] τι ἠτίμαζεν S. ἠτίμασε F. [z] ἐν αὐτοῖς] ἐν ἑαυτοῖς A.r. αὐτοῖς F.Q. [a] πρὸς μισεῖν Schæferus. Scribebatur προσμισεῖν hic et p. 1001, 16. προσήκειν F.Q. [b] ἐπιτρέπετε] ἐπιτρέπεται S. [c] αὐτῷ om. A.S.r. [d] ἂν S. Legebatur ἐάν. [e] ἃς ἀπεδιῄτησέ] κατεδιῄτησε F.Q. ὡς ἀπεδιῄτησε γρ. Q. [f] ἔδει] δεῖ A. [g] παρασκευάσασθαι] παρεσκευάσθαι F.Q.

ὅτι οὗτος ἦν ὁ διώκων [h]τὴν δίκην, ὥστε πολὺ [i]μᾶλλον ἦν
εἰκὸς ἐμὲ ὑπὸ τούτου ἀπαράσκευον ληφθῆναι ἢ τοῦτον ὑπ'
37 ἐμοῦ. [k]ἔτι δὲ πάντες ὑμῖν οἱ πρὸς τῷ διαιτητῇ παρόντες
μεμαρτυρήκασιν ὡς οὗτος παρὼν [l]αὐτὸς, ὅτε ἀπεδιῄτησέ
μου ὁ διαιτητὴς, οὔτε [m]ἐφῆκεν εἰς τὸ δικαστήριον ἐνέμεινέ
[n]τε τῇ διαίτῃ. καίτοι ἄτοπον δοκεῖ μοι εἶναι, εἰ οἱ μὲν
ἄλλοι, ὅταν οἴωνται ἀδικεῖσθαι, καὶ τὰς πάνυ μικρὰς
δίκας εἰς ὑμᾶς [o]ἐφιᾶσιν, οὗτος δέ μοι περὶ προικὸς
δίκην ταλάντου [p]λαχὼν [q]ταύτῃ, ὡς αὐτός φησιν, ἀδίκως
38 [r]καταδιαιτηθεὶς ἐνέμεινεν. νὴ Δί', ἀπράγμων γάρ [s]τις 1018
ἴσως ἐστὶν ἄνθρωπος καὶ οὐ [t]φιλόδικος. ἐβουλόμην [u]τἂν,
ὦ ἄνδρες δικασταὶ, τοιοῦτον αὐτὸν εἶναι. νυνὶ δ' [x]ὑμεῖς
μὲν οὕτως ἐστὲ κοινοὶ καὶ φιλάνθρωποι, ὥστ' οὐδὲ τοὺς
τῶν τριάκοντα υἱεῖς φυγαδεῦσαι ἐκ τῆς πόλεως ἠξιώ-
39 σατε· οὗτος [y]δ' ἐμοὶ μετὰ Μενεκλέους τοῦ πάντων τού-
των ἀρχιτέκτονος ἐπιβουλεύσας, καὶ ἐξ ἀντιλογίας καὶ
λοιδορίας πληγὰς συναψάμενος, ἐπιτεμὼν τὴν κεφαλὴν
αὑτοῦ τραύματος [z]εἰς Ἄρειον πάγον με [a]προσεκαλέσατο,
40 ὡς φυγαδεύσων ἐκ τῆς πόλεως. καὶ εἰ μὴ Εὐθύδικος ὁ
ἰατρὸς, πρὸς ὃν οὗτοι τὸ πρῶτον ἦλθον δεόμενοι ἐπιτεμεῖν
τὴν κεφαλὴν, [b]αὐτὸς πρὸς τὴν ἐξ Ἀρείου πάγου βουλὴν
εἶπε τὴν ἀλήθειαν πᾶσαν, [c]τοιαύτην [d]δίκην οὗτος [e]ἂν
εἰλήφει παρ' ἐμοῦ [f]μηδὲν ἀδικοῦντος, ἣν ὑμεῖς οὐδὲ κατὰ
τῶν τὰ μέγιστ' ἀδικούντων ὑμᾶς ἐπιχειρήσαιτ' ἂν ποιή-
σασθαι. ἵνα δὲ μὴ δοκῶ διαβάλλειν αὐτὸν, ἀνάγνωθί μοι
τὰς μαρτυρίας.

[h] τὴν δίκην addidi ex S. Conf. p. 1270, 3. [i] μᾶλλον ἦν εἰκὸς] ἦν εἰκὸς μᾶλλον F.Q. ἦν ἂν μᾶλλον A.r. [k] ἔτι δὲ] ἔπειτα A.r. [l] αὐτὸς] τότε A.r. [m] ἐφῆκεν] ἐφῆκον S. [n] τε] δὲ A.r. [o] ἐφιᾶσιν] ἀφιᾶσιν F. ἐφιστᾶσιν A.Q. [p] λαχὼν] τυχὼν A.r. [q] ταύτῃ] τότε A.F.Q.r. [r] καταδιαιτηθεὶς] ἀποδιαιτηθεὶς F.S.Q. ἀποδιαιτηθείσης A.r. [s] τις om. Q. [t] φιλόδικος S. φιλόνεικος vulgo. [u] τἂν] Legebatur μέντ' ἄν. τ' ἂν F.Q. et pr. S. [x] ὑμεῖς μὲν om. S. μὲν om. r. [y] δ' ἐμοὶ] δέ μοι A.F.Q.r. [z] εἰς] ὡς r. [a] προσεκαλέσατο] προεκαλέσατο F.Q. προυκαλεσατο S. [b] αὐτὸς] αὐτοῦ A.r. interpunctione non post κεφαλὴν, sed post αὐτοῦ posita. [c] τοιαύτην] ταύτην F.S.Q. [d] δίκην in marg. a m. pr., sed atramento alio S. [e] ἂν post τοιαύτην A.r. [f] μηδὲν S. οὐδὲν vulgo.

ΜΑΡΤΥΡΙΑΙ.

41 Τοῦτον μὲν τοίνυν [g] οὕτω μέγαν καὶ φοβερὸν ἀγῶνά
μοι οὐχ ὡς εὐήθης ὢν, ἀλλ' ὡς ἐπίβουλος καὶ κακοῦργος
κατεσκεύασεν. μετὰ δὲ ταῦτα ἀντὶ τοῦ ὀνόματος οὗ ἔθετο
[h] αὐτῷ ὁ πατὴρ Βοιωτὸν, ὥσπερ καὶ πρὸς ὑμᾶς μεμαρ-
τύρηται, ἐπειδὴ ἐκεῖνος ἐτελεύτησε, Μαντίθεον [i] ἑαυτὸν
42 [k] ἐγγράψας εἰς τοὺς δημότας, καὶ τοῦ αὐτοῦ ἐμοὶ [l] καὶ
πατρὸς καὶ δήμου προσαγορευόμενος, οὐ μόνον τὴν δίκην
ταύτην, περὶ ἧς [m] νυνὶ δικάζομαι, [n] ἀνάδικον ἐποίησεν,
ἀλλὰ [o] καὶ χειροτονησάντων ὑμῶν [p] ἐμὲ ταξίαρχον ἧκεν
αὐτὸς [q] ἐπὶ τὸ δικαστήριον δοκιμασθησόμενος, δίκην [r] δὲ
ἐξούλης ὠφληκὼς ταύτην οὐκ αὐτὸς ὠφληκέναι φησὶν, 1019
43 ἀλλ' ἐμέ. ὡς δ' ἐν κεφαλαίῳ εἰπεῖν, κακά μοι παρ-
έχων ἠνάγκασέ με λαχεῖν αὐτῷ [s] δίκην περὶ τοῦ ὀνόμα-
τος, οὐχ ἵνα χρήματα παρ' αὐτοῦ λάβω, ὦ ἄνδρες δικα-
σταὶ, ἀλλ' ἵν', ἐὰν ὑμῖν δοκῶ δεινὰ πάσχειν καὶ βλά-
πτεσθαι μεγάλα, [t] οὑτοσὶ [u] καλῆται Βοιωτὸς, [x] ὥσπερ ὁ
πατὴρ αὐτῷ ἔθετο. ὅτι τοίνυν [y] ἀληθῆ καὶ ταῦτα λέγω,
λαβέ μοι καὶ τὰς περὶ τούτων μαρτυρίας.

ΜΑΡΤΥΡΙΑΙ.

44 Πρὸς τούτοις τοίνυν καὶ ὅτι ἐγὼ στρατευόμενος καὶ μετὰ [z] Ἀμεινίου [a] ξενολογήσας, ἄλλοθέν τε χρήματα εὐπορήσας καὶ ἐκ [b] Μυτιλήνης παρὰ [c] τοῦ ὑμετέρου προξένου Ἀπολλωνίδου καὶ παρὰ τῶν φίλων τῆς πόλεως λαβὼν τριακοσίους στατῆρας [d] Φωκαεῖς, ἀνήλωσα εἰς τοὺς στρα-

[g] οὕτω om. S. [h] αὐτῷ ὁ πατὴρ] ὁ πατὴρ αὐτῷ A.r. ὁ πατὴρ αὐτοῦ F.Q. [i] ἑαυτὸν] αὑτὸν F.Q. om. A.r. [k] ἐγγράψας] ἔγρα[εν]ψας F. [l] καὶ om. F.Q. [m] νυνὶ S. νῦν vulgo. [n] ἀνάδικον] ἂν ἄδικον r. [o] καὶ om. A.r. [p] ἐμὲ] με A.r. [q] ἐπὶ S. Legebatur εἰς. [r] δὲ S. Legebatur τε. [s] δίκην] τὴν δίκην F.Q. [t] οὑτοσὶ] οὗτος A.F.Q.r. [u] καλῆται] καλεῖται A. (non quem Reiskius dixit B.) [x] ὥσπερ] ὅπερ Dobræus. [y] ἀληθῆ καὶ ταῦτα] καὶ ταῦτα ἀληθῆ Q. [z] Ἀμεινίου] ἀμινίου S. [a] ξενολογήσας] στρατολογήσας pr. S. [b] Μυτιλήνης S.Q. hic et infra. Μιτυλήνης vulgo. [c] τοῦ ὑμετέρου προξένου] τοῦ προξένου τοῦ ὑμετέρου A.F.Q.r. [d] Φωκαεῖς] φωκεαεις S.

τιώτας, ἵνα πρᾶξίς τις πραχθείη καὶ ὑμῖν [e] καὶ ἐκείνοις
45 συμφέρουσα, περὶ τούτων μοι δικάζεται ὡς πατρικὸν κεκομισμένῳ [f] χρέως παρὰ τῆς πόλεως [g] τῆς Μυτιληναίων, [h] Κάμμῃ τῷ τυραννοῦντι Μυτιλήνης ὑπηρετῶν, ὃς καὶ ὑμῖν κοινῇ καὶ ἐμοὶ ἰδίᾳ ἐχθρός ἐστιν. ὅτι δ' ὁ πατὴρ ἡμῶν, ἣν ἐψηφίσαντο αὐτῷ δωρεὰν οἱ Μυτιληναῖοι, εὐθὺς αὐτὸς ἐκομίσατο, καὶ ὡς οὐδὲν ὠφείλετο αὐτῷ χρέως ἐν Μυτιλήνῃ, τῶν ὑμετέρων φίλων παρέξομαι μαρτυρίαν.

ΜΑΡΤΥΡΙΑ.

46 Ἔχων τοίνυν, ὦ ἄνδρες δικασταί, [i] καὶ ἄλλα πολλὰ καὶ δεινὰ λέγειν, ἃ οὗτος καὶ [k] εἰς ἐμὲ καὶ εἰς ὑμῶν ἐνίους ἡμάρτηκεν, ἀναγκάζομαι διὰ τὸ ὀλίγον εἶναί μοι τὸ ὕδωρ παραλιπεῖν. νομίζω γὰρ καὶ ἐκ τούτων ὑμῖν ἱκανῶς ἐπι- 1020
δεδεῖχθαι ὡς οὐ τοῦ αὐτοῦ ἀνθρώπου ἐστὶν ἀγῶνα [l] μέν μοι περὶ φυγῆς κατασκευάζειν καὶ δίκας οὐδὲν προσηκούσας δικάζεσθαι, πρὸς δὲ τὸν διαιτητὴν ἀπαντᾶν ἀπαράσκευον. ὥστε περὶ μὲν τούτων [m] ἂν ἐπιχειρῇ λέγειν, [n] οὐκ οἴομαι
47 ὑμᾶς ἀποδέξεσθαι. ἂν δὲ λέγῃ ὡς ἀξιοῦντος αὐτοῦ ἐπιτρέψαι Κόνωνι τῷ Τιμοθέου περὶ [o] ἁπάντων [p] ἐγὼ οὐκ ἠβουλόμην ἐπιτρέπειν, ἐνθυμεῖσθε [q] ὡς ἐξαπατᾶν ὑμᾶς ἐπιχειρήσει. ἐγὼ γὰρ περὶ μὲν ὧν [r] αἱ δίκαι οὔπω τέλος εἶχον, ἕτοιμος ἦν ἐπιτρέπειν καὶ Κόνωνι καὶ ἄλλῳ διαι-
48 τητῇ ἴσῳ, [s] ὅτῳ [t] οὗτος βούλοιτο· περὶ [u] δὲ ὧν τρὶς πρὸς τὸν διαιτητὴν ἀπαντήσαντος τούτου καὶ ἀντιδικοῦντος ὁ

[e] καὶ ἐκείνοις] κἀκείνοις B. [f] χρέως S.Q. constanter. χρέος vulgo. [g] τῆς Μυτιληναίων] εἰς μιτυληναῖον (supra τῆς … ων) F. [h] Κάμμῃ] Cum nomine ὑποκοριστικῷ καμμῦς, a grammaticis memorato, in κλαμμῦς corrupto apud Arcadium p. 92, 13. comparavi in Thesauro vol. 4. p. 921. Quod non liquet utrum huic loco sit restituendum an servandum Κάμμῃ. [i] καὶ om. F.Q. [k] εἰς om. r. [l] μέν om. A.F.Q.r. [m] ἂν] ἃ ἂν F.Q. [n] οὐκ οἴομαι ὑμᾶς ἀποδέξεσθαι S. et γρ. F.Q. οὐκ οἴομαι ὑμᾶς ἀποδέξασθαι ἂν αὐτὸν A. οὐκ οἶμαι ὑμᾶς ἀποδέξεσθαι ἂν αὐτόν r. δίκαιον καὶ ὑμᾶς ἀποδέξασθαι ἂν αὐτόν F.Q. [o] ἁπάντων] πάντων A.F.Q.r. [p] ἐγὼ οὐκ] οὐ τοῦτο F.Q. [q] ὡς] εἰ (supra ὡς) F. ἦ A.r. [r] αἱ δίκαι οὔπω] αιδι ουπω καὶ S. [s] ὅτῳ] οἵωι F.Q. [t] οὗτος] αὐτὸς A. [u] δὲ ὧν] ὧν pr. r. ὧν δὲ rec. r.

μὲν διαιτητὴς ἀπέγνω μου, οὗτος [x] δὲ τοῖς γνωσθεῖσιν ἐνέμεινεν, ὡς καὶ ὑμῖν μεμαρτύρηται, οὐκ ᾤμην δίκαιον
49 [y] εἶναι [z] ταῦτα πάλιν ἀνάδικα γίγνεσθαι· τί γὰρ ἂν ἦν πέρας ἡμῖν τοῦ διαλυθῆναι, εἰ τὰ κατὰ [a] τοὺς νόμους διαιτηθέντα λύσας ἑτέρῳ διαιτητῇ ἐπέτρεψα περὶ τῶν αὐτῶν ἐγκλημάτων, ἄλλως τε καὶ ἀκριβῶς εἰδὼς ὅτι, εἰ καὶ πρὸς τοὺς ἄλλους μὴ ἐπιεικές ἐστι ταῖς διαίταις ἰσχυρίζεσθαι, πρός γε τοῦτον [b] ἁπάντων δικαιότατον [c] ἦν [d] οὕτω
50 προσφέρεσθαι. φέρε γάρ, εἴ τις αὐτὸν ξενίας γράψαιτο λέγων ὡς διομνύμενος ὁ πατὴρ οὐκ ἔφη τοῦτον υἱὸν αὑτοῦ εἶναι, ἔσθ' ὅτῳ ἂν [e] ἄλλῳ ἰσχυρίζοιτο πρὸς ταῦτα ἢ διότι τῆς μητρὸς αὐτῶν ὀμοσάσης καὶ τοῦ διαιτητοῦ [f] καταγνόντος ἠναγκάσθη ὁ πατὴρ ἡμῶν ἐμμεῖναι τῇ διαίτῃ;
51 οὐκοῦν δεινὸν εἰ οὗτος αὐτὸς κατὰ γνῶσιν διαιτητοῦ ὑμέτερος πολίτης γεγενημένος καὶ πρὸς ἐμὲ τὴν οὐσίαν 1021 νειμάμενος καὶ τυχὼν [g] τῶν μετρίων ἁπάντων, ἃς ἐγὼ δίκας τοῦτον ἀπέφυγον παρόντα καὶ ἀντιδικοῦντα καὶ [h] τοῖς γνωσθεῖσιν [i] ἐμμένοντα, ταύτας [k] ἀναδίκους [l] ἀξιῶν [m] γίγνεσθαι δίκαιόν τι δοκοίη λέγειν ὑμῖν, ὥσπερ, ὅταν μὲν τούτῳ συμφέρῃ, δέον [n] κυρίας εἶναι τὰς διαίτας, ὅταν δὲ μὴ συμφέρῃ, προσῆκον τὴν [o] τούτου γνώμην κυριωτέραν
52 [p] γενέσθαι τῶν κατὰ τοὺς [q] ὑμετέρους νόμους γνωσθέντων. ὃς οὕτως ἐπίβουλός ἐστιν, ὥστε καὶ τὴν δίαιταν ταύτην ἐπιτρέπειν με προὐκαλεῖτο οὐχ ὅπως ἀπαλλαγῇ πρός με, ἀλλ' ἵν', ὥσπερ καὶ πρότερον ἕνδεκα ἔτη διήγαγε κακουργῶν, [r] οὕτω καὶ [s] νῦν τὰ ἀποδιαιτηθέντα μου λύσας ἐξ

[x] δὲ τοῖς] δ' ἐν τοῖς F.S.Q. [y] εἶναι om. r. [z] ταῦτα] ταὐτὰ B. [a] τοὺς om. A.B. [b] ἁπάντων] πάντων A.Q.r. [c] ἦν] ἂν ἦν S. [d] οὕτω] οὕτως S. [e] ἄλλῳ] ἄλλων Q. [f] καταγνόντος] γνόντος A.r. [g] τῶν μετρίων] δικῶν τῶν μεγίστων A.r. [h] τοῖς] ἐν τοῖς F.Q. [i] ἐμμένοντα S. ἐμμείναντα vulgo. [k] ἀναδίκους] ἂν ἀδίκως F. [l] ἀξιῶν] αξιοι S. [m] γίγνεσθαι] γενέσθαι A.r. [n] κυρίας εἶναι] εἶναι κυρίας S. [o] τούτου] τούτων S. [p] γενέσθαι] γιενέσθαι S. ι a m. rec. [q] ὑμετέρους om. A.r. [r] οὕτω] οὕτως S. [s] νῦν τὰ S. τὰ νῦν vulgo.

ἀρχῆς με συκοφαντῇ καὶ τὴν δίκην ταύτην ἐκκρούῃ. τεκ- 53 μήριον δὲ τούτου μέγιστον· οὔτε γὰρ τὴν πρόκλησιν ἐδέχετο, ἣν ἐγὼ κατὰ τοὺς νόμους προὐκαλούμην αὐτὸν, πρότερόν τε Ξενίππῳ, ὃν οὗτος [t] προὐβάλετο διαιτητὴν, [u] ἐπιτρέψαντός μου περὶ τῆς τοῦ ὀνόματος δίκης ἀπηγόρευσεν αὐτῷ μὴ διαιτᾶν. ὅτι δὲ καὶ ταῦτ' ἀληθῆ λέγω, ἐκ τῆς μαρτυρίας καὶ τῆς προκλήσεως εἴσεσθε.

ΜΑΡΤΥΡΙΑ. ΠΡΟΚΛΗΣΙΣ.

54 Ταύτην [x] τοίνυν τὴν πρόκλησιν οὐ δεξάμενος, ἀλλ' ἐνεδρεύων με καὶ τὴν δίκην ὅτι πλεῖστον χρόνον ἐκκρούειν βουλόμενος, κατηγορήσει, ὡς ἐγὼ πυνθάνομαι, οὐ μόνον ἐμοῦ, ἀλλὰ καὶ τοῦ πατρὸς, λέγων ὡς ἐκεῖνος ἐμοὶ χαρι- 55 ζόμενος πολλὰ τοῦτον ἠδίκησεν. ὑμεῖς δ', ὦ ἄνδρες δικασταὶ, μάλιστα μὲν, ὥσπερ αὐτοὶ οὐκ ἂν [y] ἀξιώσαιτε κακῶς ἀκούειν ὑπὸ τῶν ὑμετέρων παίδων, οὕτω μηδὲ τούτῳ ἐπιτρέπετε περὶ τοῦ πατρὸς βλασφημεῖν· καὶ γὰρ 1022 ἂν εἴη δεινὸν εἰ αὐτοὶ μὲν πρὸς τοὺς ἐπὶ τῆς ὀλιγαρχίας πολλοὺς τῶν πολιτῶν ἀκρίτους ἀποκτείναντας διαλλαγέντες ἐμμένετε ταῖς ὁμολογίαις, ὥσπερ χρὴ τοὺς καλοὺς κἀγαθοὺς ἄνδρας, τούτῳ δὲ πρὸς τὸν πατέρα ζῶντα [z] καὶ διαλυθέντι καὶ πολλὰ παρὰ τὸ δίκαιον πλεονεκτήσαντι νῦν μνησικακεῖν ἐπιτρέψετε καὶ κακῶς [a] λέγειν ἐκεῖνον. 56 μηδαμῶς, ὦ ἄνδρες δικασταὶ, ἀλλὰ μάλιστα μὲν κωλύετ' αὐτὸν ταῦτα ποιεῖν, [b] ἂν δ' ἄρα βιάζηται [c] ὑμᾶς καὶ [d] λοιδορῆται, ἐνθυμεῖσθ' ὅτι αὐτὸς [e] ἑαυτοῦ καταμαρτυρεῖ μὴ ἐξ ἐκείνου [f] γεγενῆσθαι. οἱ μὲν γὰρ φύσει παῖδες ὄντες, κἂν πρὸς ζῶντας [g] τοὺς πατέρας διενεχθῶσιν, ἀλλ' οὖν τελευτήσαντάς [h] γε αὐτοὺς ἐπαινοῦσιν· οἱ δὲ

[t] προὐβάλετο γρ. B. προὐβάλλετο S. προὐκαλεῖτο vulgo. [u] ἐπιτρέψαντός] ἐπιτρέποντος A.r. [x] τοίνυν om. r. [y] ἀξιώσαιτε] ἀξιώσετε S. [z] καὶ addidi ex S. in quo delevit m. recens. [a] λέγειν ἐκεῖνον] ἐκεῖνον λέγειν F.Q. [b] ἂν] ἐὰν A.r. [c] ὑμᾶς] ἡμᾶς F. [d] λοιδορῆται A.S.r. Legebatur λοιδορῆται αὐτῷ. [e] ἑαυτοῦ S. αὐτοῦ vulgo. [f] γεγενῆσθαι] γενέσθαι A.r. [g] τοὺς πατέρας διενεχθῶσιν] διενεχθῶσι τοὺς πατέρας F.Q. [h] γε om. F.S.Q.

νομιζόμενοι μὲν υἱεῖς, μὴ ὄντες δὲ γένει ἐξ ἐκείνων, ῥᾳ-
δίως μὲν αὐτοῖς [i] διαφέρονται ζῶσιν, [k] οὐδὲν δὲ φροντί-
57 ζουσι περὶ τεθνεώτων [l] αὐτῶν βλασφημοῦντες. χωρὶς δὲ
τούτων ἐνθυμεῖσθε ὡς ἄτοπόν ἐστιν, εἰ οὗτος τὸν πατέρα
ὡς [m] ἁμαρτόντα εἰς αὑτὸν λοιδορήσει, διὰ τὰ ἐκείνου ἁμαρ-
τήματα [n] ὑμέτερος πολίτης γεγενημένος. κἀγὼ μὲν διὰ
τὴν τούτων μητέρα [o] τὰ δύο μέρη τῆς οὐσίας [p] ἀφαιρεθεὶς
ὅμως ὑμᾶς αἰσχύνομαι λέγειν [q] περὶ ἐκείνης τι φλαῦρον·
58 οὗτος δ', ὃν ἠνάγκασεν [r] αὑτῷ πατέρα γενέσθαι, τοῦτον
οὐκ αἰσχύνεται [s] ψέγων ἐναντίον ὑμῶν, ἀλλ' εἰς τοῦτ'
ἀμαθίας ἥκει, ὥστε τῶν νόμων ἀπαγορευόντων μηδὲ τοὺς
τῶν ἄλλων πατέρας κακῶς λέγειν τεθνεῶτας, οὗτος, οὗ
φησὶν [t] υἱὸς εἶναι, [u] τοῦτον λοιδορήσει, ᾧ προσῆκε καὶ εἴ
τις ἄλλος ἐβλασφήμει περὶ αὐτοῦ ἀγανακτεῖν. 1023
59 [x] Οἴομαι δ' αὐτὸν, ὦ ἄνδρες δικασταὶ, ἐπειδὰν τῶν
ἄλλων ἀπορῇ, κακῶς [y] τέ με ἐπιχειρήσειν λέγειν καὶ
διαβάλλειν πειράσεσθαι, διεξιόνθ' ὡς ἐγὼ μὲν καὶ [z] ἐτρά-
φην καὶ ἐπαιδεύθην καὶ ἔγημα ἐν τῇ τοῦ πατρὸς οἰκίᾳ,
αὐτὸς δ' οὐδενὸς τούτων μετέσχεν. ὑμεῖς δ' ἐνθυμεῖσθ'
ὅτι ἐμὲ μὲν ἡ μήτηρ [a] παῖδα καταλιποῦσα ἐτελεύτησεν,
ὥστε μοι ἱκανὸν ἦν ἀπὸ τοῦ τόκου τῆς προικὸς καὶ τρέ-
60 φεσθαι καὶ παιδεύεσθαι· ἡ δὲ τούτων μήτηρ Πλαγγὼν,
τρέφουσα μεθ' αὑτῆς τούτους καὶ θεραπαίνας συχνὰς καὶ
[b] αὐτὴ πολυτελῶς ζῶσα, καὶ εἰς ταῦτα τὸν πατέρα τὸν
ἐμὸν χορηγὸν [c] ἑαυτῇ ὑπὸ τῆς ἐπιθυμίας ἔχουσα καὶ
πολλὰ δαπανᾶν ἀναγκάζουσα, οὐκ ἴσα δήπου τῆς ἐκεί-

[i] διαφέρονται] διαφέροντες F. [k] οὐδὲν] οὐ S. literis δεν a librario in marg. suppletis atramento alio. [l] αὐτῶν om. F.Q. [m] ἁμαρτόντα] ἁμαρτάνοντα A.S.r. [n] ὑμέτερος πολίτης] πολίτης ὑμέτερος F.Q. [o] τὰ om. A.r.
[p] περὶ ἀφαιρεθεὶς S. ἀδίκως ἀφαιρεθεὶς vulgo. [q] περὶ] ὑπὲρ A. ὑπὲρ F. [r] αὑτῷ] ἑαυτοῦ S. [s] ψέγων ἐναντίον ὑμῶν] ἐναντίον ὑμῶν ψέγων A.r. [t] υἱὸς] ὁ υἱὸς A.r. [u] τοῦτον post οὗτος F.Q. [x] οἴομαι B.S. οἶμαι vulgo. [y] τέ] γε F.Q. [z] ἐτράφην] ἐνετράφην A.r. [a] παῖδα om. A.r. [b] αὐτὴ om. F.Q. [c] ἑαυτῇ S. αὑτῇ vulgo.

νου οὐσίας ἐμοὶ ἀνήλωκεν. ὥστε πολὺ μᾶλλον [d] προσήκειν ἐμὲ τούτοις ἐγκαλεῖν ἢ αὐτὸν [e] ἐγκλήματ' ἔχειν ὑπὸ 61 τούτων. [f] πρὸς γὰρ τοῖς ἄλλοις εἴκοσι [g] μὲν μνᾶς δανεισάμενος [h] μετὰ τοῦ πατρὸς παρὰ Βλεπαίου τοῦ τραπεζίτου εἰς ὠνήν [i] τινα μετάλλων, ἐπειδὴ ὁ πατὴρ ἐτελεύτησε, τὰ μὲν μέταλλα πρὸς [k] τούτους [l] ἐνειμάμην, τὸ [m] δάνειον δ' αὐτὸς [n] εἰσεπράχθην, ἑτέρας δὲ χιλίας εἰς τὴν τοῦ πατρὸς ταφὴν παρὰ Λυσιστράτου Θορικίου δανεισάμενος ἰδίᾳ [o] ἐκτέτικα. ὡς δ' ἀληθῆ καὶ ταῦτα λέγω, ἐκ τούτων τῶν μαρτυριῶν εἴσεσθε.

ΜΑΡΤΥΡΙΑΙ.

62 Τοσαῦτα τοίνυν ἐμοῦ ἐλαττουμένου φανερῶς, οὑτοσὶ [p] νῦν σχετλιάζων καὶ δεινοπαθῶν [q] καὶ τὴν προῖκά [r] με τῆς μητρὸς ἀποστερήσει; ἀλλ' ὑμεῖς, ὦ ἄνδρες δικασταί, 1024 πρὸς Διὸς καὶ θεῶν, μὴ καταπλαγῆτε ὑπὸ τῆς κραυγῆς [s] τῆς τούτου· πολὺς γάρ, πολὺς καὶ τολμηρός ἐστιν [t] ἅν-63 θρωπος, καὶ [u] οὕτω κακοῦργος ὥστε περὶ ὧν [x] ἂν μὴ [y] ἔχῃ [z] μάρτυρας παρασχέσθαι, ταῦτα [a] φήσει ὑμᾶς εἰδέναι, ὦ ἄνδρες δικασταί, ὃ πάντες ποιοῦσιν οἱ μηδὲν ὑγιὲς λέγοντες. ὑμεῖς οὖν ἐάν τι [b] τοιοῦτον [c] τεχνάζηται, μὴ ἐπι-64 τρέπετε αὐτῷ, [d] ἀλλ' ἐξελέγχετε. καὶ ὅ τι ἂν μὴ ἕκαστος ὑμῶν εἰδῇ, μηδὲ τὸν πλησίον [e] νομιζέτω εἰδέναι, ἀλλ' ἀξιούτω [f] τοῦτον ἀποδεικνύναι σαφῶς [g] ὑπὲρ ὧν ἂν λέγῃ,

[d] προσήκειν S. Legebatur προσήκει. [e] ἐγκλήματ' ἔχειν] ἔχειν ἔγκλημα F.Q. [f] πρὸς γὰρ τοῖς ἄλλοις A.r. Legebatur πρὸς τοῖς ἄλλοις ὅς. [g] μὲν om. r. [h] μετὰ τοῦ πατρὸς om. r. [i] τινα F.Q. [k] τούτους] τούτοις A.r. [l] ἐνειμάμην] ἐγένετο F.S.Q. [m] δάνειον δ' S. τὸ δὲ δάνειον vulgo. δὲ om. A.r. [n] εἰσεπράχθην] εἰσεπράχθη A.r. [o] ἐκτέτικα] ἐκτέτεικα S. [p] νῦν] νυνὶ F.Q. [q] καὶ om. F.Q. [r] με] μου A.r. [s] τῆς om. F.Q. [t] ἅνθρωπος Bekkerus. ἄνθρωπος libri. [u] οὕτω] οὕτως S. [x] ἂν om. F.Q. [y] ἔχῃ] ἔχει Q. [z] μάρτυρας] μαρτυρίας S. Sic paullo post μάρτυρας in μαρτυρίας corruptum in solo r. [a] φήσει] φησιν A. [b] τοιοῦτον] τοιοῦτο Q. [c] τεχνάζηται] τεχνάζῃ A.r. [d] ἀλλ' ἐξελέγχετε om. r. [e] νομιζέτω] δοκιμαζέτω S. et γρ. F.Q. [f] τοῦτον] Literas υτο in litura quinque ut videtur literarum habet S. Fortasse τοιοῦτον fuit. [g] ὑπὲρ—εἰδέναι om. S.

καὶ μὴ ὑμᾶς φάσκοντα εἰδέναι, περὶ ὧν αὐτὸς οὐδὲν ἕξει εἰπεῖν δίκαιον, [h] ἀποδιδράσκειν τὴν ἀλήθειαν, ἐπεὶ καὶ [i] ἐγὼ, ὦ ἄνδρες δικασταὶ, πάντων ὑμῶν εἰδότων [k] ὃν τρόπον ἀναγκασθεὶς ὁ πατήρ μου ἐποιήσατο [l] τούτους, οὐδὲν ἧττον δικάζομαι [m] νῦν αὐτοῖς καὶ [n] μάρτυρας ὑποδίκους
65 παρέσχημαι. καίτοι οὐκ ἴσος [o] γ' ἡμῖν ἐστὶν ὁ κίνδυνος, ἀλλ' ἐμοὶ μὲν, ἐὰν ὑμεῖς [p] νυνὶ ὑπὸ τούτων ἐξαπατηθῆτε, οὐκ ἐξέσται ἔτι δικάσασθαι περὶ τῆς προικός· τούτοις δ', εἰ φασὶν ἀδίκως ἀποδιαιτῆσαί μου τὸν διαιτητὴν τὰς δίκας, [q] καὶ τότ' ἐξῆν εἰς ὑμᾶς [r] ἐφεῖναι καὶ νῦν [s] ἐκγενήσεται πάλιν, ἐὰν βούλωνται, παρ' ἐμοῦ λαβεῖν ἐν ὑμῖν
66 τὸ δίκαιον. καὶ ἐγὼ μὲν, ἐὰν, ὃ μὴ γένοιτο, ὑμεῖς με [t] ἐγκαταλίπητε, οὐχ ἕξω [u] ὁπόθεν προῖκα ἐπιδῶ τῇ θυγατρὶ, ἧς τῇ μὲν φύσει πατήρ εἰμι, τὴν δ' ἡλικίαν αὐτῆς [x] εἰ ἴδοιτε, οὐκ [y] ἂν θυγατέρα μου, ἀλλ' ἀδελφὴν [z] εἶναι αὐτὴν [a] νομίσαιτε· οὗτοι δὲ, ἐὰν ὑμεῖς μοι [b] βοηθήσητε, οὐδὲν ἐκ τῶν ἰδίων [c] ἀποτίσουσιν, [d] ἀλλ' ἐκ τῆς οἰκίας τὰ ἐμὰ 1025
67 ἐμοὶ ἀποδώσουσιν, ἣν [e] ἐξειλόμεθα μὲν κοινῇ πάντες εἰς τὴν ἔκτισιν τῆς προικὸς, οἰκοῦντες δ' αὐτὴν οὗτοι μόνοι διατελοῦσιν. οὔτε γὰρ ἁρμόττει μοι θυγατέρα [f] ἐπίγαμον ἔχοντι οἰκεῖν μετὰ [g] τοιούτων, οἳ οὐ μόνον αὐτοὶ ἀσελγῶς ζῶσιν, ἀλλὰ καὶ ὁμοίους αὐτοῖς ἑτέρους [h] πολλοὺς εἰς τὴν
68 οἰκίαν εἰσάγουσιν, οὔτε μὰ τὸν Δί' ἀσφαλὲς εἶναί μοι νομίζω [i] συζῆν τούτοις ἐν τῷ αὐτῷ· ὅπου γὰρ οὕτω φα-

[h] ἀποδιδράσκειν] περὶ τούτων ἀποδιδράσκειν F.Q. [i] ἐγὼ] ἔγωγε F.Q. [k] ὃν τρόπον om. S. [l] τούτους] τούτους υπερων S. [m] νῦν] νυνὶ A.r. om. F.Q. [n] μάρτυρας] μαρτυρίας r. [o] γ' om. A.r. [p] νυνὶ] νῦν F.Q. [q] καὶ τότ'] καίτοι S. [r] ἐφεῖναι] εφιεναι S. [s] ἐκγενήσεται] εἰ γενήσεται F.Q. ἐγγενήσεται rec. S. ειτενησεται pr. S. [t] ἐγκαταλίπητε] ἐγκαταλείπητε A.r. et qui ενκ— S. [u] ὁπόθεν] πόθεν F.Q. [x] εἰ ἴδοιτε] ἂν ιδητε S [y] ἂν] ἄρα A.r. [z] εἶναι αὐτὴν] αὐτὴν εἶναι F. [a] νομίσαιτε] νομίσετε S. [b] βοηθήσητε] βοηθήσετε S. [c] ἀποτίσουσιν] ἀποτίνουσιν (σ above) F. [d] ἀλλ'—ἀποδώσουσιν om. r. [e] ἐξειλόμεθα] ἐξειλάμεθα Q. [f] ἐπίγαμον] ἐπιγάμον S. [g] τοιούτων] τούτων r. et pr. A. [h] πολλοὺς om. A.r. [i] συζῆν τούτοις γρ. F.Q. συνζην τουτοις S. ζῆν σὺν τοιούτοις F.Q. ζῆν σὺν τοῖς τοιούτοις A.r.

νερῶς [k] μοι ἐπιβουλεύσαντες εἰς Ἄρειον πάγον ἀγῶνα
κατεσκεύασαν, τίνος [l] ἂν οὗτοι ἢ φαρμακείας [m] ἢ ἄλλης
κακουργίας τοιαύτης ὑμῖν ἀποσχέσθαι δοκοῦσιν; οἵ γε
πρὸς τοῖς ἄλλοις (ἀρτίως γὰρ καὶ τοῦτο ἀνεμνήσθην) εἰς
τοσαύτην ὑπερβολὴν τόλμης [n] ἥκουσιν, ὥστε καὶ [o] Κρίτω-
νος μαρτυρίαν [p] ἐνεβάλοντο ὡς ἐώνηται τὸ τρίτον [q] παρ'
ἐμοῦ μέρος τῆς οἰκίας· ἥν, ὅτι ψευδής ἐστι, ῥᾳδίως εἴσ-
69 εσθε. πρῶτον μὲν γὰρ [r] οὐχ οὕτω μετρίως ζῇ [s] Κρίτων, ὥστε
παρ' ἑτέρου οἰκίαν ὠνεῖσθαι, ἀλλ' οὕτω πολυτελῶς καὶ
ἀσώτως, ὥστε πρὸς τοῖς [t] ἑαυτοῦ καὶ τὰ τῶν ἄλλων [u] ἀνα-
λίσκειν· ἔπειτ' οὐ μαρτυρεῖ τούτῳ νῦν, ἀλλ' ἐμοὶ ἀντι-
δικεῖ· τίς γὰρ ὑμῶν οὐκ οἶδεν ὅτι μάρτυρες μέν εἰσιν
οὗτοι, οἷς [x] μηδὲν μέτεστι τοῦ πράγματος, περὶ οὗ ἡ δίκη
ἐστὶν, ἀντίδικοι δ' οἱ κοινωνοῦντες τῶν πραγμάτων, [y] περὶ
ὧν ἂν δικάζηταί τις αὐτοῖς: ὃ [z] Κρίτωνι συμβέβηκεν.
70 ἔτι δὲ τοσούτων ὑμῶν ὄντων, ὦ ἄνδρες δικασταὶ, καὶ τῶν
ἄλλων Ἀθηναίων πολλῶν ἄλλος μὲν οὐδεὶς αὐτῷ παρα-
γενέσθαι μεμαρτύρηκε, Τιμοκράτης δὲ μόνος, ὥσπερ ἀπὸ
μηχανῆς, μαρτυρεῖ μὲν δεκάτην [a] ἑστιᾶσαι τούτῳ τὸν 1026
ἐμὸν πατέρα, ἡλικιώτης ὢν τοῦ νυνὶ φεύγοντος τὴν δίκην,
φησὶ δὲ [b] πάνθ' ἁπλῶς [c] εἰδέναι ἃ δὴ τούτοις συμφέρει,
μαρτυρεῖ δὲ νυνὶ μόνος Κρίτωνι παρεῖναι, ὅτε παρ' ἐμοῦ
71 τὴν οἰκίαν [d] ἐωνεῖτο. ὃ τίς ἂν ὑμῶν [e] πιστεύσειεν; ἄλλως
τε καὶ [f] ὅτι οὐ περὶ τῆς [g] οἰκίας, πότερα ἐώνηται [h] αὐτὴν
Κρίτων ἢ μὴ, νυνὶ δικάζομαι, ἀλλὰ περὶ προικὸς, ἣν

[k] μοι om. Q. [l] ἂν om. S. [m] ἢ ἄλλης] αλλη S. [n] ἥκουσιν] ἐληλύθασιν F.Q. [o] Κρίτωνος] κρείττονος F. [p] ἐνεβάλοντο] ἀνεβάλοντο A. ἀνεβάλλοντο r. [q] παρ' ἐμοῦ μέρος S. Legebatur μέρος παρ' ἐμοῦ. [r] οὐχ οὕτω] ουχοτω pr. S. [s] Κρίτων] ὁ κρίτων A. κρείττων F. [t] ἑαυτοῦ S. αὑτοῦ vulgo. [u] ἀναλίσκειν] προσαναλίσκειν A.r. [x] μηδὲν μέτεστι] μὴ μέτεστι F.Q. μητἔστιν S. [y] περὶ ὧν] ὑπὲρ ὧν A.r. [z] Κρίτωνι] κρίτων S. κρείττονι F. [a] ἑστιᾶσαι] ιστιασαι S. ἱστιάσαι A. εἰστιάσαι B. [b] πάνθ'] ἅπαντα F.Q. In S. δαπαντα, sed δε παντα ex correctione manus, ut videtur, primæ. [c] εἰδέναι] εἶναι F.Q. [d] ἐωνεῖτο] ὠνειτο S. [e] πιστεύσειεν] πιστεύσει S. [f] ὅτι om. A.r. [g] οἰκίας] οἰκειας pr. S. [h] αὐτὴν Κρίτων A.S.r. κρίτων αὐτὴν Q. κρείττων αὐτὴν F.

[i]ἐπενεγκαμένης τῆς μητρὸς οἱ νόμοι κελεύουσιν [k]ἐμὲ κο-
μίζεσθαι. ὥστε καθάπερ ὑμῖν ἐγὼ καὶ ἐκ [l]μαρτυριῶν
72 [m]πολλῶν καὶ ἐκ τεκμηρίων ἐπέδειξα ἐπενεγκαμένην μὲν
τὴν μητέρα μου τάλαντον προῖκα, οὐ κομισάμενον δὲ
τοῦτ' [n]ἐμὲ ἐκ τῆς πατρῴας οὐσίας, ἐξαίρετον δ' ἡμῖν
[o]γενομένην τὴν οἰκίαν εἰς ταῦτα, οὕτω κελεύετε καὶ τοῦ-
τον ἐπιδεικνύναι ὑμῖν [p]ἢ ὡς οὐκ ἀληθῆ λέγω ἢ ὡς οὐ
προσήκει μοι κομίσασθαι τὴν προῖκα· περὶ τούτων γὰρ
73 ὑμεῖς νυνὶ τὴν ψῆφον οἴσετε. ἐὰν δὲ μὴ ἔχων περὶ ὧν
φεύγει τὴν δίκην μήτε μάρτυρας ἀξιόχρεως παρασχέσθαι
μήτ' ἄλλο πιστὸν μηδέν, ἑτέρους [q]παρεμβάλλῃ λόγους
κακουργῶν καὶ βοᾷ καὶ σχετλιάζῃ μηδὲν πρὸς τὸ πρᾶγ-
μα, πρὸς Διὸς καὶ θεῶν μὴ ἐπιτρέπετε αὐτῷ, ἀλλὰ
74 βοηθεῖτέ μοι τὰ δίκαια ἐξ ἁπάντων τῶν εἰρημένων, ἐνθυ-
μούμενοι ὅτι πολὺ [r]δικαιότερόν ἐστι τὴν τῆς ἐμῆς μητρὸς
προῖκα τῇ ἐμῇ θυγατρὶ εἰς [s]ἔκδοσιν ὑμᾶς ψηφίσασθαι,
ἢ [t]Πλαγγόνα καὶ τούτους πρὸς τοῖς ἄλλοις καὶ τὴν οἰ-
κίαν τὴν εἰς τὴν προῖκα ἐξαίρετον γενομένην ἀφελέσθαι
ἡμᾶς παρὰ πάντα τὰ δίκαια[u].

[i] ἐπενεγκαμένης] ἐνεγκαμένης S. [k] ἐμὲ] με F.Q. [l] μαρτυριῶν] μαρτύρων S. [m] πολλῶν καὶ ἐκ τεκμηρίων om. r. [n] ἐμὲ] με r. [o] γενομένην] γενομένην τε F.Q. [p] ἢ in litura duarum literarum S. [q] παρεμβάλλῃ] παρεμβάλλει A.S. [r] δικαιότερόν] καὶ δικαιότερόν F. [s] ἔκδοσιν] ἔκτισιν r. [t] Πλαγγόνα] πλάγγωνα F. [u] In S. subscriptum πρὸς βοιωτὸν περὶ προικός |H||Δ|ΔΔ. Numero versuum caret B.

ΜΑ.

ΠΡΟΣ ΣΠΟΥΔΙΑΝ ΥΠΕΡ ΠΡΟΙΚΟΣ.

ΥΠΟΘΕΣΙΣ.

Πολύευκτος, ἀνὴρ Ἀθηναῖος, δύο θυγατέρων πατὴρ [x] γίνεται, ὧν τὴν μὲν νεω- 1027 τέραν Λεωκράτει πρότερον δίδωσιν, εἶτα Σπουδίᾳ, τὴν πρεσβυτέραν [y] δὲ τῷ πρὸς τὸν Σπουδίαν δικαζομένῳ. ὁ μὲν οὖν Πολύευκτος ἐτελεύτησε ταῖς θυγατράσι καταλιπὼν τὸν κλῆρον ἐξ ἴσου, ὁ δὲ τὴν πρεσβυτέραν γήμας φησὶ τετταράκοντα μνᾶς ὁμολογηθῆναι τὴν προῖκα, οὐ μὴν ὅλην εὐθὺς δοθῆναι, ἀλλὰ δέκα μνῶν ὑπολειφθεισῶν ζῶντά τε ὁμολογεῖν τὸν Πολύευκτον ὀφείλειν αὐτὰς, καὶ ὡς ἤμελλε τελευτᾶν, τὴν οἰκίαν τῆς ἄλλης οὐσίας ἐξελεῖν, καὶ ταύτην εἰς τὸ χρέος δοῦναι. ὁ δὲ [z] Λεωκράτης ἀξιοῖ καὶ ταύτην εἶναι κοινὴν ὥσπερ καὶ τὰ ἄλλα πάντα. καὶ τὸ μέγιστον τῶν ἀμφισβητημάτων τῶν ἐν τῷ λόγῳ τοῦτό ἐστι. προσεγκαλεῖ δὲ τῷ Σπουδίᾳ καὶ ἕτερα· φησί γὰρ αὐτὸν καὶ τοῦ Πολυεύκτου καὶ τῆς πρεσβυτέρας ὀφείλοντα χρήματα μὴ καταβαλεῖν εἰς τὸ μέσον, δέον τοῦτο ποιεῖν. τοῦ δὲ [a] Σπουδία κἀκεῖνο λέγοντος, ὡς αὐτὸς τριάκοντα μνᾶς προῖκα εἴληφε, μάλιστα μὲν ἐξεῖναι τῷ Πολυεύκτῳ φησὶν εἰ τῇ ἑτέρᾳ τῶν θυγατέρων ἠβούλετο πλείω προῖκα δοῦναι καὶ μὴ τὴν ἴσην ἀμφοτέραις, ἔπειτα δὲ ἐπιδείκνυσιν ὡς καὶ τοῦτο Σπουδίας ψεύδεται· τὰς μὲν γὰρ τριάκοντα μνᾶς αὐτὸν ἐν ἀργύρῳ φησὶ λαβεῖν, τὰς δὲ δέκα ἐν ἱματίοις καὶ χρυσίοις, ἃ καὶ πλείονος ἢ δέκα μνῶν εἶναι ἄξια.

ΑΔΕΛΦΑΣ ἔχομεν, ὦ ἄνδρες δικασταὶ, γυναῖκας ἐγὼ 1028 καὶ Σπουδίας οὑτοσὶ, Πολυεύκτου θυγατέρας. ἄπαιδος δ᾽ ἐκείνου τελευτήσαντος ἀρρένων παίδων ἀναγκάζομαι πρὸς [b] τουτονὶ περὶ τῶν καταλειφθέντων δικάζεσθαι. καὶ εἰ μὲν, ὦ ἄνδρες δικασταὶ, μὴ πᾶσαν σπουδὴν καὶ προθυμίαν ἐποιησάμην βουλόμενος [c] διαλύεσθαι καὶ τοῖς φίλοις ἐπιτρέπειν, ἐμαυτὸν [d] ἂν ᾐτιώμην, εἰ μᾶλλον ᾑρούμην δίκας καὶ πράγματ᾽ ἔχειν ἢ μικρὰ ἐλαττωθεὶς ἀνέχεσθαι·
2 νῦν δ᾽ ὅσῳ πραότερον ἐγὼ καὶ φιλανθρωπότερον

[x] γίνεται] λέγεται S. [y] δὲ om. F.S. [z] Λεωκράτης] Immo Spudias. Nam Leocrates ἐξεκεχωρήκει, p. 1029, 17. SCHÆFER. [a] σπουδία F.S. Legebatur Σπουδίου. [b] τουτονὶ] τοῦτον A.r. [c] διαλύεσθαι] διαλύσασθαι A.r. [d] ἂν om. A.r.

τούτῳ διελεγόμην, τοσούτῳ μᾶλλόν μου κατεφρόνει. καὶ νῦν [e] *κινδυνεύω μὲν* [f] *οὐδὲν ὁμοίως τούτῳ πρὸς τουτονὶ τὸν ἀγῶν᾽ ἔχειν, ἀλλ᾽* [g] *οὗτος μὲν ῥᾳδίως φέρει πολλάκις εἰθισμένος ἐνταῦθ᾽ εἰς ὑμᾶς* [h] *παριέναι, ἐγὼ δ᾽ αὐτὸ τοῦτο φοβοῦμαι, μὴ διὰ τὴν ἀπειρίαν οὐ δυνηθῶ δηλῶσαι περὶ τῶν πραγμάτων ὑμῖν· ὅμως δ᾽, ὦ ἄνδρες δικασταί, προσέχετε τὸν νοῦν.*

3 Πολύευκτος *γὰρ ἦν τις* Θριάσιος, *ὃν ἴσως οὐδ᾽ ὑμῶν τινὲς ἀγνοοῦσιν. οὗτος ὁ* Πολύευκτος, *ἐπειδὴ οὐκ ἦσαν αὐτῷ παῖδες ἄρρενες, ποιεῖται* [i] Λεωκράτην *τὸν ἀδελφὸν τῆς* [k] *ἑαυτοῦ γυναικός. οὐσῶν δ᾽ αὐτῷ δύο θυγατέρων ἐκ τῆς τοῦ* Λεωκράτους *ἀδελφῆς τὴν μὲν πρεσβυτέραν ἐμοὶ δίδωσι, καὶ τετταράκοντα μνᾶς προῖκα, τὴν δὲ νεωτέραν*

4 [l] *τῷ* Λεωκράτει. *τούτων δ᾽ οὕτως ἐχόντων, διαφορᾶς γε-* 1029 *νομένης τῷ* Πολυεύκτῳ *πρὸς τὸν* Λεωκράτην, *περὶ ἧς οὐκ οἶδ᾽ ὅ τι δεῖ λέγειν, ἀφελόμενος ὁ* Πολύευκτος *τὴν θυγατέρα δίδωσι* Σπουδίᾳ *τούτῳ. μετὰ δὲ ταῦτα ἠγανάκτει ὁ* Λεωκράτης, *καὶ δίκας ἐλάγχανε* Πολυεύκτῳ *καὶ τούτῳ* Σπουδίᾳ, *καὶ περὶ πάντων* [m] *ἠναγκάζοντο εἰς λόγον καθίστασθαι. καὶ τὸ τελευταῖον διελύθησαν, ἐφ᾽ ᾧτε* [n] *κομισάμενον τὸν* Λεωκράτην *ἅπερ ἦν εἰς τὴν οὐσίαν εἰσενηνεγμένος μήτε κακόνουν εἶναι* [o] *τῷ* Πολυεύκτῳ, *τῶν τε*

5 *πρὸς ἀλλήλους ἐγκλημάτων ἀπηλλάχθαι* [p] *πάντων. τίνος οὖν* [q] *ἕνεχ᾽ ὑμῖν, ὦ ἄνδρες δικασταί, ταῦτ᾽ εἶπον; ὅτι τὴν προῖκα οὐ κομισάμενος* [r] *ἅπασαν, ἀλλ᾽* [s] *ὑπολειφθεισῶν χιλίων δραχμῶν καὶ ὁμολογηθεισῶν ἀπολαβεῖν, ὅταν* Πολύευκτος *ἀποθάνῃ, ἕως μὲν ὁ* Λεωκράτης *ἦν κληρονό-*

[e] *κινδυνεύω μὲν*] *κινδυνεύομεν* A.F.S.Q.r. [f] *οὐδὲν* F.S.Q. Legebatur *οὐχ*. [g] *οὗτος*] *αὐτὸς* A.r. [h] *παριέναι* A. *παρειναι* S. Legebatur *εἰσιέναι*. [i] *Λεωκράτην*] *λεωκράτη*ν F. *λεωκράτη* S. hic et infra. [k] *ἑαυτοῦ*] *ἐμαυτοῦ* A.r. [l] *τῷ* om. F.Q. [m] *ἠναγκάζοντο*] *ἠνάγκαζεν* F.Q. [n] *κομισάμενον*] *κομίσασθαι* F.Q. [o] *τῷ* addidi ex B.S.Q. [p] *πάντων*] *ἁπάντων* A.r. [q] *ἕνεχ᾽*] *ἕνεκεν* S.Q. [r] *ἅπασαν*] *πᾶσαν* A.r. [s] *ὑπολειφθεισῶν*] *μοι* addit A.

μος τῶν Πολυεύκτου, πρὸς ἐκεῖνον ἦν μοι τὸ συμβόλαιον·
ἐπειδὴ δ' [t] ὅ τε Λεωκράτης ἐξεκεχωρήκει ὅ τε Πολύευκτος
μοχθηρῶς εἶχε, τηνικαῦτ', ὦ ἄνδρες δικασταί, τὴν οἰκίαν
ταύτην ἀποτιμῶμαι πρὸς τὰς δέκα μνᾶς, ἐξ ἧς διακω-
6 λύει με τὰς μισθώσεις κομίζεσθαι Σπουδίας. πρῶτον
[u] μὲν οὖν [x] ὑμῖν μάρτυρας παρέξομαι τοὺς παραγενομέ-
νους, ὅτ' [y] ἐνεγύα μοι Πολύευκτος τὴν θυγατέρα ἐπὶ τετ-
ταράκοντα μναῖς· ἔπειθ' ὡς ἔλαττον [z] τὰς χιλίας ἐκο-
μισάμην· ἔτι δ' ὡς ἅπαντα τὸν χρόνον ὀφείλειν ὡμολό-
γει μοι Πολύευκτος, καὶ τὸν Λεωκράτην συνέστησε, καὶ
[a] ὡς τελευτῶν διέθετο ὅρους ἐπιστῆσαι χιλίων δραχμῶν
ἐμοὶ τῆς προικὸς ἐπὶ τὴν οἰκίαν. καί [b] μοι κάλει τοὺς
μάρτυρας.

ΜΑΡΤΥΡΕΣ. 1030

7 Ἓν μὲν τοίνυν, ὦ ἄνδρες δικασταί, τοῦτ' ἔστιν ὧν ἐγ-
καλῶ Σπουδίᾳ. καὶ περὶ [c] τούτου τί ἂν ἔτι μεῖζον ἢ
ἰσχυρότερον ἔχων εἰς ὑμᾶς κατέστην ἢ τὸν νόμον, ὃς οὐκ
ἐᾷ διαρρήδην, [d] ὅσα τις [e] ἀπετίμησεν, εἶναι δίκας, οὔτ'
αὐτοῖς οὔτε τοῖς κληρονόμοις; ἀλλ' ὅμως πρὸς τοῦτο τὸ
8 δίκαιον ἥκει Σπουδίας ἀμφισβητήσων. ἕτερον δ', ὦ ἄν-
δρες δικασταί, δύο [f] μὲν μνᾶς ἐμαρτύρησεν Ἀριστογένης
ἐγκαλεῖν ἀποθνήσκοντα Πολύευκτον ὀφειλομένας αὐτῷ
παρὰ [g] Σπουδίᾳ καὶ τὸν [h] τόκον (τοῦτο δ' ἐστὶν οἰκέτου
τιμή, ὃν ἐωνημένος οὗτος παρὰ [i] τοῦ Πολυεύκτου τὴν τι-
μὴν οὔτ' [j] ἐκείνῳ διέλυσεν οὔτε νῦν εἰς τὸ κοινὸν ἀνενήνο-
9 χεν), ὀκτακοσίας δὲ [k] καὶ χιλίας. περὶ ὧν οὐδ' ἔγωγ' οἶδα

[t] ὅ τε] ὁ A.r. [u] μὲν om. r. [x] ὑμῖν μάρτυρας] μάρτυρας ὑμῖν F.Q. [y] ἐνεγύα A.S.Q. ἐνηγγύα F. ἐνεγγύα r. [z] τὰς χιλίας S. et γρ. F.Q. Legebatur ταῖς χιλίαις. [a] ὡς om. F.Q. [b] μοι κάλει] μοι κάλει μοι S. [c] τούτου] τούτων S. [d] ὅσα] εἰς ἃ F.Q. [e] ἀπετίμησεν] ἀπετίμωσεν S. [f] μὲν om. F. [g] Σπουδίᾳ] Σπουδίου Schæferus. Facilior correctio foret Σπουδία, quam genitivi formam in argumento p. 1027, 18. præbuerunt B.F.S. Ea si hoc loco usus sit Demosthenes, eadem restituenda erit p. 1035, 18. [h] τόκον] τόκον αὐτῷ F.Q. [i] τοῦ om. F.Q. [j] ἐκείνῳ om. A.r. [k] καὶ χιλίας om. A.S.r.

τί ποθ᾽ ἕξει δίκαιον λέγειν. [l]ἣν μὲν γὰρ τὸ ἀργύριον παρὰ τῆς Πολυεύκτου δεδανεισμένος γυναικὸς, γράμματα δ᾽ ἔστιν ἃ κατέλιπεν ἀποθνήσκουσα ἐκείνη, μάρτυρες δ᾽ οἱ τῆς γυναικὸς ἀδελφοὶ παρόντες ἅπασι καὶ καθ᾽ ἕκαστον [m]ἐπερωτῶντες, ἵνα μηδὲν δυσχερὲς ἡμῖν [n]εἴη πρὸς ἀλλή-
10 λους. οὐκοῦν [o]δεινὸν, ὦ ἄνδρες δικασταὶ, καὶ σχέτλιον ἐμὲ μὲν ἁπάντων, ὧν [p]ἢ παρὰ Πολυεύκτου ζῶντος ἦν ἐωνημένος [q]ἢ παρὰ τῆς γυναικὸς εἶχον αὐτοῦ, καὶ τόκον τιθέναι καὶ τὴν τιμὴν ἀποδεδωκέναι, καὶ νῦν ἅπερ ὤφειλον πάντ᾽ εἰς τὸ κοινὸν φέρειν, τοῦτον δὲ [r]μήτε τῶν νόμων τῶν ὑμετέρων φροντίζειν μήθ᾽ ὧν διέθετο Πολύευκτος [s]μήτε τῶν καταλειφθέντων [t]γραμμάτων μήτε τῶν συνειδότων, ἀλλὰ πρὸς ἅπαντα ταῦθ᾽ ἥκειν ἀντιδικήσοντα.

11 Λαβὲ δή μοι πρῶτον [u]μὲν τὸν νόμον, ὃς οὐκ ἐᾷ τῶν ἀποτιμηθέντων ἔτι δίκην εἶναι πρὸς τοὺς ἔχοντας, ἔπειτα 1031
τὰ γράμματα τὰ καταλειφθέντα καὶ τὴν μαρτυρίαν τὴν [x]Ἀριστογένους. [y]λέγε.

[z]ΝΟΜΟΣ. [a]ΓΡΑΜΜΑΤΑ. ΜΑΡΤΥΡΙΑ.

12 Βούλομαι τοίνυν, ὦ ἄνδρες δικασταὶ, καὶ περὶ τῶν ἄλλων ὧν ἐγκαλῶ καθ᾽ ἕκαστον ὑμᾶς διδάξαι. φιάλην μὲν γὰρ λαβόντες παρὰ τῆς Πολυεύκτου γυναικὸς καὶ [b]θέντες ἐνέχυρα μετὰ χρυσίων οὐκ ἀνενηνόχασι κεκομισμένοι ταύτην, ὡς ὑμῖν Δημόφιλος ὁ θέμενος μαρτυρήσει· σκηνὴν δ᾽ ἣν ἔχουσιν, [c]οὐδέ γε ταύτην λαβόντες ἀναφέ-
13 ρουσιν. ἄλλα δὲ πόσα τοιαῦτα; τὸ δὲ τελευταῖον εἰσενεγκούσης τῆς ἐμῆς γυναικὸς εἰς τὰ [d]νεμέσεια τῷ πατρὶ μνᾶν ἀργυρίου καὶ προαναλωσάσης, οὐδὲ ταύτης ἀξιοῖ

[l] ἣν] η idque sine accentu S. [m] ἐπερωτῶντες] ἐρωτῶντες F.Q. [n] εἴη] ἤι F.Q. [o] δεινὸν] καὶ δεινόν F. [p] ἢ om. F.Q. [q] ἢ om. S. [r] μήτε] μηδὲ S. [s] μήτε] μηδὲ r. [t] γραμμάτων] πραγμάτων F. [u] μὲν om. F.Q. [x] Ἀριστογένους] ἀριστογείτονος F. [y] λέγε om. S. [z] ΝΟΜΟΣ om. A.F.r. [a] ΓΡΑΜΜΑΤΑ om. A.r. [b] θέντες] καταθέντες F.Q. [c] οὐδέ γε Schæferus. Legebatur οὐδὲ γάρ. [d] νεμέσεια] νεμέσια A.F.r. Eadem scripturæ diversitas apud Harpocrat. s. v. Νεμέσεια.

συμβαλέσθαι τὸ μέρος, [e] ἀλλ ἃ μὲν ἔχει προλαβών, τῶν
δὲ τὰ μέρη κομίζεται, τὰ δ' οὕτω φανερῶς οὐκ ἀποδί-
δωσιν. ἵνα τοίνυν μηδὲ ταῦτ' ᾖ παραλελειμμένα, λαβέ
μοι πάντων [f] αὐτῶν τὰς μαρτυρίας.

[g] ΜΑΡΤΥΡΙΑΙ.

14 Ἴσως τοίνυν, ὦ ἄνδρες δικασταί, πρὸς μὲν ταῦτ' οὐδὲν
ἀντερεῖ Σπουδίας· [h] οὐδὲ γὰρ ἕξει, καίπερ δεινὸς ὤν·
αἰτιάσεται δὲ Πολύευκτον καὶ τὴν γυναῖκα αὐτοῦ, καὶ
φήσει [i] πάντα ταῦτα ὑπ' ἐμοῦ πεισθέντας [k] καταχαρίσα-
σθαι, καὶ νὴ Δί' [l] ἕτερα πολλὰ καὶ μεγάλα βλάπτε-
σθαι, καὶ δίκην εἰληχέναι μοι· ταῦτα γὰρ καὶ πρὸς τῷ
15 διαιτητῇ λέγειν ἐπεχείρει. ἐγὼ δ', ὦ ἄνδρες δικασταί,
πρῶτον μὲν οὐχ ἡγοῦμαι δικαίαν εἶναι τὴν ἀπολογίαν τὴν
τοιαύτην, οὐδὲ προσήκειν, ὅταν τις φανερῶς ἐξελέγχηται, 1032
[m] μεταστρέψαντα τὰς αἰτίας ἐγκαλεῖν καὶ διαβάλλειν·
ἀλλ' [n] ἐκείνων μέν, εἴπερ ἀδικεῖται, δῆλον ὅτι δίκην λή-
ψεται, [o] τούτων δὲ δώσει· πῶς γὰρ ἂν ἐγὼ νῦν ταῖς τού-
των διαβολαῖς ἀντιδικοίην, ἀφεὶς ὑπὲρ ὧν ὑμεῖς μέλλετε
16 τὴν ψῆφον οἴσειν; ἔπειτα θαυμάζω τί δήποτε, εἴπερ
ἀληθῆ καὶ δίκαια [p] εἶχεν ἐγκαλεῖν, βουλομένων ἡμᾶς τῶν
φίλων διαλύειν καὶ πολλῶν λόγων γενομένων οὐχ οἷός τ'
ἦν ἐμμένειν οἷς ἐκεῖνοι γνοῖεν. καίτοι τίνες ἂν ἄμεινον καὶ
τῶν τούτου καὶ τῶν ἐμῶν ἐγκλημάτων τὰ μηδὲν ὄντα
ἐξήλεγξαν τῶν παραγεγενημένων ἅπασι τούτοις, τῶν εἰ-
δότων οὐδὲν ἧττον ἡμῶν τὰ γενόμενα, τῶν κοινῶν ἀμφοτέ-
17 ροις [q] καὶ φίλων ὄντων; ἀλλὰ δῆλον ὅτι τούτῳ ταῦτ' οὐκ
ἐλυσιτέλει, φανερῶς ὑπ' αὐτῶν [r] ἐξελεγχομένῳ [s] τοῦτον τὸν
τρόπον λαβεῖν διάλυσιν· μὴ γὰρ οἴεσθ', ὦ ἄνδρες δικα-

[e] ἀλλ' ἃ] ἀλλὰ τὰ A.r. [f] αὐτῶν] τῶν αὐτῶν S. [g] ΜΑΡΤΥΡΙΑΙ] μάρ-
τυρες S. [h] οὐδὲ] οὐ A.r. [i] πάντα ταῦτα] ταῦτα πάνθ' A.F.r. [k] κατα-
χαρίσασθαι] καταχαρήσεσθαι F. [l] ἕτερα] ἕτερ' ἄλλα A.r. [m] μεταστρέ-
ψαντα] μετατρέψαντα F. [n] ἐκείνων—ἀδικεῖται] ἐκεῖνον—ἀδικεῖτε F. [o] τού-
των] τοῦτον F. [p] εἶχεν] ἔχειν F.Q. [q] καὶ om. F.Q. [r] ἐξελεγχομένῳ]
ἐξελεγχομένων F.S. [s] τοῦτον τὸν τρόπον] τούτῳ τῷ τρόπῳ r.

σται, τοὺς εἰδότας ἅπαντα ταῦτα νυνὶ [t] μὲν ὑποκινδύνους
αὐτοὺς καθιστάντας ἐμοὶ μαρτυρεῖν, τότε δ' [u] ὀμόσαν-
τας ἄλλο τι γνῶναι περὶ αὐτῶν. οὐ μὴν ἀλλ' εἰ καὶ
μηδὲν τούτων ὑπῆρχεν [x] ἡμῖν, οὐδ' ὣς χαλεπόν ἐστι γνῶ-
18 ναι περὶ αὐτῶν, ὁπότεροι τἀληθῆ λέγουσι. περὶ μὲν γὰρ
τῆς οἰκίας, εἰ φησὶν ὑπ' ἐμοῦ πεισθέντα Πολύευκτον
προστάξαι τοὺς ὅρους στῆσαι τῶν χιλίων, ἀλλ' οὐ δήπου
καὶ τοὺς μάρτυρας ἔπεισα, ὦ Σπουδία, ψευδῆ μοι μαρ-
τυρεῖν, τοὺς παραγενομένους ὅτ' [y] ἐνεγύα μοι, τοὺς εἰδότας
ἔλαττόν με κομισάμενον, [z] τοὺς ἀκούοντας ὁμολογοῦντος
ὀφείλειν ἐμοί, συστήσαντος ἀποδοῦναι, τοὺς τὸ τελευταῖον
ταῖς διαθήκαις παραγενομένους· τούτοις γὰρ ἅπασιν οὐκ-
έτι [a] καταχαρίσασθαι [b] ταῦθ' ὑπῆρχεν, ἀλλὰ κινδυνεύειν 1033
τὴν ψευδομαρτυρίαν, εἰ μηδὲν τῶν γενομένων μαρτυροῖεν.
19 ἀφῶμεν τοίνυν τοῦτ' ἤδη. πρὸς ἐκεῖνο δὲ τί ἂν λέγοις;
ἀκριβῶς γὰρ ὅπως [c] τούτους [d] διδάξεις· εἰ δὲ μή, πάντες
ὑμεῖς ἀπαιτεῖτ' αὐτόν. ὅτε γὰρ Πολύευκτος [e] διετίθετο
[f] ταῦτα, παρῆν μὲν ἡ τούτου γυνή, καὶ δῆλον ὅτι τὰς τοῦ
πατρὸς διαθήκας [g] ἀπήγγειλεν, ἄλλως τ' εἰ καὶ [h] μηδὲν
ἴσον εἶχεν, ἀλλ' ἐν [i] ἅπασιν [k] ἠλαττοῦτο, παρεκλήθη δ'
αὐτὸς οὗτος, ὥστε μηδὲ τοῦτ' εἶναι λέγειν ὡς λάθρᾳ καὶ
20 [l] ἰδίᾳ, κρυψάμενοι τούτους, ἐπράττομεν ταῦτα· παρακα-
λούμενος γὰρ ἔφησεν αὐτὸς μὲν ἀσχολίαν [m] ἄγειν, τὴν δὲ
γυναῖκ' ἐξαρκεῖν τὴν αὑτοῦ παροῦσαν. τί ἔτι λοιπόν;
ἀπαγγείλαντος [n] Ἀριστογένους αὐτῷ περὶ [o] ἁπάντων τού-
των ἀκριβῶς, οὐδ' ἐνταῦθ' οὐδένα φαίνεται λόγον ποιη-
σάμενος, ἀλλ' ἐπιβιοῦντος μετὰ ταῦτα τοῦ Πολυεύκτου

[t] μὲν] δ' A.r. [u] ὀμόσαντας] ὁμολογήσαντας S. et γρ. F. [x] ἡμῖν] ὑμῖν S. [y] ἐνεγύα A.S.Q. et γρ. F. ἐνηγγύα F. ἐνεγγύα r. [z] τοὺς ἀκούοντας iterum post ὀφείλειν ponit S. [a] καταχαρίσασθαι] καταχαρήσεσθαι F. [b] ταῦθ'] τοῦθ' S. [c] τούτους] τουτουσὶ A.F.Q.r. [d] διδάξεις] διδάξῃς A.F.r. [e] διετίθετο] διέθετο A.r. [f] ταῦτα] ἅπαντα F.Q. [g] ἀπήγγειλεν] ἀνήγγειλεν A.S.r. [h] μηδὲν] μὴ F. [i] ἅπασιν] πᾶσιν A.r. [k] ἠλαττοῦτο] ἠλαττοῦντο F. [l] ἰδίᾳ, κρυψάμενοι] διακρυψάμενοι A.S.r. [m] ἄγειν] λέγειν pr. S. [n] Ἀριστογένους] δὲ (vel δ') ἀριστογένους F.S.Q. [o] ἁπάντων] πάντων A.r.

[p]πλεῖν ἢ πένθ' ἡμέρας [q]οὔτ' ἠγανάκτησεν εἰσελθὼν [r]οὔτ' ἀντεῖπεν οὐδὲν, οὐδ' ἡ γυνή, παροῦσα ἐξ ἀρχῆς ἅπασι
21 τούτοις. ὥστ' οὐκέτι Πολύευκτος αὐτὰ πεισθεὶς ἐμοὶ κατεχαρίζετο, ὡς ἔοικεν, ἀλλ' ὑμεῖς αὐτοί. ταῦτα τοίνυν, ὦ ἄνδρες δικασταί, μεμνημένοι σαφῶς, ἐὰν ἄρα τι περὶ αὐτῶν ἐγχειρῇ νυνὶ διαβάλλειν, ἀντίθετε. πρῶτον δ' ἵν' εἰδῆτ' ἀκριβῶς ὅτι τοῦτον τὸν τρόπον ἔχει, τῶν μαρτύρων ἀκούσατε. λέγε.

ΜΑΡΤΥΡΕΣ.

22 Οὐκοῦν, ὦ ἄνδρες δικασταί, τῶν μὲν χιλίων δραχμῶν ὡς [s]δικαίως καὶ προσοφειλομένων ἀπετίμησέ μοι τὴν οἰκίαν [t]ὁ Πολύευκτος, αὐτὸς οὗτός μοι μαρτυρεῖ καὶ ἡ 1034 τούτου γυνὴ πρὸς τοῖς ἄλλοις τούτοις τοῖς μεμαρτυρηκόσι, συγχωροῦντες τότε [u]καὶ οὔτε πρὸς τὸν Πολύευκτον ἀντειπόντες ἐπιβιοῦντα τοσαύτας ἡμέρας οὔτε πρὸς τὸν [x]'Αριστογένην, ἐπεὶ τάχιστ' ἤκουσαν. ἀλλὰ μὴν εἴ γε δικαίως [y]ἀπετιμήθη, μεμνημένοις τοῦ νόμου κατὰ μὲν
23 τοῦθ' ὑμῖν οὐκ [z]ἔστιν [a]ἀποψηφίσασθαι [b]Σπουδίου. σκέψασθε [c]δὲ καὶ περὶ τῶν εἴκοσι μνῶν, ἃς οὐκ ἐπαναφέρει· καὶ γὰρ [d]ἐνταυθὶ πάλιν αὐτὸς [e]οὗτός [f]μοι μέγιστος ἔσται μάρτυς, οὐ λόγῳ μὰ Δία, ὥσπερ νῦν, ἀντιδικῶν (τουτὶ μὲν γὰρ οὐδὲν τεκμήριόν ἐστιν), ἀλλ' ἔργῳ περιφανεῖ. τί ποιῶν, ὦ ἄνδρες δικασταί; τούτῳ γὰρ [g]ἤδη προσέχετε τὸν νοῦν, ἵν' ἐὰν ἄρα τολμᾷ τι καὶ περὶ τῆς μητρὸς τῶν γυναικῶν βλασφημεῖν ἢ περὶ τῶν γραμμά-
24 των, εἰδότας ὑμᾶς μὴ δύνηται λέγων ἐξαπατᾶν. [h]ταυτὶ γὰρ τὰ γράμματα [i]κατέλιπε μὲν ἡ Πολυεύκτου γυνή,

[p] πλεῖν] Scribebatur πλεῖον. πλέον F.Q. [q] οὔτ'] οὐκ F.Q. [r] οὔτ'] οὐδ' F.Q. [s] δικαίως] καὶ δικαίως F.Q. [t] ὁ] ἀρχὴν ὁ S. ἁ F.Q. [u] καὶ om. F.S.Q. [x] 'Αριστογένην] ἀριστογένη^ν F. ἀριστογένη S. [y] ἀπετιμήθη] ἐπετιμήθη (ἀ superscr.) F. [z] ἔστιν] ἔνεστιν A.r. [a] ἀποψηφίσασθαι] καὶ τὸ ψηφίσασθαι S. [b] Σπουδίου] ου in litura duarum literarum S. [c] δὲ] δὴ F.S.Q. [d] ἐνταυθὶ] Scribebatur ἐνταυθοῖ. [e] οὗτός om. F.Q. [f] μοι] ἐμοὶ F.Q. post ἔσται ponunt A.r. [g] ἤδη] δὴ S. [h] ταυτὶ] ταῦτα F.Q. [i] κατέλιπε μὲν ἡ] καταλέλοιπεν ἡ A.r.

καθάπερ [j] εἶπον ὀλίγῳ πρότερον· ὁμολογουμένων δὲ τῶν σημείων καὶ παρὰ τῆς τούτου γυναικὸς καὶ παρὰ τῆς ἐμῆς, ἀμφότεροι παρόντες ἀνοίξαντες ἀντίγραφά [k] τ' [l] ἐλάβομεν, κἀκεῖνα πάλιν κατασημηνάμενοι παρ' [m] 'Αρι-
25 στογένει κατεθέμεθα. τοῦτο δὴ, τοῦτο, ὦ ἄνδρες δικασταὶ, μάθετε πρὸς θεῶν. ἐνῆσαν μὲν γὰρ αἱ δύο μναῖ, ἡ τιμὴ τοῦ οἰκέτου, καὶ [n] οὐ μόνον ὁ Πολύευκτος [o] ἀποθνήσκων ταῦτα ἐγκεκλήκει. ἐνῆσαν [p] δ' αἱ χίλιαι καὶ ὀκτακόσιαι [q] δραχμαί. ταῦτα δ' ἀναγνοὺς, εἰ μὲν [r] αὐτῷ μηδὲν προσῆκε μηδ' ἀληθῆ τὰ γεγραμμένα ἦν, τί [s] δή ποτ' [t] οὐκ εὐθὺς ἠγανάκτει περὶ αὐτῶν; τί δὲ συνεσημαίνετο πάλιν τὰ μηδὲν ὑγιὲς [u] ὄντα μηδ' ἀληθῆ [x] γράμματα; τουτὶ γὰρ οὐδ' ἂν εἷς δήπου μὴ πᾶσιν ὁμολογῶν τοῖς 1035
26 γεγραμμένοις [y] ποιήσειεν. ἀλλὰ μὴν, ὦ ἄνδρες δικασταὶ, τοῦτό γε δεινὸν δήπου, εἰ πρὸς τὰ συγκεχωρημένα ὑπ' αὐτῶν τούτων ἐξέσται νῦν ἀντιλέγειν, καὶ μηδὲν σημεῖον [z] ὑμῖν ἔσται, διότι πάντες ἄνθρωποι πρὸς τὰ μήτ' ἀληθῆ μήτε δίκαια τῶν ἐγκλημάτων οὐ κατασιωπᾶν, ἀλλὰ παραχρῆμα ἀμφισβητεῖν εἰώθαμεν, μὴ ποιήσαντες δὲ ταῦτα, ἂν ὕστερον ἀντιδικῶσι, πονηροὶ καὶ συκοφάνται
27 [a] δοκοῦσιν εἶναι. ταῦτα μὲν τοίνυν Σπουδίας οὐδὲν ἧττον ἐμοῦ γιγνώσκων, ἀλλ', οἶμαι, [b] καὶ ἀκριβέστερον, ὅσῳ καὶ πυκνότερον [c] ἐνταυθὶ παρέρχεται, πᾶσιν ἐναντία τοῖς πεπραγμένοις ἑαυτῷ λέγων οὐκ αἰσχύνεται. καίτοι πολλάκις ὑμεῖς ἓν μόνον σκευώρημα [d] συνιδόντες τούτῳ κατὰ τῶν ἄλλων τῶν ἐγκαλουμένων ἐχρήσασθε τεκμηρίῳ· τούτῳ δ' ἅπανθ' [e] ὑφ' αὐτοῦ συμβέβηκεν ἐξελέγχεσθαι. καί

[j] εἶπον post πρότερον F.Q. [k] τ' om. A.r. [l] ἐλάβομεν] ἔλαβον S. [m] 'Αριστογένει] ἀριστογένη F. [n] οὐ μόνον] τοῦτο μόνον F.Q. [o] ἀποθν. ταῦτα S. et γρ. Q. ἀποθν. ταύτας γρ. F. αὐτὰ ἀποθν. A.F.r. [p] δ' αἱ] δὲ S. [q] δραχμαί om. A.r. [r] αὐτῷ μηδὲν S. Legebatur μηδὲν αὐτῷ. [s] δή] δαί F. [t] οὐκ om. S. [u] ὄντα] ἔχοντα F.Q. [x] γράμματα] γεγραμμένα F.Q. [y] ποιήσειεν] ποιήσειν A.r. [z] ὑμῖν] ἡμῖν F.S.Q. [a] δοκοῦσιν] δόξουσιν S. [b] καὶ] μὲν A.S. [c] ἐνταυθὶ] Scribebatur ἐνταυθοῖ. [d] συνιδόντες] συνειδότες A.r. [e] ὑφ' αὐτοῦ] ὑπ' αὐτοῦ A.

μοι λαβὲ τὴν μαρτυρίαν ὡς [f] ὡμολογεῖτο τότε τὰ σημεῖα τῶν γραμμάτων ὑπὸ τῆς τούτου γυναικός, καὶ νῦν ὑπὸ Σπουδίου κατασημανθέντα κεῖται.

[g] ΜΑΡΤΥΡΙΑ.

28 Τούτων τοίνυν [h] οὕτω σαφῶς ἀποδεδειγμένων ἡγοῦμαι μὲν οὐδὲν ἔτι δεῖν πλείω λέγειν· ὁπότε γὰρ καὶ νόμους [i] ἔχω [k] παρέχεσθαι καὶ [l] μάρτυρας ἁπάντων τῶν εἰρημένων, καὶ τὸν ἀντίδικον αὐτὸν ὁμολογοῦντά μοι, [m] τί δεῖ μακρῶν ἔτι λόγων; ὅμως δ' ἂν ἄρα περὶ τῆς προικὸς ἀγανακτῇ καὶ φάσκῃ πλεονεκτεῖσθαι ταῖς [n] χιλίαις δραχμαῖς, ψεύσεται· οὐδὲν γὰρ ἔχων ἔλαττον [o] ἀμφισβητεῖ πρὸς αὐτάς, ἀλλὰ [p] πλέον, ὡς [q] αὐτίχ' ὑμῖν ἔσται φανερόν.

29 οὐ μὴν ἀλλ' εἰ πάντα ταῦθ' ὡς ἀληθῶς συνέβη, οὐ δήπου 1036
δίκαιον ἐμὲ τὴν ὁμολογηθεῖσαν προῖκα μὴ λαβεῖν, εἴπερ ὄφελός τι τῶν νόμων ἐστίν, οὐδέ γε τὸν Πολύευκτον, εἰ τῶν θυγατέρων ἐβούλετο [r] τῇ μὲν ἐλάττω, τῇ δὲ πλείω προῖκ' ἐπιδοῦναι, διακωλυθῆναι [s] νῦν· σοὶ γὰρ αὐτῷ μὴ λαμβάνειν ἐξῆν, ὦ Σπουδία, μὴ προστιθεμένων ὥσπερ ἐμοὶ τῶν χιλίων. ἀλλ' οὐδὲν ἔλαττον εἶχες, ὡς ἐγὼ διδάξω. πρῶτον δ' ἐφ' οἷς ἐξέδοτο, [t] τούτων λαβέ μοι τὴν μαρτυρίαν.

ΜΑΡΤΥΡΙΑ.

30 Πῶς [u] οὖν οὐδὲν ἔλαττον [x] ἔχει, φήσει τις, εἰ τούτῳ μὲν ἐν [y] ταῖς τετταράκοντα μναῖς [z] ἐνετιμᾶτο τὰ χρυσία καὶ τὰ ἱμάτια τῶν χιλίων, ἐμοὶ δ' αἱ δέκα μναῖ χωρὶς προσαπεδίδοντο; τοῦτο δὴ καὶ μέλλω λέγειν. ὁ μὲν [a] γὰρ Σπουδίας, ὦ ἄνδρες δικασταί, παρὰ τοῦ Λεωκράτους

[f] ὡμολογεῖτο τότε] ὡμολογειτο τότε S. ὡμολόγητό τε r. ὡμολόγει τότε A. (cui Reiskius male ὡμολογεῖτό τε tribuit) F. ὁμολόγει τότε Q. [g] ΜΑΡΤΥΡΙΑ] ΜΑΡΤΥΡΕΣ S. hic et p. 1036, 10. [h] οὕτω σαφῶς] σαφῶς οὕτως A.r. [i] ἔχω] ἔχων S. [k] παρέχεσθαι] παρασχέσθαι A.r. [l] μάρτυρας] μαρτυρίας A.r. [m] τί] οτι S. [n] χιλίαις] τρισχιλίαις S. [o] ἀμφισβητεῖ] ἀμφισβητεῖν S. [p] πλέον] Scribebatur πλεῖον. [q] αὐτίχ'—ταῦθ'] αὐτίκ'—ταῦτ' S. [r] τῇ—τῇ] τί—τί F. [s] νῦν] νυνὶ A.F.r. [t] τούτων λαβέ μοι] τούτῳ λαβὲ A.r. [u] οὖν om. F. [x] ἔχει om. r. [y] ταῖς om. S. male: v. lin. 21. [z] ἐνετιμᾶτο] ἐπετιμᾶτο F.Q. ἐτιμᾶτο A.r. [a] γὰρ] γὰρ δὴ F.Q.

ἔχουσαν τὰ χρυσία καὶ τὰ ἱμάτια τὴν γυναῖκ' ἔλαβεν,
ὧν [b] ὁ Πολύευκτος [c] προσαπετίμησε τῷ Λεωκράτει [d] πλεῖν
31 ἢ χιλίας· ἐγὼ δ', ἅπερ ἔπεμψέ μοι χωρὶς τῆς προικὸς,
ὅσ' [e] ἔχω [f] μόνον πρὸς τὰ τούτῳ δοθέντα ἐὰν [g] τιθῇ τις, εὑ-
ρήσει παραπλήσια, χωρὶς τῶν εἰς τὰς χιλίας ἀποτιμη-
θέντων. ὥστ' εἰκότως ἐν ταῖς τετταράκοντα μναῖς [h] ἐνετι-
μᾶτο ταῦθ', ἅπερ [i] ἀποτετιμήκει τῷ Λεωκράτει καὶ πλείω
32 τῶν [k] ἐμοὶ δοθέντων ἦν. καί μοι λαβὲ πρῶτον μὲν τὴν
ἀπογραφὴν [l] ταυτηνὶ καὶ λέγε [m] αὐτοῖς ἅπερ ἑκάτερος
ἡμῶν ἔχει, μετὰ [n] δὲ ταῦτα τὴν τῶν διαιτητῶν μαρτυρίαν,
ἵν' [o] εἰδῶσιν ὅτι καὶ πολλῷ πλείω χρήματ' ἔχει, καὶ περὶ
τούτων ὁ Λεωκράτης ἐνεκάλει, καὶ [p] κατὰ ταῦτα ἔγνωσαν
οἱ διαιτηταί. λέγε.

[q] ΑΠΟΓΡΑΦΗ. ΜΑΡΤΥΡΙΑ. 1037

33 Ἆρ' οὖν οὐ φανερῶς οὗτος μὲν ἔχει τετταράκοντα μνᾶς
[r] πάλαι τὴν προῖκα, ἐγὼ δὲ τὰς μὲν [s] τριάκοντα καθάπερ
[t] οὑτοσὶ, τὰς δὲ χιλίας οὐ μόνον ὕστερον οὐκ ἐκομισά-
μην, ἀλλὰ καὶ [u] νυνὶ κινδυνεύω περὶ αὐτῶν ὡς ἀδίκως
ἔχων; διὰ ταῦτα μέντοι Σπουδίας, ὦ ἄνδρες δικασταὶ,
τοῖς φίλοις οὐκ ἐβούλετο ἐπιτρέψας ἀπαλλαγῆναι τῶν
πρὸς ἐμὲ ἐγκλημάτων, ὅτι συνέβαινεν αὐτῷ [x] πάντα
ταῦτ' [y] ἐξελέγχεσθαι· πᾶσι γὰρ τούτοις παραγεγενη-
μένοι καὶ σαφῶς εἰδότες οὐκ ἐπέτρεπον [z] ἂν αὐτῷ λέ-
γειν ὅ τι τύχοι· παρ' ὑμῖν δ' οἴεται ψευδόμενος ἐμοῦ
34 τἀληθῆ λέγοντος περιγενήσεσθαι. καίτοι περὶ ὧν ἐγκαλῶ,

[b] ὁ om. F. [c] προσαπετίμησε S. et γρ. F.Q. προσαπέτισε vulgo. [d] πλεῖν] Scribebatur πλεῖον. [e] ἔχω] ἔχων r. [f] μόνον] μόνου F. [g] τιθῇ] ἀντιθῇ A.r. [h] ἐνετιμᾶτο] ἀπετιμᾶτο F.Q. [i] ἀποτετιμήκει Schæferus. ἀποτετίκει codices, nisi quod ἀποτετεικει S. ἀπετετίκει vulgo. [k] ἐμοὶ δοθέντων om. S. [l] ταυτηνὶ] ταύτην F.S.Q. [m] αὐτοῖς] αὐτοῖς νῦν A.r. [n] δὲ om. A.r. [o] εἰδῶσιν] ιδωσιν S. [p] κατὰ] μετὰ S. om. A.r. [q] ΑΠΟΓΡΑΦΗ om. F.r. [r] πάλαι τὴν προῖκα A.S.r. τὴν προῖκα πάλαι vulgo. [s] τριάκοντα A.S.r. Legebatur τριάκοντα μνᾶς. [t] οὑτοσὶ S. Scribebatur οὗτος. [u] νυνὶ] νῦν F.Q. [x] πάντα ταῦτ'] ταῦτα πάντα A.r. [y] ἐξελέγχεσθαι] ἐλεγχεσθαι A.r. [z] ἂν om. S.

πάνθ᾽ ὑμῖν ἀπέδειξα σαφῶς, ὡς οἷός τ᾽ ἦν αὐτός. τοὺς δ᾽ εἰδότας [a]*οὑτοσὶ* [b]*ἔφευγεν, οὐχ ἡγούμενος* [c]*ἐνεῖναι παραλογίσασθαι. μὴ τοίνυν, ὦ ἄνδρες δικασταί, μηδ᾽ ὑμεῖς ἐπιτρέπετε αὐτῷ ψεύδεσθαι καὶ διαβάλλειν, μεμνημένοι τῶν εἰρημένων· ἴστε γὰρ πάνθ᾽ ὡς ἐγένετο, πλὴν εἴ τι παρέλιπον ἐγὼ πρὸς ὀλίγον ὕδωρ ἀναγκαζόμενος λέγειν*[d].

ΜΒ.

ΠΡΟΣ ΦΑΙΝΙΠΠΟΝ [e]ΠΕΡΙ ΑΝΤΙΔΟΣΕΩΣ.

[f]ΥΠΟΘΕΣΙΣ.

Ὁ μὲν λόγος οὐκ ἀναφέρεται παρά τινων εἰς τὸν Δημοσθένην, ὑπόθεσιν δὲ ἔχει ταύτην. ἦν σύνταγμα παρὰ τοῖς Ἀθηναίοις τριακοσίων ἀνδρῶν κατὰ τὸν πλοῦτον ἐξειλεγμένων, οἷς ἀνέκειντο τῶν λειτουργιῶν αἱ μείζονες. νόμος δὲ 1038 *ἐδίδου τῷ πεπονηκότι τούτων ὑπεξελθεῖν ἐκ τοῦ συντάγματος, εἴ τινα ἑαυτοῦ πλουσιώτερον σχολάζοντα ἐπεδείκνυε. καὶ εἰ μὲν ὁ προβληθεὶς ὡμολόγει πλουσιώτερος εἶναι, εἰς τοὺς τριακοσίους ἀντικαθίστατο· εἰ δὲ ἠρνεῖτο, τὴν οὐσίαν ἀντεδίδοσαν. νῦν τοίνυν εἷς τῶν τριακοσίων πεπονηκέναι λέγων καὶ εἶναι πένης ἐπὶ Φαίνιππον ἐλήλυθε, καὶ τῆς οὐσίας εἰς ἀντίδοσιν ἥκουσι. περὶ δὲ τούτων ἐγκαλεῖ τῷ Φαινίππῳ, ὡς* [g]*οὔτε τὴν ἀπογραφὴν τῆς οὐσίας δεδωκότι κατὰ τὸν προσήκοντα* [h]*χρόνον, ἀλλ᾽ ὕστερον πολλῷ, τά τε σημεῖα τῶν οἰκημάτων ἀφῃρηκότι* [i]*ὑπὲρ τοῦ* [k]*ἐκφορῆσαι τῶν ἔνδον τινά, καὶ ψευδῶς ὀφείλειν πολλὰ* [l]*πλαττομένῳ.*

ΠΟΛΛΑ *κἀγαθὰ γένοιτ᾽, ὦ ἄνδρες δικασταί, πρῶτον μὲν ὑμῖν ἅπασιν, ἔπειτα δὲ καὶ Σόλωνι τῷ νομοθετήσαντι* [m]*τὸν περὶ τῶν ἀντιδόσεων νόμον. εἰ μὴ γὰρ οὗτος ἡμῖν σα-*

[a] *οὑτοσὶ*] *οὗτος* S. [b] *ἔφευγεν*] *ἔφυγεν* A.r. [c] *ἐνεῖναι*] *εἶναι* S. [d] In S. liquore rubro subscriptum Δ/ζ. [e] ΠΕΡΙ ΑΝΤΙΔΟΣΕΩΣ om. S. [f] Argumentum a m. rec. habet S. [g] *οὔτε* Sauppius. Legebatur *οὐδέ*. [h] *χρόνον*] *νόμον* S. [i] *ὑπὲρ*] *καὶ περὶ* S. [k] *ἐκφορῆσαι* S. Legebatur *διαφορῆσαι*. [l] *πλαττομένῳ*] *πραττομένῳ* F. [m] *τὸν* om. A.r.

φῶς διώρισε τί πρῶτον δεῖ ποιεῖν τοὺς ἀντιδεδωκότας καὶ
τί δεύτερον καὶ τἄλλα δ' ἐφεξῆς, οὐκ οἶδ' ὅποι προῆλθεν
2 ἂν ἡ [n] τουτουὶ Φαινίππου [o] τόλμα, ὅπου [p] γε καὶ νῦν ἅπαντα
ταῦτα προλέγοντος ἡμῖν τοῦ νόμου, ὅμως οὐδὲν φροντίσας 1039
τῶν ἐν αὐτῷ γεγραμμένων δικαίων, ἀντὶ μὲν τοῦ τριῶν
ἡμερῶν ἀφ' ἧς ὤμοσε τὴν ἀπόφασιν δοῦναί μοι τῆς οὐ-
σίας τῆς αὑτοῦ κατὰ τὸν νόμον, ἢ εἰ μὴ τότ' ἐβούλετο, τῇ
[q] γ' ἕκτῃ δοῦναι τοῦ βοηδρομιῶνος μηνός, ἣν δεηθείς μου
ἔθετο καὶ ἐν ᾗ ὡμολόγησε δώσειν τὴν ἀπόφασιν, οὐδέτερα
3 τούτων ἐποίησεν, ἀλλὰ καταφρονήσας ἀμφοτέρων, καὶ
ἡμῶν καὶ [r] τοῦ νόμου, δευτέρῳ [s] μηνὶ ἔδωκε, δυοῖν ἢ τρισὶν
ἡμέραις πρότερον τῆς εἰς τὸ δικαστήριον εἰσόδου, τὸν δ'
ἄλλον ἅπαντ' ἐκποδὼν ἦν χρόνον· ἀντὶ δὲ τοῦ τὰ σημεῖα
ἐᾶν τῶν οἰκημάτων [t] ἃ παρεσημηνάμην, ἐλθὼν εἰς [u] ἀγρὸν
ἀνέῳξε καὶ τὰς κριθὰς ἐξεφόρησε καὶ τἄλλα, ὥσπερ ἐξου-
σίαν δεδωκότος αὐτῷ τοῦ νόμου ποιεῖν ὅ τι ἂν βούληται
4 καὶ μὴ ὡς δίκαιόν ἐστιν. ἐγὼ δ', ὦ ἄνδρες δικασταί,
[x] ἥδιστα μὲν ἂν ἐμαυτὸν [y] εἶδον εὐτυχοῦντα ὥσπερ πρότερον
τῇ οὐσίᾳ καὶ μένοντα ἐν τοῖς τριακοσίοις· ἐπειδὴ δὲ τὰ
μὲν τῆς κοινῆς ἀτυχίας μετασχὼν τοῖς ἄλλοις τοῖς ἐργα-
ζομένοις ἐν τοῖς ἔργοις, τὰ [z] δ' ἰδίᾳ μεγάλαις περιπεπτω-
κὼς ζημίαις ἀπολώλεκα τὴν οὐσίαν, καὶ τὸ τελευταῖον
[a] νυνί με δεῖ τῇ πόλει τρία τάλαντα καταθεῖναι, τάλαντον
5 κατὰ τὴν μερίδα (μετέσχον γάρ, ὡς μή ποτ' ὤφελον,
κἀγὼ τοῦ δημευθέντος μετάλλου), ἀναγκαῖόν ἐστιν εἰς τὴν
ἐμὴν τάξιν πειρᾶσθαι καθιστάναι τὸν οὐ μόνον ἐμοῦ νῦν
ὄντα πλουσιώτερον, ἀλλὰ καὶ πρότερον, καὶ οὐδεπώποτ'
οὐδὲν λελειτουργηκότα ὑμῖν οὐδ' [b] εἰσενηνοχότα τῇ πόλει.

[n] τουτουὶ] τοῦ S. [o] τόλμα] τόλμη [α] B. τόλμα [η] F. [p] γε] Sic correxi quod in libris omnibus est γάρ. [q] γε om. A.r. [r] τοῦ] τὰ τοῦ S. [s] μηνὶ] μηδενὶ S. [t] ἃ παρεσημηνάμην] ἅπερ ἐσημηνάμην A.S.r. [u] ἀγρὸν] ἀγορὰν A.r. [x] ἥδιστα μὲν ἂν Bekkerus. ἥδιστα μὲν F.Q. ἥδιστ' ἂν A.S.r. ἥδιστ' ἂν μὲν Reiskius. [y] εἶδον] ειδων S. [z] δ' ἰδίᾳ] δίκαια F.Q. [a] νυνί με] νῦν ἐμὲ F.Q. [b] εἰσενηνοχότα] ἐνηνοχότα r.

6 δέομαι οὖν ὑμῶν ἁπάντων, ὦ ἄνδρες δικασταί, ἐὰν ἐπι-
δεικνύω Φαίνιππον τουτονὶ καὶ παραβεβηκότα τὰ ἐν τοῖς 1040
νόμοις δίκαια καὶ πλουσιώτερον ὄντα [c] ἐμαυτοῦ, βοηθῆσαί
μοι καὶ τοῦτον εἰς τοὺς τριακοσίους ἀντ' ἐμοῦ κατα-
στῆσαι· διὰ τοῦτο γὰρ οἱ νόμοι καθ' ἕκαστον ἔτος ποιοῦσι
τὰς ἀντιδόσεις, ὅτι τὸ διευτυχεῖν συνεχῶς τῇ οὐσίᾳ οὐ
πολλοῖς τῶν πολιτῶν διαμένειν εἴθισται. ἐξ ἀρχῆς δ' ὑμῖν
[d] ἅπαντα τὰ γενόμενα περὶ τὴν ἀντίδοσιν διηγήσομαι.
7 Τοῦ γὰρ [e] μεταγειτνιῶνος [f] μηνὸς, ὦ ἄνδρες δικασταί,
τῇ δευτέρᾳ ἱσταμένου ἐποίουν οἱ στρατηγοὶ τοῖς τριακοσί-
οις τὰς ἀντιδόσεις. ἐν ταύταις ἐκάλεσα κατὰ τὸν νόμον
Φαίνιππον τουτονί. καλέσας δὲ καὶ παραλαβὼν τῶν οἰ-
κείων τινὰς καὶ φίλων ἐπορευόμην [g] Κυθηρόνδε εἰς τὴν
8 ἐσχατιὰν αὐτοῦ. καὶ πρῶτον μὲν περιαγαγὼν τὴν [h] ἐσχα-
τιὰν πλέον ἢ σταδίων οὖσαν τετταράκοντα κύκλῳ ἔδειξα
καὶ [i] διεμαρτυράμην ἐναντίον Φαινίππου ὅτι οὐδεὶς ὅρος
ἔπεστιν [k] ἐπὶ τῇ ἐσχατιᾷ· εἰ δέ φησιν, [l] εἰπεῖν ἐκέλευον
αὐτὸν ἤδη καὶ δεῖξαι, ὅπως μὴ ὕστερον ἐνταῦθα [m] χρέως
9 γενόμενον [n] ἐπὶ τῷ χωρίῳ ἀναφανήσεται. ἔπειτα παρε-
σημηνάμην τὰ οἰκήματα, καὶ τοῦτον ἐκέλευον εἰς τἀμὰ
βαδίζειν. μετὰ δὲ ταῦτα ἠρόμην, ὅπου ὁ σῖτος εἴη ὁ
[o] ἀπηλοημένος· ἦσαν γὰρ νὴ τοὺς θεοὺς καὶ τὰς θεάς, [p] ὦ
ἄνδρες δικασταί, δύο [q] ἅλως αὐτόθι, [r] μικροῦ πλέθρου ἑκα-
τέρα. ὁ δὲ ἀπεκρίνατό μοι ὅτι ὁ μὲν πεπραμένος εἴη τοῦ
10 σίτου, ὁ δ' ἔνδον ἀποκείμενος. τέλος δ', ἵνα μὴ μακρο-
λογῶ, καταστήσας φυλάττειν ἔνδον τινὰς, καὶ νὴ Δί'
ἀπειπὼν [s] καὶ κωλύσας τοὺς ὀνηλάτας μὴ ἐξάγειν τὴν

[c] ἐμαυτοῦ] ἐμοῦ F.Q. [d] ἅπαντα] πάντα A.r. om. S. [e] μεταγειτνιῶνος] μεταγειτνιῶντος S.r. [f] μηνὸς om. A.S.r. [g] Κυθηρόνδε] Legebatur Κυθηράδε, forma vitiosa. Nam pagi hujus nomen non Κύθηρα est, sed Κύθηρος. [h] ἐσχατιὰν] ἐσχατιὰν αὐτοῦ F.S.Q. [i] διεμαρτυράμην] διεμαρτυρόμην Q. [k] ἐπὶ] ἐν A.r. [l] εἰπεῖν ἐκέλευον] ἐκέλευον εἰπεῖν A.r. [m] χρέως A.S.Q. χρέος vulgo. [n] ἐπὶ τῷ χωρίῳ ἀναφανήσεται A.S.r. Legebatur ἀναφανήσοιτο ἐπὶ τῷ χωρίῳ. [o] ἀπηλοημένος] ἀπηλωημένος F. [p] ὦ om. S. [q] ἅλως] ἅλῳ Reiskius. [r] μικροῦ] μικρω S. [s] καὶ κωλύσας] κωλῦσαι F.S.Q.

ὕλην ἐκ τῆς ἐσχατιᾶς (πρὸς γὰρ τῇ ἄλλῃ οὐσίᾳ τῇ Φαι- 1041
νίππου, ὦ ἄνδρες δικασταὶ, καὶ [t] αὕτη πρόσοδος μεγάλη
ἐστὶν αὐτῷ· [u] ἓξ ὄνοι δι' ἐνιαυτοῦ [x] ὑλαγωγοῦσι, καὶ λαμ-
βάνει οὗτος πλέον ἢ [y] δώδεκα δραχμὰς τῆς ἡμέρας) τού-
τοις [z] ἀπειπὼν, ὥσπερ λέγω, τῆς ὕλης μὴ ἅπτεσθαι, καὶ
ἐπαγγείλας ἐπὶ τὰ ἱερὰ Φαινίππῳ κατὰ τὸν νόμον ἀπαν-
11 τᾶν, ᾠχόμην ἀπιὼν εἰς ἄστυ. πρῶτον μὲν οὖν τῶν εἰρη-
μένων τὰς μαρτυρίας ὑμῖν παρέξομαι, ἔπειτα καὶ περὶ
τῶν ἄλλων ἀκούσεσθε πάσας τὰς ἀληθείας· τουτονὶ γὰρ,
ὦ ἄνδρες δικασταὶ, Φαίνιππον εὑρήσετε εὐθὺς ἀπὸ τῆς
12 πρώτης ἡμέρας ἀρξάμενον τοῦ μηδὲν δίκαιον ποιεῖν. παρ-
εσημηνάμην τὰ οἰκήματα, τοῦ νόμου μοι δεδωκότος· [a] οὗ-
τος ἀνέῳξε. καὶ τὸ μὲν ἀφελεῖν τὸ σημεῖον [b] ὁμολογεῖ, τὸ
δ' ἀνοῖξαι τὴν θύραν οὐχ ὁμολογεῖ, ὥσπερ ἄλλου τινὸς
ἕνεκα τὰ σημεῖα ἀφαιροῦντος ἢ τοῦ τὰς θύρας ἀνοῖξαι.
13 ἔπειτα [c] ἀπεῖπον τὴν ὕλην [d] μὴ ἐξάγειν· [e] ἐξῆγεν οὗτος ἁπά-
σας τὰς ἡμέρας, πλὴν ἐκείνης ἐν ᾗ ἐγὼ ἀπεῖπον. [f] χρέως
οὐδ' ὁτιοῦν ὠφείλετο ἐπὶ τῇ ἐσχατιᾷ· νῦν οὗτος ἀποφαίνει
πολλά. ἁπλῶς ποιεῖ ὅ τι ἂν [g] βούληται, οὐχ ὅ τι ἂν οἱ
νόμοι [h] κελεύωσιν. λέγε τὰς μαρτυρίας, πρῶτον μὲν τὰς
[i] περὶ τοῦ μετάλλου, [k] ἔπειτα καὶ τὰς ἄλλας.

ΜΑΡΤΥΡΙΑΙ.

14 Ἃ μὲν τοίνυν εὐθὺς τῇ πρώτῃ ἡμέρᾳ μετὰ τὰς ἀντιδό-
σεις ἤρξατό με Φαίνιππος ἀδικεῖν, ἀκηκόατε, ὦ ἄνδρες
[l] Ἀθηναῖοι, καὶ ἐμοῦ καὶ τῶν μαρτύρων. τὰ δὲ μετὰ
ταῦτα γεγενημένα οὐκέτ' εἰς ἐμὲ μόνον αὐτῷ ἡμάρτηται,
ἀλλὰ καὶ εἰς τοὺς νόμους, ὑπὲρ ὧν [m] ὑμῖν ἅπασι σπουδα-

[t] αὕτη] αὕτη ἡ A.r. [u] ἓξ ὄνοι] εξωνοι S. [x] ὑλαγωγοῦσι] δ̈ουλαγωγοῦσιν S. [y] δώδεκα] δεκαδύο A.r. [z] ἀπειπὼν] ἀπεῖπον Q. [a] οὗτος] οὗτος δ' A. [b] ὁμολογεῖ—ὁμολογεῖ] ὡμολόγει—ὡμολόγει F.S.Q. [c] ἀπεῖπον—ἐξάγειν] ἀπειπων—ἐξαγ̈αγειν S. [d] μὴ om. A.r. [e] ἐξῆγεν] ἐξήγαγεν A.r. [f] χρέως A. aliique. χρέος vulgo. [g] βούληται] βούλοιτο F.Q. [h] κελεύωσι] κελεύουσιν A.S.r. [i] περὶ] ὑπὲρ A.r. ὑπὲρ (περὶ) F. [k] ἔπειτα] ἔπειτα δὲ A.r. [l] ἀθηναῖοι S. Legebatur δικασταί. [m] ὑμῖν] ἡμῖν A.

15 στέον ἐστίν. ὀμόσας [n]γὰρ τῇ ἑνδεκάτῃ τοῦ βοηδρομιῶνος 1042
μηνὸς [o]ἀποφαίνειν ὀρθῶς καὶ δικαίως [p]τὴν οὐσίαν, [q]τοῦ
νόμου διαρρήδην λέγοντος τριῶν ἡμερῶν ἀφ' ἧς ἂν ὀμόσῃ
διδόναι τὴν ἀπόφασιν, ἐδεῖτό μου προσελθὼν [r]ἐπὶ τῷ δι-
καστηρίῳ μετὰ Πολυεύκτου τοῦ [s]Κριωέως καὶ [t]ἑτέρων
τινῶν, πρῶτον μὲν περὶ διαλύσεως [u]συνελθεῖν [x]αὐτῷ· πάντα
γάρ μοι τὰ δίκαια ποιήσειν· ἔπειτα τὴν ἀπόφασιν τῆς
οὐσίας ἀναβαλέσθαι μὴ πολλὰς ἡμέρας· οὐ γὰρ ἀγνοεῖν
16 μου τὰ πράγματα. ἡγησάμενος δ' ἐγὼ καὶ μετρίου καὶ
ἀπράγμονος εἶναι πολίτου μὴ εὐθὺς ἐπὶ κεφαλὴν εἰς τὸ
δικαστήριον βαδίζειν, ἐπείσθην (τί γὰρ δεῖ μακρολογεῖν;)
τὴν μὲν σύνοδον τὴν περὶ τῶν διαλύσεων τῇ ὀγδόῃ φθίνον-
τος τοῦ βοηδρομιῶνος μηνὸς [y]ὁμολογῆσαι ποιήσασθαι, τὴν
17 δ' ἀπόφασιν τῆς οὐσίας τῇ ἕκτῃ φθίνοντος. τυχὼν δὲ
τούτων [z]ἀμφοτέρων παρ' ἐμοῦ Φαίνιππος οὐδ' εἰς ἑτέραν
τῶν ἡμερῶν ἀπήντησεν· ἀλλ' ἀνθ' ἑνὸς δύο νόμους ἥκει
πρὸς ὑμᾶς παραβεβηκώς, ἕνα μὲν τὸν κελεύοντα τριῶν
ἡμερῶν ἀφ' ἧς ἂν ὀμόσῃ τὴν οὐσίαν ἀποφαίνειν, ἕτερον δὲ
τὸν κελεύοντα [a]κυρίας εἶναι τὰς πρὸς ἀλλήλους ὁμολο-
18 γίας, [b]ἃς [c]ἂν ἐναντίον [d]ποιήσωνται μαρτύρων. καίτοι, ὦ
ἄνδρες δικασταί, τίς οὐκ οἶδεν ὑμῶν ὅτι ὁμοίως ἥ τε ἐν
τῷ νόμῳ γεγραμμένη [e]κυρία ἐστὶν ἡμέρα καὶ ἡ ὑπὸ τῶν
ἀντιδίκων συγχωρηθεῖσα; πολλάκις γὰρ [f]ἔν τε τοῖς νό-
μοις γεγραμμένης τριακοστῆς ἡμέρας ἑτέραν ἡμῖν αὐτοῖς
συγχωρήσαντες ἐθέμεθα, [g]παρά τε ταῖς ἀρχαῖς ἁπάσαις
καὶ [h]δίκας καὶ κρίσεις ἀναβάλλονται τοῖς ἀντιδίκοις οἱ 1043

[n] γὰρ om. S. [o] ἀποφαίνειν] ἀποφανεῖν Reiskius. [p] τὴν οὐσίαν] ἅπασαν τὴν οὐσίαν A.r. [q] τοῦ] καὶ τοῦ A.S.r. [r] ἐπὶ τῷ δικαστηρίῳ S. ἐν τῷ δικαστηρίῳ A.r. πρὸ τοῦ δικαστηρίου F.Q. [s] Κριωέως] κρισεως S. et γρ. Q. κριωσέως A.r. [t] ἑτέρων τινῶν] τερεντίνου F.Q. [u] συνελθεῖν] συνελθων S. [x] αὐτῷ] αυτω S. ἑαυτῷ vulgo. [y] ὁμολογῆσαι ποιήσασθαι] ὁμολογήσασθαι S. [z] ἀμφοτέρων om. F.Q. [a] κυρίας] κυρίους F. [b] ἃς om. S. [c] ἂν om. F.Q. [d] ποιήσωνται μαρτύρων S. Legebatur μαρτύρων ποιήσωνται. μαρτύρων ποιήσονται F.Q. [e] κυρία ἐστὶν ἡμέρα] κυρία ἡμέρα ἐστὶ A.r. ἡμέρα κυρία ἐστὶ F.Q. [f] ἔν τε] παρά τε A.F.Q. παρά γε r. [g] παρά τε] παρὰ F.Q. [h] δίκας καὶ κρίσεις] δίκαις καὶ κρίσει F.Q.

ἄρχοντες συγχωρησάντων ἐκείνων ἀλλήλοις· ὧν εἴ τις
ἄκυρον ἡγήσαιτο δεῖν εἶναι τὴν πρὸς ἀλλήλους ὁμολογίαν,
19 μισήσαιτ' ἂν αὐτὸν ὡς ὑπερβάλλοντα συκοφαντίᾳ. Φαί-
νιππος τοίνυν, ὥσπερ τοῦ νόμου προστάττοντος [i]ποιεῖν
μηδὲν ὧν ἂν ὁμολογήσῃ τις, ἀπ' ἐκείνης τῆς ἡμέρας, ἀφ' ἧς
ὡμολόγησεν ἐπί [k]τε τὰς διαλύσεις ἀπαντήσεσθαι καὶ τὴν
ἀπόφασίν μοι τὴν αὑτοῦ δώσειν καὶ τὴν παρ' ἐμοῦ λή-
20 ψεσθαι, οὐδεπώποτ' ἀπήντησεν· ἀλλ' ἐγὼ μὲν ἐπειδὴ
τοῦτον ἑώρων οὐ προσέχοντά μοι τὸν νοῦν οὐδὲ τοῖς νό-
μοις, εἰς τὸ στρατήγιον ἔδωκα τὴν ἀπόφασιν, οὗτος δ', ὅπερ
καὶ μικρῷ πρότερον εἶπον, πρώην ἔδωκέ μοι βιβλίον, οὐδὲν
[l]ἄλλο βουλόμενος ἢ δοκεῖν μὲν δεδωκέναι τὴν ἀπόφασιν,
μὴ ἔχειν δέ με τοῖς ἐν [m]αὐτῷ γεγραμμένοις ὅ τι [n]χρήσω-
21 μαι. χρὴ δ', ὦ ἄνδρες δικασταί, μὴ τοῖς ἰσχυροτέραν νο-
μίζουσι τῶν νόμων τὴν αὑτῶν βδελυρίαν εἶναι, πλέον τού-
τοις τοῦ δικαίου [o]νέμειν· εἰ δὲ μή, πολλοὺς ποιήσετε τοὺς
καταγελῶντας τῶν ἐν τοῖς νόμοις [p]δικαίων γεγραμμένων·
ἀλλ' ἐκείνοις βοηθεῖν, οἵτινες ἂν τὴν τῶν νόμων φωνὴν
ὑμετέραν εἶναι [q]νομίζωσι, καὶ τὴν [r]ἡμέραν ταύτην, τὴν εἰς
τὸ δικαστήριον, ὑπὲρ τῶν ἠδικημένων εἶναι νομίζωσι, μὴ
22 τῶν [s]ἠδικηκότων. λέγε τῶν ἀρτίως εἰρημένων τὰς μαρτυ-
ρίας καὶ τοὺς νόμους.

ΜΑΡΤΥΡΙΑΙ. ΝΟΜΟΙ.

Τοιαῦτα τοίνυν, ὦ ἄνδρες δικασταί, πεπονθὼς ἐγὼ ὑπὸ Φαινίππου ἀπεγραψάμην [t]πρὸς τοὺς στρατηγοὺς [u]ταύτην τὴν ἀπογραφήν. λέγε.

[i] *ποιεῖν μηδὲν*] Legebatur *μηδὲν ποιεῖν*. Transposui cum. S., qui *ποιειν ά μηδεν*. [k] *τε* om. A.r. [l] *ἄλλο βουλόμενος ἢ* A.S.r. Legebatur *ἀλλ' ἢ βουλόμενος*. [m] *αὐτῷ*] *αὐτῇ* A.r. [n] *χρήσωμαι* Bekkerus. *χρήσομαι* libri. [o] *νέμειν*] *ναιμην* S. [p] *δικαίων γεγραμμένων* S. *γεγραμμένων δικαίων* vulgo. [q] *νομίζωσι*] *νομίζουσι* (ω superscr.) F. *νομίζουσι* S.r. [r] *ἡμέραν* S.Q. Legebatur *ὑμετέραν*. [s] *ἠδικηκότων*] *ἀδικηθέντων* r. [t] *πρὸς τοὺς στρατηγοὺς* om. S. [u] *ταύτην*] *ταυτηνὶ* A.r.

ΑΠΟΓΡΑΦΗ. 1044

23 Πῶς οὖν ἄλλως πρὸς τῶν θεῶν καὶ δαιμόνων, ὦ ἄνδρες
δικασταί, [x]ἐπιδεικνύειν ὑμῖν δεῖ Φαίνιππον ἔνοχον ὄντα
τοῖς ἀνεγνωσμένοις, ἢ [y]ὅνπερ τρόπον ἐγὼ νῦν ἐπιδεικνύω;
ἀλλ' ὅμως [z]ἐμὲ ἀντεγράψατο Φαίνιππος μὴ [a]δικαίως
ἀποφαίνειν τὴν οὐσίαν· οὕτω [b]τὸ πρὸς ὑμᾶς ψεύδεσθαι
24 τοῖς τοιούτοις ῥᾴδιόν ἐστι· καὶ κατηγορεῖ τοῦ ὅρκου ὃν
[c]ὤμοσα πρὸ τῆς ἀποφάσεως, λέγων ὅτι [d]πλὴν τῶν ἐν
τοῖς ἔργοις ὑπεσχόμην ἀποφαίνειν τὴν ἄλλην οὐσίαν,
ὥσπερ τὸ κατὰ τοὺς νόμους ὀμνύειν, τοῦτ' ἄξιον κατηγο-
ρίας ὄν. ὑμεῖς δ' ἴστε, ὦ ἄνδρες δικασταί, (ὑμεῖς γὰρ
ἔθεσθε) τὸν νόμον, ὃς διαρρήδην οὕτω λέγει, τοὺς [e]δ' ἀντιδι-
δόντας ἀλλήλοις, ὅταν ὀμόσαντες ἀποφαίνωσι τὴν οὐσίαν,
προσομνύειν [f]τόνδε τὸν ὅρκον "ἀποφαίνω τὴν οὐσίαν τὴν
"ἐμαυτοῦ ὀρθῶς καὶ δικαίως, πλὴν [g]τῶν ἐν τοῖς ἔργοις
"τοῖς [h]ἀργυρείοις, ὅσα οἱ νόμοι ἀτελῆ πεποιήκασιν."
25 μᾶλλον δὲ λέγε τὸν νόμον αὐτόν. μικρὸν μὲν οὖν, ἱκετεύω,
ἐπίσχες. ἐγὼ γὰρ καὶ πρότερον [i]προεκαλεσάμην Φαίνιπ-
πον, καὶ νῦν, ὦ ἄνδρες δικασταί, δίδωμι αὐτῷ δωρεὰν
καὶ ἀφίσταμαι μετὰ τῆς ἄλλης οὐσίας καὶ τῶν ἐν τοῖς
ἔργοις, ἐάν μοι τὴν ἐσχατιὰν μόνην ἐλευθέραν παραδῷ,
ὥσπερ ἦν ὅτ' ἐγὼ τὸ πρῶτον ἦλθον εἰς αὐτὴν μετὰ μαρτύ-
ρων, καὶ [k]ἐάν, [l]ὃν [m]ἐξῆχεν ἐκ τῶν οἰκημάτων σῖτον καὶ οἶ-
νον καὶ [n]τἄλλα, ἀφελὼν [o]ἀπὸ τῶν θυρῶν τὰ σημεῖα, ταῦτα
26 πάλιν εἰς ταὐτὸ καταστήσῃ. καὶ τί λέγεις ἔτι καὶ βοᾷς;

[x] ἐπιδεικνύειν ὑμῖν δεῖ] ἔχει τις ἐπιδεικνύειν ὑμῖν A.r. [y] ὅνπερ τρόπον] ὅπερ πρότερον A.r. [z] ἐμὲ] ἐμοὶ A.r. [a] δικαίως] δικαιος S. [b] τὸ] τὰ A.r. [c] ὤμοσα] ὤμοσεν F.S.Q. [d] πλὴν τῶν] πλὴν ὧν F.Q. [e] δ' addidi ex S. [f] τόνδε] καὶ τόνδε F.Q. [g] τῶν om. S. [h] ἀργυρείοις] ἀργυρίοις A.S.r. [i] προεκαλεσάμην codices. προσεκαλεσάμην vulgo ante Reiskium. [k] ἐὰν om. F.Q. [l] ὃν] ὅσον F.Q. [m] ἐξῆχεν] ἐξῆχεν (with γ above) F. ἐξῆγεν in litura Q. ἐξήνεγκεν A.r. [n] τἄλλα] τὰ ἄλλα S. [o] ἀπὸ] ἐκ (with ἀπὸ above) F.

πόλλ' ἐκ τῶν ἔργων τῶν [p] ἀργυρείων ἐγὼ, Φαίνιππε, πρό-
τερον αὐτὸς τῷ ἐμαυτοῦ σώματι πονῶν καὶ ἐργαζόμενος 1045
συνελεξάμην· ὁμολογῶ. νυνὶ δὲ πλὴν ὀλίγων ἅπαντ'
ἀπολώλεκα. σὺ δ' ἐκ τῆς ἐσχατιᾶς [q] νῦν πωλῶν τὰς κρι-
θὰς ὀκτωκαιδεκαδράχμους καὶ τὸν οἶνον δωδεκάδραχμον,
πλουτεῖς εἰκότως, ἐπειδὰν ποιῇς σίτου μὲν μεδίμνους
[r] πλέον ἢ χιλίους, οἴνου δὲ [s] μετρήτας ὑπὲρ ὀκτακοσίους.
27 ἔτι οὖν τὴν αὐτὴν ἡμᾶς τάξιν ἔχειν δεῖ, μὴ τῆς αὐτῆς τύ-
χης ἡμῖν [t] παρακολουθούσης νῦν τε καὶ πρότερον; μηδα-
μῶς· οὐ γὰρ δίκαιον. ἀλλὰ διάδεξαι καὶ σὺ καὶ μετά-
λαβε μικρὸν χρόνον τῆς τοῦ [u] λειτουργοῦντος τάξεως,
ἐπειδὴ οἱ μὲν ἐν τοῖς ἔργοις ἠτυχήκασιν, ὑμεῖς δ' οἱ γεωρ-
28 γοῦντες [x] εὐπορεῖτε μᾶλλον ἢ προσῆκεν. ἱκανὸν γὰρ χρό-
νον δυ' οὐσίας καρπούμενος διατελεῖς, τὴν μὲν τοῦ φύσει
πατρὸς Καλλίππου, τὴν δὲ τοῦ ποιησαμένου [y] σε, Φιλο-
στράτου [z] τοῦ ῥήτορος, καὶ οὐδὲν πώποτε [a] τουτοισὶ πεποί-
ηκας. καίτοι ὁ μὲν ἐμὸς πατὴρ πέντε καὶ τετταράκοντα
μνῶν μόνων ἑκατέρῳ, ἐμοὶ καὶ τῷ ἀδελφῷ, τὴν οὐσίαν
29 κατέλιπεν, ἀφ' ἧς ζῆν οὐ ῥᾴδιόν ἐστιν· οἱ δὲ σοὶ πατέρες
τοσούτων ἦσαν κύριοι χρημάτων, ὥσθ' ἑκατέρου τρίπους
ἀνάκειται, νικησάντων αὐτῶν Διονύσια χορηγούντων. καὶ
οὐ φθονῶ· δεῖ γὰρ τοὺς εὐπόρους χρησίμους [b] αὐτοὺς παρ-
έχειν τοῖς πολίταις. σὺ τοίνυν δεῖξον χαλκοῦν [c] ἕνα μόνον
εἰς τὴν πόλιν [d] ἀνηλωκὼς, ὁ τὰς δύο λειτουργούσας οὐ-
30 σίας παρειληφώς. ἀλλ' οὐ δείξεις· ἀποκρύπτεσθαι γὰρ
καὶ διαδύεσθαι καὶ πάντα ποιεῖν ἐξ ὧν μὴ [e] λειτουργήσεις

[p] ἀργυρείων] ἀργυρίων A.S. [q] νῦν in marg. S. ab eadem manu, sed atramento alio. [r] πλέον A.r. Scribebatur πλεῖον. Fort. πλεῖν. πλέον libri omnes p. 1047, 28. 1048, 16. [s] μετρήτας] μετρητὰς A.r. [t] παρακολουθούσης] παρακολουθούσης (ησά supra) F. [u] λειτουργοῦντος] λειτουργοῦ F.Q. [x] εὐπορεῖτε] εὐφρονεῖτε A.r. [y] σε in γρ. F.Q. [z] τοῦ om. S. [a] τουτοισὶ] τούτοις S. [b] αὐτοὺς] ἑαυτοὺς A.r. [c] ἕνα] ἓν S. [d] ἀνηλωκὼς hic et paullo post A.S.r. Scribebatur ἀναλωκώς. [e] λειτουργήσεις] λειτουργήσῃς A.F.r.

τουτοισὶ μεμάθηκας. ἀλλ' ἐγὼ δείξω πόλλ' ἀνηλωκὼς,
ὁ τὴν μικρὰν οὐσίαν παραλαβὼν παρὰ τοῦ πατρός. πρῶ- 1046
τον δέ μοι τὸν νόμον ἐκεῖνον ἀνάγνωθι τὸν οὐκ ἐῶντα [f]*τῶν*
ἐν τοῖς ἔργοις οὐδὲν ἀποφαίνειν καὶ τὴν πρόκλησιν, ἔπειτα
τὰς μαρτυρίας [g]*ὡς δυ' οἴκων λειτουργούντων οὑτοσὶ Φαί-*
νιππος κεκληρονόμηκεν.

ΝΟΜΟΣ. [h]ΠΡΟΚΛΗΣΙΣ. ΜΑΡΤΥΡΙΑΙ.

31 *Ἓν μόνον ἄν τις ἔχοι δεῖξαι τουτονὶ Φαίνιππον πεφι-*
λοτιμημένον εἰς ὑμᾶς, [i]*ὦ ἄνδρες δικασταί· ἱπποτρόφος*
ἀγαθός ἐστι καὶ φιλότιμος, ἅτε νέος καὶ πλούσιος καὶ
ἰσχυρὸς ὤν. τί τούτου μέγα σημεῖον; ἀποδόμενος τὸν
πολεμιστήριον ἵππον καταβέβηκεν ἀπὸ τῶν [k]*ἵππων, καὶ*
ἀντ' ἐκείνου ὄχημα αὑτῷ τηλικοῦτος ὢν ἐώνηται, ἵνα μὴ
πεζῇ πορεύηται· τοσαύτης [l]*οὗτος τρυφῆς ἐστὶ μεστός.*
32 *καὶ τοῦτ' ἀπογέγραφέ μοι, τῶν δὲ κριθῶν καὶ τοῦ οἴνου*
καὶ τῶν ἄλλων τῶν ἐκ τῆς ἐσχατιᾶς γιγνομένων οὐδὲ
τὸ δέκατον μέρος. [m]*ἄξιον ἀφεῖναι νῦν αὐτόν ἐστιν, ἐπειδὴ*
[n]*χρήσιμος καὶ φιλότιμος καὶ τῇ οὐσίᾳ καὶ τῷ σώματι*
33 [o]*γέγονεν;* [p]*πολλοῦ γε καὶ δεῖ. καλῶν γὰρ κἀγαθῶν*
ἐστὶ δικαστῶν τοὺς μὲν τῶν πολιτῶν [q]*ἐθέλοντας, ὅταν*
εὐπορῶσι, λειτουργοῦντας καὶ ἐν τοῖς τριακοσίοις ὄντας
ἀναπαύειν, ὅταν τούτου δεόμενοι τυγχάνωσι, τοὺς δὲ νομί-
ζοντας [r]*ἀπολλύειν, ὅταν εἰς τὸ κοινόν τι δαπανήσωσιν,*
ἄγειν εἰς τοὺς προεισφέροντας καὶ μὴ ἐπιτρέπειν δραπε-
τεύειν. λέγε πρῶτον μὲν τὴν μαρτυρίαν, ἔπειτα τὴν ἀπό-
φασιν αὐτοῦ.

ΜΑΡΤΥΡΙΑ. ΑΠΟΦΑΣΙΣ.

34 *Ἔα ταῦτα. καίτοι πολλὰ τῶν ἔνδοθεν ἐκφορήσας, ὦ*

[f] *τῶν*] *τὸν* r. [g] *ὡς* om. A.r. [h] ΠΡΟΚΛΗΣΙΣ om. r. [i] *ὦ* om. S. [k] *ἵππων*] *ἱππέων* A.r. [l] *οὗτος τρυφῆς ἐστὶ μεστός*] *οὗτος τροφῆς ἐστὶ μεστός* S. *τρυφῆς μεστὸς οὗτός ἐστι* F.Q. [m] *ἄξιον* S. Legebatur *ἄξιόν γε.* [n] *χρήσιμος*] *χρήσιμός γε* F.Q. [o] *γέγονε* om. S. [p] *πολλοῦ γε καὶ δεῖ* om. r. [q] *ἐθέλοντας*] *ἐθελοντὰς* S. [r] *ἀπολλύειν*] *ἀπολύειν* r.

ἄνδρες δικασταὶ, Φαίνιππος, ἀνοίξας τὰ παρασεσημασμένα τῶν οἰκημάτων, ὡς ὑμῖν μεμαρτύρηται, καὶ κατα- 1047 λιπὼν ὅσα ἔδοξεν αὐτῷ, δευτέρῳ μηνὶ τὴν ἀπόφασιν ἔδωκέ μοι τῆς οὐσίας. ἀλλ' ὅμως ἔα ταῦτα. λέγε δ' [s]ἐντευθενὶ "ἐπὶ τούτοις τάδε ὀφείλω."

ΑΠΟΦΑΣΙΣ.

35 Ἐπίσχες. αὕτη ἐστὶν, ὦ ἄνδρες δικασταὶ, ἡ Ἀριστονόη [t]ἡ τοῦ Φιλοστράτου θυγάτηρ, μήτηρ δὲ τουτουί. ταύτῃ [u]χρέως φησὶν ὀφείλεσθαι Φαίνιππος τὴν προῖκα, ἧς οἱ νόμοι κύριον τοῦτον ποιοῦσι, ψευδόμενος καὶ οὐ [x]δικαίως
36 χρώμενος τῇ ἀποφάσει. διὰ τί γὰρ ἐγὼ, Φαίνιππε, μενούσης μοι τῆς μητρὸς ἐν τῷ οἴκῳ καὶ ζώσης καὶ προῖκα ἐπενεγκαμένης, οὐκ ἀπογράφω τὴν προῖκα χρέως [y]αὐτῇ οὐδὲ παρακρούομαι τοὺς δικαστὰς, ἀλλ' ἐῶ μετέχειν τῶν ἐμαυτοῦ τὴν μητέρα, ἄν τε τὴν Φαινίππου ἄν τε τὴν ἐμαυτοῦ ἔχω οὐσίαν; ὅτι οἱ νόμοι ταῦτα κελεύουσιν, ὦ βέλτιστε· σὺ δὲ πάντα ποιεῖς παρὰ τοὺς νόμους. [z]λέγ' ἕτερον.

ΑΠΟΦΑΣΙΣ.

37 Ἀκούετε, ὦ ἄνδρες δικασταί· Παμφίλῳ φησὶ καὶ [a]Φειδόλεῳ Ῥαμνουσίοις κοινῇ τάλαντον [b]ἐνοφείλειν καὶ Αἰαντίδῃ Φλυεῖ τετρακισχιλίας καὶ Ἀριστομένει Ἀναγυρασίῳ τέτταρας καὶ δέκα μνᾶς. διὰ τί [c]οὖν, Φαίνιππε, ὅτε μὲν ἐγὼ μάρτυρας ἔχων ἠρώτων σε εἴ τι [d]ὀφείλεις
38 ἐπὶ τῇ ἐσχατιᾷ, καὶ ἐκέλευον [e]δεῖξαι ὅρον εἴ που ἔπεστι, καὶ διεμαρτυρόμην ὅπως μή μοι ὕστερον κατεσκευασμένοι δανεισταὶ [f]φανήσονται, τότε μὲν οὐδὲν ἀπέφηνας τῶν

[s] ἐντευθενὶ] ἐντεῦθεν A. (cui ἐντευθενὶ per errorem tribuit Reisk.) et r. [t] ἡ om. A.S.r. [u] χρέως A. aliique hic et infra. χρέος vulgo. [x] δικαίως] δικαίαι F.Q. [y] αὐτῇ] αὐτὴν S. [z] λέγ' ἕτερον] λέγε δ' ἕτερον A.r. [a] φειδόλεῳ A.r. φιλόλεω F. Scribebatur Φιδόλεῳ (δ superscr.). [b] ἐνοφείλειν S. ἐν ὀφείλειν γρ. F.Q. ὀφείλειν vulgo. [c] οὖν om. S. [d] ὀφείλεις] ὀφείλοις A.r. [e] δεῖξαι ὅρον] ὅρον δεῖξαι A.r. [f] φανήσονται] φανήσωνται A.r.

χρεῶν, [g]ἐπειδὴ δὲ δευτέρῳ μηνὶ τὴν ἀπόφασιν ἔδωκάς μοι τοῦ νόμου κελεύοντος τριῶν ἡμερῶν, νῦν ἥκουσι δανεισταὶ
39 καὶ [h]ὀφειλήματα πλέον ἢ τριῶν ταλάντων; ὅτι, ὦ βέλτιστε, οὐδὲν ἄλλο κατασκευάζεις ἢ ὅσονπερ κοινῇ γέγονέ 1048 μοι πρὸς τὴν πόλιν ὄφλημα, [i]τοσοῦτο καὶ σοὶ ἰδίᾳ νῦν εἶναι. ὅτι δ', ὦ Φαίνιππε, [k]ψεύδει [l]καὶ ἐπιωρκηκὼς ἥκεις πρὸς τούτους, ἤδη φανερῶς [m]ἐλέγξω. λαβέ μοι, γραμματεῦ, τὴν τοῦ Αἰαντίδου καὶ [n]Θεοτέλους μαρτυρίαν, οἷς οὗτος ἀπογέγραφεν [o]ὀφείλονθ' αὐτὸν τετρακισχιλίας δραχμὰς ψευδόμενος καὶ πάλαι ἀποδεδωκὼς, οὐχ ἑκὼν ἀλλὰ δίκην [p]ὀφλών. λέγε.

ΜΑΡΤΥΡΙΑ.

40 Ἔπειτ', [q]ὦ ἄνδρες δικασταὶ, τὸν οὕτω καταφανῶς ἐν ἅπασιν ἀδίκως πεποιημένον τὴν ἀπόφασιν, καὶ μήτε τῶν νόμων φροντίσαντα μηδὲν, οἳ διωρίκασιν ἐν οἷς δεῖ τὴν ἀπόφασιν ποιεῖσθαι χρόνοις, μήτε τῶν ἰδίων ὁμολογιῶν,
41 ἃς ὁμοίως [r]ὑπολαμβάνομεν ἰσχυρὰς, χωρὶς δὲ τούτων [s]ἀνεῳχότα τὰ σημεῖα τῶν οἰκημάτων καὶ ἐκπεφορηκότα τὸν σῖτον καὶ τὸν οἶνον ἔνδοθεν, πρὸς δὲ τούτοις τὴν ὕλην τὴν τετμημένην πεπρακότα μετὰ τὴν ἀντίδοσιν, πλέον ἢ τριάκοντα μνῶν οὖσαν ἀξίαν, καὶ τὸ πάντων μέγιστον, χρέα ψευδῆ κατεσκευακότα τῆς ἀντιδόσεως ἕνεκα, τοῦτον
42 δικαίως ψηφιεῖσθε πεποιῆσθαι τὴν ἀπόφασιν; μηδαμῶς, ὦ ἄνδρες δικασταί. ποῖ γὰρ τραπέσθαι δεήσει διαμαρτόντα τῆς ὑμετέρας γνώμης, ὅταν οἱ πλούσιοι καὶ μηδὲν ὑμῖν πώποτε χρήσιμοι γεγενημένοι, [t]πολὺν καὶ σῖτον καὶ οἶνον ποιοῦντες καὶ τοῦτον τριπλασίας τιμῆς ἢ πρότερον

[g] ἐπειδὴ] ἐπεὶ A.r. [h] ὀφειλήματα S. Legebatur ὀφλήματα. [i] τοσοῦτο] τοσοῦτον F.Q. [k] ψεύδει] Scribebatur ψεύδῃ. ψευδῆ r. [l] καὶ om. r. [m] ἐλέγξω] γ' ἐξελέγξω A.r. [n] Θεοτέλους Schæferus. Scribebatur Θεοτελοῦς. Accentu caret S. [o] ὀφείλονθ' αὐτὸν] ὀφείλοντα αὐτὸν A.F.Q.r. [p] ὀφλών] ὄφλων vulgo. [q] ὦ om. S. [r] ὑπολαμβάνομεν] ἀπολαμβάνομεν S. [s] ἀνεῳχότα] ἀνεωγότα A.r. [t] πολὺν καὶ σῖτον] καὶ σῖτον πολὺν A r.

διατιθέμενοι, πλεονεκτῶσι παρ' ὑμῖν; [u] ὁ μηδαμῶς νυνὶ
43 γενέσθω, ἀλλ' ὥσπερ καὶ κοινῇ πᾶσι βεβοηθήκατε τοῖς
ἐν τοῖς [x] ἔργοις ἐργαζομένοις, οὕτω καὶ ἰδίᾳ βοηθήσατέ μοι
νῦν. καὶ γὰρ εἰ οἰκέτης ὑμῶν, μὴ πολίτης ἦν, ὁρῶντες ἂν 1049
μου τὴν φιλεργίαν καὶ τὴν εἰς ὑμᾶς εὔνοιαν, [y] ἀνεπαύσατ'
ἄν με τῶν ἀναλωμάτων καὶ ἐπὶ τὸν δραπετεύοντα τῶν
44 ἄλλων ἤλθετε. τὸν αὐτὸν τρόπον καὶ νῦν, ἐπειδὰν [z] ἀπο-
τίσω τὰ τρία τάλανθ' [a] ὑμῖν ἃ ὦφλον καὶ ἀναλάβω ἐμαυ-
τόν, πάλιν ἀναπαύσαντες τῶν τεταλαιπωρηκότων ἕτερον
ἐπ' ἐμὲ ἥξετε· νῦν δ' ἄφετε, ἱκετεύω πάντας ὑμᾶς, [b] ὦ
ἄνδρες δικασταί, καὶ τὰ δίκαια εἰρηκὼς δέομαι βοηθῆσαί
μοι καὶ μή [c] με περιελαθέντα περιιδεῖν ὑπὸ τούτων.

ΜΓ.

ΠΡΟΣ ΜΑΚΑΡΤΑΤΟΝ ΠΕΡΙ ΑΓΝΙΟΥ ΚΛΗΡΟΥ.

[d] ΥΠΟΘΕΣΙΣ.

Ἁγνίας καὶ Εὐβουλίδης ἦσαν ἀνεψιοί. τούτων δὲ Ἁγνίας ἐτελεύτησεν ἄπαις· ὁ δὲ Εὐβουλίδης θυγατέρα κατέλιπε Φυλομάχην, ἥτις ἐπεδικάζετο τοῦ κλήρου τοῦ Ἁγνίου ὡς οὖσα [e] ἐγγύτατα τῷ γένει. ἠμφισβήτουν δὲ αὐτῇ Γλαῦκός τις καὶ Γλαύκων, οὐκ ἀγχιστείᾳ γένους, ἀλλὰ διαθήκαις ἰσχυριζόμενοι. ὧν ἐν τῷ δικαστηρίῳ ψευδῶν ἐλεγχθεισῶν παραλαμβάνει τὸν κλῆρον ἡ Φυλομάχη. [f] εἰσιὼν δ' ὁ Θεόπομπος, αὐτούς τε τούτους [g] τοὺς ἡττωμένους παραλαβὼν καὶ πρὸς τούτοις Εὐπόλεμον, προσεκαλέσατο εἰς [h] διαδικασίαν τοῦ

[u] ὁ om. A.r. [x] ἔργοις om. A.r. [y] ἀνεπαύσατ'] ἐπαύσατ' F.Q. [z] ἀποτίσω] ἀποτεισω S. [a] ὑμῖν om. S. in γρ. habent F.Q. [b] ὦ om. S. [c] με om. A. [d] Argumentum a m. rec. habet S. [e] ἐγγύτατα F.S. Legebatur ἐγγυτάτω. [f] εἰσιὼν δ' Wolfius. εἴσον γὰρ F. εἰς ὃν γὰρ B. Legebatur εἶς ὢν γάρ. [g] τοὺς additum ex F.S. [h] διαδικασίαν] δικασίαν F.S.

κλήρου [i] τὴν Φυλομάχην· ἐδίδου γὰρ ὁ νόμος τῷ βουλομένῳ προσκαλεῖσθαι τὸν νενικηκότα καὶ ἔχοντα τὸν κλῆρον. κατασκευασθείσης δὲ πρὸς ἀπάτην τῆς δίκης, ὥς φησι Σωσίθεος, ἐνίκησεν ὁ Θεόπομπος. κἀκεῖνος μὲν ἐτελεύτησεν υἱὸν 1050
καταλιπὼν Μακάρτατον· τῇ δὲ Φυλομάχῃ γίγνεται παῖς, ὃν ὠνόμασεν Εὐβουλίδην καὶ εἰσεποίησεν υἱὸν Εὐβουλίδῃ τῷ ἑαυτῆς μὲν πατρί, ἀνεψιῷ δὲ Ἁγνίου τοῦ τὸν κλῆρον καταλελοιπότος. εἰσποιήσασα δὲ εἰσήγαγεν εἰς τοὺς [k] φράτερας τοῦ Εὐβουλίδου καὶ Ἁγνίου, καὶ οἱ φράτερες ἐδέξαντο ὡς δικαίως εἰσαγόμενον. τούτων δὲ πραχθέντων ὁ παῖς εἰς διαδικασίαν τοῦ κλήρου προσκέκληται Μακάρτατον τὸν υἱὸν τοῦ Θεοπόμπου. καὶ λέγει τὸν λόγον Σωσίθεος ὁ φύσει πατὴρ τοῦ παιδός.

ΕΠΕΙΔΗ καὶ πρότερον ἀγῶνες ἐγένοντο ἡμῖν, ὦ ἄνδρες δικασταί, πρὸς τοὺς αὐτοὺς τούτους περὶ τοῦ κλήρου τοῦ Ἁγνίου, καὶ οὐδὲν παύονται παρανομοῦντες καὶ βιαζόμενοι, ὥστ' ἐκ παντὸς τρόπου τὰ μὴ προσήκονθ' ἑαυτοῖς ἔχειν, ἀνάγκη ἴσως ἐστὶ τὰ πραχθέντ' ἐξ ἀρχῆς διηγήσασθαι· ὑμεῖς τε γάρ, ὦ ἄνδρες δικασταί, [l] ῥᾷον παρακο-
2 λουθήσετε ἅπασι τοῖς λεγομένοις, καὶ οὗτοι ἐπιδειχθήσονται οἷοί εἰσιν ἄνθρωποι, καὶ ὅτι πάλαι ἤδη ἀρξάμενοι οὐδὲν παύονται κακοτεχνοῦντες καὶ οἰόμενοι δεῖν διαπράττεσθαι ὅ τι ἂν ἐπέλθῃ [m] τούτοις. δεόμεθα οὖν ὑμῶν, ὦ ἄνδρες δικασταί, εὐνοϊκῶς [n] ἀκροάσασθαι τῶν λεγομένων 1051
καὶ παρακολουθεῖν προσέχοντας τὸν νοῦν. πειράσομαι δὲ κἀγὼ διδάσκειν [o] ὑμᾶς ὡς ἂν οἷός τε ὦ [p] σαφέστατα περὶ τῶν πεπραγμένων.

3 [q] Τουτουὶ γὰρ τοῦ παιδὸς ἡ μήτηρ, ὦ ἄνδρες δικασταί, γένει οὖσα ἐγγυτάτω Ἁγνίᾳ τῷ ἐξ Οἴου, ἐπεδικάσατο τοῦ κλήρου τοῦ Ἁγνίου κατὰ τοὺς νόμους τοὺς ὑμετέρους· καὶ τῶν τότε ἀμφισβητησάντων αὐτῇ τοῦ κλήρου τουτουί, γένει μὲν ὡς ἐγγυτέρω τις εἴη αὐτῶν τῆς γυναικός, οὐδ'

[i] *τὴν Φυλομάχην*] *τῆς φυλο* (μχ) S. [k] *φράτερας—φράτερες* F. Legebatur *φράτορας—φράτορες*. In S. utrobique *φρα* (τρ). [l] *ῥᾷον—ἅπασι*] *ῥᾴδιον—πᾶσι* A.r. [m] *τούτοις*] *αὐτοῖς* Dobræus. [n] *ἀκροάσασθαι* codices. *ἀκροᾶσθαι* vulgo. [o] *ὑμᾶς* om. S. [p] *σαφέστατα περὶ τῶν πεπραγμένων*] *περὶ τῶν πεπραγμένων σαφέστατα* A.r. [q] *Τουτουὶ*] *τούτου* A.r.

ἐπεχείρησεν οὐδεὶς ἀντομόσαι ([r]ὡμολογεῖτο γὰρ παρὰ
πάντων τῆς γυναικὸς εἶναι ἡ κληρονομία κατὰ τὴν ἀγχι-
4 στείαν), διαθήκας δὲ ψευδεῖς ἧκον κατασκευάσαντες
Γλαῦκός τε ὁ ἐξ Οἴου καὶ Γλαύκων ὁ ἀδελφὸς αὐτοῦ,
καὶ Θεόπομπος ὁ [s]τουτουὶ πατὴρ Μακαρτάτου [t]ἐκείνοις
συγκατεσκεύαζεν ἅπαντα ταῦτα καὶ ἐμαρτύρει τὰς πλεί-
στας μαρτυρίας. αἱ δὲ διαθῆκαι, ἃς τότε παρέσχοντο,
ἐξηλέγχθησαν ψευδεῖς οὖσαι· καὶ οὐ μόνον ἡττήθησαν,
ἀλλὰ καὶ πονηρότατοι δόξαντες εἶναι ἀπηλλάττοντο ἀπὸ
5 τοῦ δικαστηρίου. καὶ ἐπιδημῶν τότε Θεόπομπος ὁ του-
τουὶ πατὴρ Μακαρτάτου, [u]τοῦ κήρυκος κηρύττοντος, εἴ
τις ἀμφισβητεῖν ἢ παρακαταβάλλειν βούλεται τοῦ κλή-
ρου τοῦ Ἁγνίου ἢ κατὰ γένος ἢ κατὰ διαθήκας, οὐκ ἐτόλ-
μησε [x]παρακαταβαλεῖν, ἀλλ' αὐτὸς ἑαυτῷ ἐδίκασεν ὅτι
οὐδαμόθεν αὐτῷ [y]προσῆκεν [z]οὐδὲν τοῦ κλήρου τοῦ Ἁγνίου.
6 ἐχούσης δὲ τῆς μητρὸς τοῦ παιδὸς [a]τουτουὶ τὸν κλῆρον,
ἐπειδὴ ἐνίκησεν ἐν τῷ δικαστηρίῳ ἅπαντας τοὺς ἀμφισ-
βητήσαντας ἑαυτῇ, οὕτως εἰσὶ μιαροὶ οὗτοι, [b]καὶ οὐκ οἴον-
ται δεῖν οὔτε τοῖς νόμοις τοῖς ὑμετέροις πείθεσθαι οὔτε τοῖς 1052
γνωσθεῖσιν ἐν τῷ δικαστηρίῳ, ἀλλὰ πάντα τρόπον ἐπι-
χειροῦντες [c]ἀφελέσθαι πάλιν τὴν γυναῖκα τὸν κλῆρον ὃν
7 ὑμεῖς αὐτῇ ἐψηφίσασθε, [d]συνομόσαντες καὶ συνθήκας
γράψαντες πρὸς ἀλλήλους καὶ καταθέμενοι [e]παρὰ Μη-
δείῳ Ἁγνουσίῳ, Θεόπομπος ὁ τουτουὶ πατὴρ [f]Μακαρτά-
του καὶ Γλαύκων καὶ Γλαῦκος ὁ ἡττηθεὶς τὸ πρότερον,
καὶ ἕτερόν τινα τῶν ἐπιτηδείων [g]τέταρτον προσλαβόντες

[r] ὡμολογεῖτο] ὡμολόγητο A.r. [s] τουτουὶ] τούτου F.S.Q. [t] ἐκείνοις A.S. Legebatur ὃς ἐκείνοις. [u] τοῦ A.r. Legebatur καὶ τοῦ. [x] παρακαταβαλεῖν] Falsum est quod Reiskius refert in B. παρακαταβάλλειν legi. [y] προσῆκεν οὐδὲν] προσῆκον A.r. [z] οὐδὲν om. A. [a] τουτουὶ] τούτου A.r. [b] καὶ] ὥστ' Schæferus. [c] ἀφελέσθαι] ἀπολέσθαι r. [d] συνομόσαντες] ὥστε συνομόσαντες A.r. [e] παρὰ Μηδείῳ Ἁγνουσίῳ] παρειλίωι γνουσίωι A. παρ' ἀλίω γνουσίω r. παρ' Ἠλείῳ Ἁγνουσίῳ conjecit Reiskius. [f] Μακαρτάτου] μακαρτάτου τε A.r. [g] τέταρτον om. A.r.

(Εὐπόλεμος ἦν αὐτῷ ὄνομα), οὗτοι [h]ἅπαντες κοινῇ ἐπι-
βουλεύσαντες προσεκαλέσαντο τὴν γυναῖκα πρὸς τὸν ἄρ-
χοντα εἰς διαδικασίαν [i]τοῦ κλήρου τοῦ Ἁγνίου, φάσκοντες
τὸν νόμον κελεύειν παρὰ τοῦ ἐπιδεδικασμένου καὶ ἔχοντος
τὸν κλῆρον [k]προσκαλεῖσθαι, ἐάν τις βούληται ἀμφισβη-
8 τεῖν. καὶ ἐπειδὴ ἦγεν ὁ ἄρχων εἰς τὸ δικαστήριον καὶ ἔδει
[l]ἀγωνίζεσθαι, τά τε ἄλλα ἦν αὐτοῖς ἅπαντα [m]κατεσκευ-
ασμένα εἰς τὸν ἀγῶνα, καὶ τὸ ὕδωρ, πρὸς ὃ ἔδει ἀγωνί-
ζεσθαι, τετραπλάσιον ἡμῶν ἔλαβον. ἐξ ἀνάγκης γὰρ ἦν,
ὦ ἄνδρες δικασταί, τῷ ἄρχοντι ἀμφορέα ἑκάστῳ ἐγχέαι
τῶν ἀμφισβητούντων, καὶ τρεῖς [n]χόας τῷ ὑστέρῳ λόγῳ.
9 ὥστε συνέβαινεν ἐμοὶ τῷ ὑπὲρ τῆς γυναικὸς ἀγωνιζομένῳ,
μὴ ὅτι περὶ τοῦ γένους καὶ τῶν ἄλλων ὧν μοι προσῆκε
διηγήσασθαι τοῖς δικασταῖς [o]ὡς ἐγὼ ἠβουλόμην, ἀλλ᾽ οὐδ᾽
ἀπολογήσασθαί μοι ἐξεγένετο οὐδὲ πολλοστὸν μέρος ὧν
κατεψεύδοντο ἡμῶν· πέμπτον γὰρ μέρος εἶχον τοῦ ὕδα-
τος. καὶ τὸ σόφισμα ἦν τοῦτο, αὐτοὺς μὲν ἑαυτοῖς συν-
αγωνίζεσθαι καὶ ὁμολογεῖν ἅπαντα, περὶ ἡμῶν δὲ λέγειν 1053
10 τὰ οὐδεπώποτε γενόμενα. καὶ τοῦτον τὸν τρόπον ἐπιβου-
λευσάντων καὶ συναγωνιζομένων ἀλλήλοις ἐφ᾽ ἡμᾶς, [p]κα-
δίσκων τεττάρων τεθέντων κατὰ τὸν νόμον, εἰκότως, οἶμαι,
οἱ δικασταὶ ἐξηπατήθησαν καὶ ἐστασίασαν [q]ἀλλήλοις
καὶ παρακρουσθέντες ὑπὸ τῆς παρασκευῆς ἐψηφίζοντο ὅ
τι [r]ἔτυχεν ἕκαστος. καὶ αἱ ψῆφοι [s]ὀλίγαις πάνυ ἐγέ-
νοντο πλείους, [t]ἢ τρισὶν ἢ τέτταρσιν, ἐν τῷ Θεοπόμπου
[u]καδίσκῳ ἢ ἐν τῷ τῆς γυναικός.

[h] ἅπαντες] πάντες A.r. [i] τοῦ] περὶ τοῦ A.r. [k] προσκαλεῖσθαι] προκαλεῖσθαι S.Q. [l] ἀγωνίζεσθαι—ἀγωνίζεσθαι] ἀγωνίσασθαι—ἀγωνίσασθαι A.r. [m] κατεσκευασμένα] κατεσκευασμένα (παρ supra) F. παρεσκευασμένα Q. [n] χόας Wolfius. χοὰς A.B. aliique, ut opinor, et vulgo. [o] ὡς supra versum ab eadem manu S. [p] καδίσκων] καὶ δίσκων B.F.Q. et pr. S. [q] ἀλλήλοις] ἐν ἀλλήλοις A.r. [r] ἔτυχεν] τύχοι A.r. [s] ὀλίγαις] ὀλίγαι correctus S. [t] ἢ om. A.r. [u] καδίσκῳ] δίσκῳ B. et, ut opinor, F.Q.

11 Καὶ τότε μὲν ταῦτα, [x]ὦ ἄνδρες δικασταὶ, ἦν τὰ πρα-
χθέντα. ἐπειδὴ δ' οὑτοσὶ ὁ παῖς ἐγένετο καὶ ἐδόκει καιρὸς
εἶναι, οὐκ ὀργισθεὶς ἐγὼ τοῖς γενομένοις, ἀλλ' ἡγούμενος
εἰκός τι παθεῖν τοὺς τότε δικάζοντας [y]εἰσήγαγον εἰς τοὺς
[z]φράτερας τοὺς τοῦ Ἁγνίου [a]Εὐβουλίδῃ τὸν παῖδα [b]του-
τονὶ, ἐκ τῆς θυγατρὸς [c]ὄντα τῆς ἐκείνου, ἵνα μὴ ἐξερημωθῇ
12 ὁ οἶκος. ἐκεῖνος γὰρ, ὦ ἄνδρες δικασταὶ, ὁ Εὐβουλίδης,
ὁ τῷ Ἁγνίᾳ γένει ὢν ἐγγυτάτω, μάλιστα μὲν [d]εὔχετο
τοῖς θεοῖς υἱὸν αὑτῷ γενέσθαι, ὥσπερ καὶ ἡ θυγάτηρ ἡ
τουτουὶ μήτηρ τοῦ παιδὸς αὐτῷ ἐγένετο· ἐπειδὴ δὲ τούτου
13 ἀπέτυχε καὶ οὐκ ἐγένετο [e]παῖς ἄρρην αὐτῷ οὐδὲ εἷς, μετὰ
ταῦτ' ἤδη ἐσπούδαζεν ὅπως ἐκ τῆς θυγατρὸς εἰσποιηθῇ
αὑτῷ υἱὸς εἰς τὸν οἶκον τὸν ἑαυτοῦ καὶ [f]τὸν Ἁγνίου, καὶ
εἰς τοὺς φράτερας [g]εἰσαχθῇ τοὺς ἐκείνου, ἡγούμενος, ὦ
ἄνδρες δικασταὶ, ἐκ τῶν ὑπολοίπων [h]τοῦτον εἶναι ἑαυτῷ
οἰκειότατον, καὶ οὕτως ἂν μάλιστα τὸν οἶκον τὸν [i]ἑαυτῶν
14 διασώζεσθαι καὶ οὐκ ἂν ἐξερημωθῆναι. καὶ ἐγὼ ταῦτα
ὑπηρέτησ' αὐτῷ, ὁ τὴν Εὐβουλίδου θυγατέρα ἔχων ἐπιδι-
κασάμενος [k]ὡς γένει ὢν ἐγγυτάτω, καὶ [l]εἰσήγαγον τὸν
παῖδα τουτονὶ εἰς τοὺς [m]Ἁγνίου καὶ Εὐβουλίδου φράτε- 1054
ρας, μεθ' ὧν καὶ Θεόπομπος ὁ τουτουὶ πατὴρ Μακαρτά-
του, ἕως ἔζη, [n]ἐφρατρίαζε καὶ αὐτὸς οὗτος. καὶ οἱ φρά-
τερες, ὦ ἄνδρες δικασταὶ, [o]οἱ τουτουὶ Μακαρτάτου, οἱ
15 ἄριστα εἰδότες περὶ τοῦ γένους, ὁρῶντες αὐτὸν μὲν τοῦτον
[p]οὐκ ἐθέλοντα κινδυνεύειν οὐδ' ἀπάγοντα [q]τὸ ἱερεῖον ἀπὸ

[x] ὦ ἄνδρες δικασταὶ, ἦν τὰ πραχθέντα] ἦν τὰ πραχθέντα ὦ (δ superscr.) A. ἦν τὰ πραχθέντα ὦ ἄνδρες δικασταί r. [y] εἰσήγαγον] εἰσῆγον A.r. [z] φράτερας] Libri φράτορας. Correxi pariter p. 1053, 23. 1054, 1. 4. 14. Intactum librarii reliquerunt nominativum φράτηρ p. 1061, 11. [a] Εὐβουλίδῃ Dobræus. Legebatur Εὐβουλίδην. [b] τουτονὶ] τουτουὶ A.r. [c] ὄντα om. B.S. in γρ. habet Q. [d] εὔχετο] εὔχεται S.Q. [e] παῖς ἄρρην] ἄρρην παῖς A.r. [f] τὸν] τοῦ F.r. [g] εἰσαχθῇ] εἰσαχθείη A.r. [h] τοῦτον] τοῦτο S.Q. [i] ἑαυτῶν] ἑαυτοῦ A. [k] ὡς om. A.r. [l] εἰσήγαγον] εἰσῆγον A.r. [m] Ἁγνίου καὶ Εὐβουλίδου] Εὐβουλίδου καὶ Ἁγνίου A.r. [n] ἐφρατρίαζε] ἐφατρίαζε S.Q. ἐφράτριζε r. ἐφράτριζεν A. [o] οἱ τουτουὶ om. A.r. [p] οὐκ ἐθέλοντα] οὐ θέλοντα F.S.Q. [q] τὸ om. A.

τοῦ βωμοῦ, εἰ μὴ προσηκόντως [r] εἰσήγετο ὁ παῖς οὑτοσὶ,
αὐτοὺς δ' ἀξιοῦντα ἐπιορκεῖν, λαβόντες τὴν ψῆφον [s] καο-
μένων τῶν ἱερείων, ἀπὸ τοῦ βωμοῦ φέροντες τοῦ Διὸς τοῦ
[t] φρατρίου, παρόντος τουτουὶ Μακαρτάτου, ἐψηφίσαντο
τὰ δίκαια, ὦ ἄνδρες δικασταὶ, ὀρθῶς καὶ προσηκόντως
τὸν παῖδα τουτονὶ εἰσάγεσθαι Εὐβουλίδῃ υἱὸν εἰς τὸν οἶκον
16 [u] τὸν Ἁγνίου. ψηφισαμένων δὲ ταῦτα τῶν φρατέρων [x] τῶν
τουτουὶ Μακαρτάτου υἱὸς ὢν Εὐβουλίδου ὁ παῖς οὑτοσὶ
προσεκαλέσατο Μακάρτατον τοῦ κλήρου τοῦ Ἁγνίου εἰς
διαδικασίαν, καὶ ἔλαχε πρὸς τὸν ἄρχοντα, κύριον ἐπιγρα-
ψάμενος τὸν [y] ἀδελφὸν τὸν ἑαυτοῦ· ἐμοὶ γὰρ οὐκέτι οἷόν τ'
ἦν, ὦ ἄνδρες δικασταὶ, κυρίῳ ἐπιγεγράφθαι, εἰσπεποιη-
17 κότι τὸν παῖδα εἰς τὸν οἶκον τὸν Εὐβουλίδου. καὶ ἡ
[z] πρόσκλησις ἐγένετο τῷ παιδὶ τούτῳ κατὰ τὸν νόμον,
καθ' ὅνπερ καὶ οὗτοι προσεκαλέσαντο τὴν τουτουὶ μητέρα,
τὴν νενικηκυῖαν πρότερον ἐν τῷ δικαστηρίῳ καὶ ἔχουσαν
τὸν κλῆρον τὸν Ἁγνίου. καί μοι ἀνάγνωθι τὸν νόμον, καθ'
ὃν ἡ [a] πρόσκλησίς ἐστι παρὰ τοῦ ἔχοντος τὸν κλῆρον.

ΝΟΜΟΣ.

18 [b] Ἐὰν δ' ἐπιδεδικασμένου ἀμφισβητῇ τοῦ κλήρου ἢ τῆς ἐπικλήρου, προσκαλείσθω τὸν ἐπιδεδικασμένον πρὸς τὸν ἄρχοντα, καθάπερ ἐπὶ τῶν ἄλλων δικῶν· παρακαταβολὰς δ' εἶναι τῷ ἀμφισβητοῦντι. ἐὰν δὲ μὴ [c] προσκαλεσάμενος ἐπιδικάσηται, ἀτελὴς ἔσται ἡ ἐπιδι- 1055
κασία τοῦ κλήρου. ἐὰν δὲ μὴ ζῇ ὁ ἐπιδικασάμενος τοῦ κλήρου, προσκαλείσθω κατὰ ταὐτὰ, [d] ᾧ ἡ προθεσμία μήπω [e] ἐξήκῃ· τὴν δ' ἀμφισβήτησιν εἶναι τῷ [f] ἔχοντι, καθότι ἐπεδικάσατο οὗ ἂν ἔχῃ τὰ χρήματα.

19 Τοῦ μὲν νόμου ἀκηκόατε, δέομαι δ' ὑμῶν δικαίαν δέησιν, ὦ ἄνδρες δικασταί. ἐὰν [g] γὰρ ἐπιδείξω Θεοπόμπου

[r] εἰσήγετο—οὑτοσὶ] προσήγετο—οὗτος A.r. [s] καομένων] Scribebatur καιομένων. [t] φρατρίου] φατρίου A.Q. [u] τὸν] τοῦ A.r. [x] τῶν om. F.S.Q.r.: habet A. [y] ἀδελφὸν] υἱὸν r. [z] πρόσκλησις A.r. πρόκλησις F.S.Q. [a] πρόσκλησις Reiskius. πρόκλησις libri. [b] Legem om. F.S.Q. [c] προσκαλεσάμενος] προκαλεσάμενος A. [d] ᾧ] Fort. ᾧ ἂν. [e] ἐξήκῃ A.r. ἐξήκει vulgo. [f] ἔχοντι Bunsen. in Disquis. de jure heredit. Athen. p. 93. Legebatur ἄρχοντι. [g] γὰρ om. A.r.

τοῦ πατρὸς τοῦ Μακαρτάτου γένει ὄντας [h] Ἁγνίᾳ ἐγγυτέρω Εὐβουλίδην [i] τὸν παῖδα τουτονὶ καὶ Φυλομάχην, ἥ ἐστι μήτηρ τῷ παιδὶ, Εὐβουλίδου δὲ θυγάτηρ, καὶ οὐ μόνον γένει [k] ἐγγυτάτω ὄντας, ἀλλὰ τὸ παράπαν οὐδὲ ὄντα οὐδένα [l] ἀνθρώπων ἐν τῷ οἴκῳ [m] τῷ Ἁγνίου ἄλλον ἢ τὴν μητέρα τοῦ παιδὸς τουτουὶ καὶ αὐτὸν [n] τοῦτον τὸν παῖδα, ταῦτ᾽ ἐὰν ἐπιδείξω, δέομαι [o] ὑμῶν, ὦ ἄνδρες δικασταὶ, βοηθεῖν ἡμῖν.

20 Τὸ μὲν οὖν πρῶτον διενοήθην, ὦ ἄνδρες δικασταὶ, γράψας ἐν πίνακι ἅπαντας τοὺς συγγενεῖς [p] τοὺς Ἁγνίου, οὕτως ἐπιδεικνύειν ὑμῖν καθ᾽ ἕκαστον· [q] ἐπειδὴ δ᾽ ἐδόκει οὐκ εἶναι ἐξ ἴσου ἡ θεωρία [r] ἅπασι τοῖς δικασταῖς, ἀλλ᾽ οἱ πόρρω καθήμενοι ἀπολείπεσθαι, ἀναγκαῖον ἴσως [s] ἐστὶ τῷ λόγῳ διδάσκειν ὑμᾶς· τοῦτο γὰρ ἅπασι κοινόν ἐστιν. πειρασόμεθα δὲ καὶ ἡμεῖς ὡς ἂν μάλιστα δυνώμεθα διὰ βραχυτάτων ἐπιδεῖξαι περὶ τοῦ γένους τοῦ Ἁγνίου.

21 Βούσελος γὰρ ἦν ἐξ Οἴου, ὦ ἄνδρες δικασταὶ, καὶ τούτῳ ἐγένοντο πέντε υἱεῖς, Ἁγνίας καὶ Εὐβουλίδης καὶ [t] Στρατίος καὶ Ἅβρων καὶ [u] Κλεόκριτος. καὶ οὗτοι ἅπαντες οἱ τοῦ Βουσέλου υἱεῖς ἄνδρες ἐγένοντο, καὶ διένειμεν αὐτοῖς τὴν οὐσίαν ὁ πατὴρ [x] ὁ Βούσελος ἅπασι καλῶς
22 καὶ δικαίως, ὥσπερ προσῆκεν. νειμάμενοι δὲ τὴν οὐσίαν, γυναῖκα [y] αὐτῶν ἕκαστος ἔγημε κατὰ τοὺς νόμους τοὺς 1056
ὑμετέρους, καὶ παῖδες [z] ἐγένοντο αὐτοῖς ἅπασι καὶ παίδων παῖδες, καὶ ἐγένοντο πέντε οἶκοι ἐκ τοῦ Βουσέλου οἴκου ἑνὸς ὄντος, καὶ χωρὶς ἕκαστος ᾤκει τὸν [a] ἑαυτοῦ

[h] Ἁγνίᾳ ἐγγυτέρω] ἐγγυτέρω ἁγνία Α.r. [i] τὸν] δὲ τὸν A.S.Q.r. καὶ τὸν Dobræus. [k] ἐγγυτάτω ὄντας] ὄντας ἐγγυτάτω Α.r. [l] ἀνθρώπων] ἄνθρωπον F. [m] τῷ A.S. τῶι[οῦ] F. τοῦ Q.r. [n] τοῦτον τὸν παῖδα] τὸν παῖδα τοῦτον A.r. [o] ὑμῶν] δ᾽ ὑμῶν Q. [p] τοὺς] τοῦ A.r. [q] ἐπειδὴ] ἐπεὶ r. [r] ἅπασι] πᾶσι A.r. [s] ἐστὶ om. A.r. [t] Στρατίος A. hic et infra. Scribebatur Στράτιος. [u] Κλεόκριτος—ἅπαντες] κλεότριτος—πάντες A.r. [x] ὁ om. F.S.Q. [y] αὐτῶν ἕκαστος] ἕκαστος αὐτῶν A.r. [z] ἐγένοντο αὐτοῖς] αὐτοῖς ἐγένοντο A r. [a] ἑαυτοῦ] ἑαυτοῦ οἶκον A.r.

23 ἔχων καὶ [b] ἐκγόνους ἑαυτοῦ ποιούμενος. περὶ μὲν οὖν
τῶν τριῶν ἀδελφῶν τῶν τοῦ Βουσέλου υἱέων, καὶ τῶν ἐκ-
γόνων [c] τῶν τούτοις γενομένων, [d] τί ἂν ἐγὼ ὑμῖν, ὦ ἄνδρες
δικασταί, πράγματα παρέχοιμι ἢ ἐμαυτῷ, ἐξηγούμενος
περὶ ἑκάστου; ὄντες γὰρ ἐν [e] ταὐτῷ γένει Θεοπόμπῳ καὶ
24 προσήκοντες ὁμοίως τῷ Ἁγνίᾳ, οὗ ἐστιν ὁ κλῆρος, οὐδεὶς
αὐτῶν οὔτε πρότερον πώποτ' οὔτε νῦν ἠνώχλησεν ἡμῖν,
[f] οὐδ' [g] ἠμφεσβήτησεν οὔτε τοῦ κλήρου τοῦ Ἁγνίου οὔτε τῆς
γυναικὸς τῆς ἐπικλήρου, ἣν ἐγὼ ἔχω ἐπιδικασάμενος, ἡγού-
μενοι οὐδ' ὁτιοῦν προσήκειν ἑαυτοῖς οὐδενὸς τῶν Ἁγνίου.
25 περίεργον δή μοι δοκεῖ εἶναι λέγειν [h] τι περὶ τούτων, πλὴν
[i] ὅσ' ἐξ ἀνάγκης ἐστὶν ἐπιμνησθῆναι. περὶ δὲ Θεοπόμπου
τοῦ πατρὸς τοῦ Μακαρτάτου καὶ αὐτοῦ [k] τουτουὶ Μακαρ-
τάτου, περὶ τούτων μοί ἐστιν ἐξ ἀνάγκης λέγειν. ἔστι δὲ
26 βραχὺς ὁ λόγος, ὦ ἄνδρες δικασταί. ὥσπερ γὰρ [l] ὀλί-
γον τι πρότερον ἀκηκόατε ὅτι τῷ Βουσέλῳ πέντε υἱεῖς
[m] ἐγένοντο, τούτων εἷς ἦν Στρατίος ὁ [n] τουτουὶ πρόγονος
[o] Μακαρτάτου, καὶ ἕτερος Ἁγνίας ὁ τουτουὶ πρόγονος τοῦ
παιδός. ἐγένετο δὴ υἱὸς τῷ Ἁγνίᾳ Πολέμων καὶ θυγάτηρ
Φυλομάχη, ἀδελφὴ τοῦ Πολέμωνος ὁμοπατρία καὶ ὁμο-
μητρία· τοῦ δὲ Στρατίου ἐγένοντο τοῦ ἀδελφοῦ τοῦ Ἁγνίου
[p] Φανοστράτη καὶ Χαρίδημος ὁ τούτου πάππος Μακαρ-
27 τάτου. ἐρωτῶ [q] δὴ ὑμᾶς, ὦ ἄνδρες δικασταί, πότερος
[r] οἰκειότερός ἐστι [s] καὶ προσήκει μᾶλλον τῷ Ἁγνίᾳ, [t] ὁ 1057
υἱὸς ὁ Πολέμων καὶ ἡ θυγάτηρ [u] ἡ Φυλομάχη, ἢ Χαρίδη-
μος ὁ υἱὸς [x] ὁ Στρατίου, ἀδελφιδοῦς δ' Ἁγνίου; ἐγὼ μὲν
γὰρ ἡγοῦμαι τὸν υἱὸν καὶ τὴν θυγατέρα [y] οἰκειότερον εἶναι

[b] ἐκγόνους—ἐκγόνων] ἐγγόνους—ἐγγόνων F.S.Q. [c] τῶν om. F.S.Q. [d] τί ἂν] παν S. [e] ταὐτῷ] τῷ αὐτῷ B.S. [f] οὐδ'] οὔτε S. [g] ἠμφεσβήτησεν] ἠμφισβήτησεν A.F.Q.r. [h] τι om. A.r. [i] ὅσ' om. r. [k] τουτουὶ om. A.r. [l] ὀλίγον] ὀλίγῳ A.r. [m] ἐγένοντο] ἐγένετο r. [n] τουτουὶ] τούτου A.r. [o] Μακαρτάτου—πρόγονος om. A.r. [p] Φανοστράτη] φανόστρατος A.r. [q] δὴ] δ' A.r. [r] οἰκειότερός om. S. [s] καὶ om. Q. [t] ὁ υἱὸς ὁ] οὗτος F.S.Q. [u] ἡ om. A.r. [x] ὁ om. F.S.Q. [y] οἰκειότερον] οἰκειότατον F.S.Q.

ἑκάστῳ ἡμῶν μᾶλλον ἢ τὸν ἀδελφιδοῦν· καὶ οὐ μόνον παρ' ἡμῖν τοῦτο νενόμισται, ἀλλὰ καὶ παρὰ τοῖς ἄλλοις
28 ἅπασι καὶ Ἕλλησι καὶ βαρβάροις. ἐπειδὴ τοίνυν [z] τοῦθ' ὁμολογεῖται, ῥᾳδίως ἤδη τοῖς ἄλλοις, ὦ ἄνδρες δικασταὶ, παρακολουθήσετε, καὶ αἰσθήσεσθε τούτους ὅτι εἰσὶ βίαιοι καὶ ἀσελγεῖς ἄνθρωποι. τοῦ Πολέμωνος γὰρ τοῦ [a] υἱέος τοῦ Ἁγνίου ἐγένετο υἱὸς Ἁγνίας, [b] τὸ τοῦ πάππου τοῦ ἑαυτοῦ ὄνομ' ἔχων, τοῦ Ἁγνίου. καὶ οὗτος μὲν ἄπαις
29 ἐτελεύτησεν ὁ Ἁγνίας ὁ ὕστερος. τῆς Φυλομάχης δὲ τῆς ἀδελφῆς τῆς Πολέμωνος, καὶ Φιλάγρου, ᾧ [c] ἔδωκεν αὐτὴν ὁ ἀδελφὸς Πολέμων ἀνεψιῷ ὄντι ἑαυτοῦ (ὁ γὰρ Φίλαγρος [d] υἱὸς ἦν Εὐβουλίδου τοῦ ἀδελφοῦ τοῦ Ἁγνίου), τοῦ δὴ Φιλάγρου τοῦ ἀνεψιοῦ τοῦ Πολέμωνος καὶ τῆς Φυλομάχης [e] τῆς ἀδελφῆς τῆς Πολέμωνος ἐγένετο υἱὸς Εὐβουλίδης, ὁ πατὴρ [f] ὁ τῆς μητρὸς [g] τοῦ παιδὸς τουτουί. καὶ οὗτοι μὲν υἱεῖς ἐγένοντο Πολέμωνι καὶ τῇ ἀδελφῇ τῇ Πολέμωνος Φυλομάχῃ. τοῦ [h] δὲ Χαριδήμου [i] ἐγένετο, τοῦ υἱέος τοῦ Στρατίου, Θεόπομπος ὁ τουτουὶ πατὴρ Μακαρτάτου.
30 πάλιν [k] δὴ ἐρωτῶ, ὦ ἄνδρες δικασταὶ, [l] πότερος [m] οἰκειότερός ἐστι καὶ προσήκει μᾶλλον Ἁγνίᾳ τῷ πρώτῳ ἐκείνῳ, ὁ Πολέμωνος υἱὸς Ἁγνίας, καὶ Εὐβουλίδης ὁ Φυλομάχης υἱὸς καὶ Φιλάγρου, ἢ Θεόπομπος ὁ Χαριδήμου υἱὸς,
31 Στρατίου δὲ [n] υἱϊδοῦς; ἐγὼ μὲν γὰρ οἶμαι, ὦ ἄνδρες δικασταὶ, εἴπερ καὶ ὁ υἱὸς [o] οἰκειότατός ἐστι καὶ ἡ θυγάτηρ, πάλιν ὁ υἱϊδοῦς καὶ ὁ ἐκ τῆς θυγατρὸς υἱὸς, οὗτοι 1058
[p] οἰκειότεροί εἰσι μᾶλλον ἢ ὁ τοῦ ἀδελφιδοῦ υἱὸς καὶ ὁ

[z] τοῦθ'] τοῦτο B.S. [a] υἱέος] υἱέως A.B.F.r., non S.Q. Eodem modo infra l. 21. [b] τὸ om. F.S.Q. [c] ἔδωκεν αὐτὴν] αὐτὴν ἔδωκεν A.r. [d] υἱὸς] ἀδελφὸς F.S.Q. [e] τῆς ἀδελφῆς in margine a m. pr. S. [f] ὁ om. A.r. [g] τοῦ παιδὸς τουτουί] τούτου τοῦ παιδός A.r. [h] δὲ] οὖν r. [i] ἐγένετο] ἐγένοντο F.S.Q. [k] δὴ] δὲ F. [l] πότερος] πότερον A.S.r. [m] οἰκειότερός] οἰκειότερόν (s supra) F. οἰκειότερον S. [n] υἱϊδοῦς pr. A. υἱδοῦς F.Q.r. υἱδοὺς S. υἱϊδοῦς correctus A. et vulgo. Eadem scripturæ diversitas 1058, 1. [o] οἰκειότατός] οἰκειότατόν F.S.Q. [p] οἰκειότεροί] οἰκειότατοι A.r.

[q] ἐξ ἑτέρου ὢν οἴκου. τῷ [r] μὲν οὖν Θεοπόμπῳ ἐγένετο
32 υἱὸς Μακάρτατος [s] οὑτοσὶ, τῷ δὲ Εὐβουλίδῃ τῷ τῆς Φυλομάχης υἱεῖ, ἀνεψιῷ δ' Ἁγνίου ὄντι πρὸς [t] πατρὸς, [u] οὑτοσὶ ὁ παῖς, ἀνεψιοῦ παῖς ὢν Ἁγνίᾳ πρὸς πατρὸς, [x] ἐπειδὴ ἡ Φυλομάχη ἡ μήτηρ [y] ἡ Εὐβουλίδου καὶ ὁ Πολέμων ὁ πατὴρ ὁ Ἁγνίου ἀδελφοὶ ἦσαν ὁμοπάτριοι καὶ ὁμομήτριοι. τῷ δέ γε Μακαρτάτῳ [z] τῳδὶ, τῷ υἱεῖ [a] τῷ Θεοπόμπου, οὐδὲν ἐγένετο [b] ἔκγονον ὅ τι ἐστὶν ἐν τῷ
33 οἴκῳ τῷ τούτου καὶ τῷ Στρατίου. τούτων δ' οὕτως ἐχόντων τῷ μὲν παιδὶ τούτῳ ἐστὶν ὄνομα τῶν ἐν τῷ νόμῳ εἰρημένων, καὶ μέχρι ὧν ὁ νόμος κελεύει τὴν [c] ἀγχιστείαν εἶναι· ἀνεψιοῦ γὰρ Ἁγνίου παῖς ἐστίν· [d] ὁ γὰρ πατὴρ αὐτοῦ Εὐβουλίδης ἀνεψιὸς ἦν [e] Ἁγνίᾳ, οὗ ἐστὶν ὁ κλῆρος. ὁ δέ γε Θεόπομπος ὁ τουτουὶ πατὴρ Μακαρτάτου οὐκ ἂν εἶχεν ὄνομα θέσθαι [f] αὑτῷ τῶν ἐν τῷ νόμῳ εἰρημένων οὐδέν·
34 ἐξ ἑτέρου γὰρ οἴκου ἦν τοῦ Στρατίου. οὐ προσήκει [g] δὲ, ὦ ἄνδρες δικασταὶ, οὐδένα [h] ἀνθρώπων [i] ἔχειν τὸν κλῆρον τὸν Ἁγνίου ἐξ ἑτέρου οἴκου ὄντα, ἕως ἄν τις λείπηται τῶν γενομένων ἐν τῷ οἴκῳ τῷ Ἁγνίου, οὐδ' ἐκβάλλειν βίᾳ, ὅπερ οὗτοι διαπράττονται, γένει τε ἀπωτέρω ὄντες καὶ οὐκ ἐν τῷ αὐτῷ οἴκῳ. τοῦτο γάρ ἐστιν, ὦ ἄνδρες δικασταὶ, ᾧ παρεκρούσατο Θεόπομπος ὁ τουτουὶ πατὴρ Μα-
35 καρτάτου. τίνες οὖν [k] οἱ λοιποί; οἱ ἔτι νῦν ὄντες ἐν τῷ οἴκῳ [l] τῷ Ἁγνίου, Φυλομάχη τε ἡ ἐμὴ γυνὴ, Εὐβουλίδου [m] θυγάτηρ οὖσα τοῦ ἀνεψιοῦ τοῦ Ἁγνίου, καὶ οὑτοσὶ ὁ

[q] ἐξ om. A. [r] μὲν οὖν] τοίνυν A.r. [s] οὑτοσὶ om. A.r. [t] πατρὸς—ἐπειδὴ] Sic A.r., nisi quod post οὑτοσὶ ὁ παῖς inserunt υἱὸς Εὐβουλίδου, quæ delenda esse vidit Dobræus. Legebatur πατρὸς Εὐβουλίδου ἀνεψιοῦ παῖς ὢν Ἁγνίᾳ πρὸς πατρὸς οὑτοσὶ ὁ παῖς (verba οὑτοσὶ ὁ παῖς om. F.Q.), ἐπειδὴ—. [u] οὑτοσὶ—πρὸς πατρὸς om. S. [x] ἐπειδὴ] ἐπειδὴ δὲ S. [y] ἡ om. r.

[z] τῳδὶ, τῷ] τῷ τρίτῳ F.S.Q. [a] τῷ] τοῦ A.r. [b] ἔκγονον] ἔγκγονον F. ἔγγονον Q. [c] ἀγχιστείαν] ἀγχιστίαν pr. S. [d] ὁ] οὐ A. [e] Ἁγνίᾳ] ἁγνίαι F. ἁγνίου Q. [f] αὑτῷ] ἑαυτῷ A.r. [g] δὲ] δὴ A.r. [h] ἀνθρώπων codices. ἄνθρωπον vulgo. [i] ἔχειν τὸν κλῆρον] τὸν κλῆρον ἔχειν A.r. [k] οἱ S. Legebatur εἰσί. [l] τῷ om. A.r. [m] θυγάτηρ] δὲ θυγάτηρ F.S.Q.

παῖς ὁ εἰσηγμένος [n] υἱὸς εἰς τὸν οἶκον τὸν Εὐβουλίδου
36 καὶ Ἁγνίου. Θεόπομπος δ' ὁ τουτουὶ πατὴρ Μακαρ- 1059
τάτου, οὐκ ὢν τοῦ οἴκου τοῦ Ἁγνίου, ἐψεύσατο πρὸς
τοὺς δικαστὰς ὑπερμέγεθες ψεῦδος περί [o] τε τῆς Φυλο-
μάχης τῆς τοῦ Πολέμωνος ἀδελφῆς, τηθίδος δ' Ἁγνίου,
ὅτι οὐκ [p] ἦν τῷ Πολέμωνι τῷ τοῦ Ἁγνίου υἱεῖ ὁμοπατρία
καὶ ὁμομητρία ἀδελφὴ, καὶ πάλιν προσποιούμενος τοῦ
37 αὐτοῦ οἴκου εἶναι Ἁγνίᾳ, [q] ὁ οὐδεπώποτε γενόμενος. ταῦτα
δὲ πάντ' ἀδεῶς ἔλεγεν ὁ Θεόπομπος μάρτυρα μὲν οὐδένα
[r] παρασχόμενος, ὅστις ἔμελλεν ὑπεύθυνος ἡμῖν ἔσεσθαι,
συνομολογοῦντας δ' [s] ἑαυτῷ ἔχων τοὺς κοινωνοὺς, οἳ ἦσαν
ἀλλήλοις συναγωνισταὶ καὶ [t] ἅπαντα ἔπραττον κοινῇ,
ὅπως ἀφέλωνται τὴν γυναῖκα τὴν τουτουὶ μητέρα τοῦ
38 παιδὸς τὸν κλῆρον, ὃν [u] αὐτῇ ὑμεῖς ἐψηφίσασθε. βούλο-
μαι οὖν, ὦ ἄνδρες δικασταὶ, περὶ ὧν εἴρηκα πρὸς ὑμᾶς,
μαρτυρίας παρασχέσθαι, πρῶτον μὲν ὡς ἐνίκησε τοῦ κλή-
ρου τοῦ Ἁγνίου ἡ Εὐβουλίδου θυγάτηρ Φυλομάχη, γένει
οὖσα ἐγγυτάτω, ἔπειτα περὶ τῶν ἄλλων ἁπάντων. ἀνα-
γίγνωσκε τὴν μαρτυρίαν.

ΜΑΡΤΥΡΙΑ.

[x] Μαρτυροῦσι παρεῖναι πρὸς τῷ διαιτητῇ ἐπὶ Νικοφήμου ἄρχοντος, ὅτε ἐνίκησε Φυλομάχη ἡ Εὐβουλίδου θυγάτηρ τοῦ κλήρου τοῦ Ἁγνίου τοὺς ἀμφισβητοῦντας αὐτῇ πάντας.

39 Ὅτι μὲν [y] ἐνίκησε ἡ Εὐβουλίδου θυγάτηρ τοῦ κλήρου
τοῦ Ἁγνίου, ἀκηκόατε, ὦ ἄνδρες δικασταί. καὶ αὕτη
ἐνίκησεν οὐδεμιᾷ παρασκευῇ ἀδίκῳ οὐδὲ συνωμοσίᾳ, ἀλλ'
ὡς οἷόν τε δικαιότατα, ἐπιδειξάντων ἡμῶν ὅτι γένει
ἐγγυτάτω ἦν [z] Ἁγνίᾳ, οὗ ἐστὶν ὁ κλῆρος, ἀνεψιοῦ παῖς
οὖσα πρὸς πατρὸς καὶ ἐκ τοῦ οἴκου οὖσα [a] τοῦ Ἁγνίου.

[n] υἱὸς om. A.r. [o] τε om. A.r. [p] ἦν] εἴη A.r. [q] ὁ addidi ex S.Q. [r] παρασχόμενος F.S.Q. Legebatur παρεχόμενος. [s] ἑαυτῷ S. αὐτῷ vulgo. [t] πάντα A.r. δι' ἅπαντα F. δι' ἃ πάντα Q. δια παντα S. [u] αὐτῇ ὑμεῖς] ὑμεῖς αὐτῇ A.r. [x] Testimonium om. F.S.Q. [y] ἐνίκησε F.S.Q. Legebatur ἐνίκησε Φυλομάχη. [z] Ἁγνίᾳ] ἁγνίου A.r. [a] τοῦ om. F.Q.

40 [b] ἐπειδὰν οὖν λέγῃ Μακάρτατος ὅτι ἐνίκησεν [c] ὁ πατὴρ 1060
αὐτοῦ Θεόπομπος τοῦ κλήρου τούτου, [d] ὑπολαμβάνετε αὐτῷ
ὑμεῖς, ὦ ἄνδρες δικασταὶ, ὅτι καὶ ἡ γυνὴ ἐνίκησε πρότε-
ρον ἢ Θεόπομπος ὁ [e] τουτουὶ πατὴρ, καὶ ὅτι δικαίως ἐνί-
κησεν ἡ γυνὴ ἐκ τοῦ οἴκου οὖσα τοῦ Ἁγνίου, Εὐβουλίδου
θυγάτηρ οὖσα, τοῦ ἀνεψιοῦ τοῦ Ἁγνίου, ὁ δὲ Θεόπομπος
ὅτι [f] οὐκ ἐνίκησεν, ἀλλὰ παρεκρούσατο, οὐκ ὢν ἐκ τοῦ οἴ-
41 κου τὸ παράπαν [g] τοῦ Ἁγνίου. ταῦτα αὐτῷ ὑμεῖς, ὦ ἄν-
δρες δικασταὶ, ὑπολαμβάνετε, καὶ ὅτι τὸν παῖδα τουτονὶ
Εὐβουλίδην, τὸν Εὐβουλίδου υἱὸν, Ἁγνίου δ', οὗ ἐστὶν ὁ
κλῆρος, ἀνεψιοῦ παῖδα πρὸς πατρὸς, οὔτε Θεόπομπος ὁ
Μακαρτάτου πατὴρ οὔτ' [h] ἄλλος οὐδεὶς πώποτε ἀνθρώ-
πων ἐνίκησεν. [i] νυνὶ δ' ἐστὶν ὁ ἀγὼν καὶ ἡ διαδικασία
περὶ τοῦ κλήρου τοῦ Ἁγνίου τῷ Εὐβουλίδου υἱεῖ τούτῳ
42 καὶ Μακαρτάτῳ τούτῳ τῷ Θεοπόμπου υἱεῖ· καὶ ὁπότερος
τούτων δικαιότερα [j] λέγειν δόξει [k] καὶ κατὰ [l] τοὺς νόμους
μᾶλλον, δῆλον ὅτι τούτῳ ὑμεῖς οἱ δικασταὶ [m] προσθή-
σεσθε. ἀναγίγνωσκε [n] τὰς μαρτυρίας τὰς ὑπολοίπους,
πρῶτον μὲν ὅτι ἡ Φυλομάχη ἡ τοῦ Ἁγνίου τηθὶς ἀδελφὴ
ἦν ὁμοπατρία καὶ ὁμομητρία τῷ Πολέμωνι τῷ Ἁγνίου
πατρί· ἔπειτα τὰς ἄλλας ἁπάσας ἀναγνώσεται περὶ
τοῦ γένους.

43 ΜΑΡΤΥΡΙΑΙ.

[o] Μαρτυροῦσι δημόται εἶναι Φιλάγρῳ τῷ Εὐβουλίδου πατρὶ
καὶ Πολέμωνι τῷ πατρὶ [p] τῷ Ἁγνίου, καὶ εἰδέναι Φυλομάχην τὴν
μητέρα τὴν Εὐβουλίδου νομιζομένην ἀδελφὴν εἶναι Πολέμωνος τοῦ
πατρὸς τοῦ Ἁγνίου ὁμοπατρίαν καὶ ὁμομητρίαν, καὶ μηδενὸς πώ- 1061
ποτ' ἀκοῦσαι ὡς γένοιτο ἀδελφὸς Πολέμωνι [q] τῷ Ἁγνίου.

[b] ἐπειδὰν] καὶ ἐπειδὰν S. sed καὶ punctis notato a m. antiqua. [c] ὁ πατὴρ αὐτοῦ] αὐτοῦ ὁ πατὴρ A.r. [d] ὑπολαμβάνετε S. hic et l. 10. Legebatur utrobique ὑποβάλλετε. [e] τουτουὶ] τούτου A.r. [f] οὐκ om. A.r. [g] τοῦ om. A.r. [h] ἄλλος—πώποτε ἀνθρώπων] ἄλλών—ἀνθρωπων πῶποτ' A.r. [i] νυνὶ] νῦν F.Q. [j] λέγειν δόξει] λέγει F.S.Q. [k] καὶ om. S. [l] τοὺς om. F.S.Q. [m] προσθήσεσθε] προσθησθε S.Q. [n] τὰς μαρτυρίας τὰς] τοὺς μάρτυρας τοὺς A.r. Sic iidem libri p. 1218, 21. [o] Quinque quæ sequuntur testimonia om. F.S.Q. [p] τῷ r. τοῦ vulgo. [q] τῷ] τοῦ r.

44 [r]ΑΛΛΗ.

Μαρτυροῦσιν Οἰνάνθην, τὴν μητέρα τοῦ πάππου τοῦ ἑαυτῶν Στρατωνίδου, ἀνεψιὰν εἶναι ἐκ πατραδέλφων Πολέμωνι τῷ πατρὶ [s]τῷ Ἁγνίου, καὶ ἀκούειν τοῦ πατρὸς τοῦ ἑαυτῶν ὅτι Πολέμωνι ἀδελφὸς οὐδεὶς γένοιτο πώποτε, τῷ πατρὶ τῷ Ἁγνίου, ἀδελφὴ δὲ Φυλομάχη ὁμοπατρία καὶ ὁμομητρία, ἡ μήτηρ ἡ Εὐβουλίδου τοῦ πατρὸς τῆς Φυλομάχης τῆς Σωσιθέου γυναικός.

45 ΑΛΛΗ.

Μαρτυρεῖ συγγενὴς εἶναι καὶ [t]φράτηρ καὶ δημότης Ἁγνίᾳ καὶ Εὐβουλίδῃ, καὶ ἀκούειν τοῦ πατρὸς τοῦ ἑαυτῶν καὶ τῶν ἄλλων συγγενῶν ὅτι ἀδελφὸς οὐδεὶς ἐγένετο τῷ Πολέμωνι τῷ πατρὶ [u]τῷ Ἁγνίου, ἀδελφὴ δ' ὁμοπατρία καὶ ὁμομητρία Φυλομάχη ἡ μήτηρ ἡ Εὐβουλίδου τοῦ πατρὸς Φυλομάχης τῆς Σωσιθέου γυναικός.

46 ΑΛΛΗ.

Μαρτυρεῖ πάππον εἶναι ἑαυτοῦ [x]Ἀρχίμαχον καὶ ποιήσασθαι ἑαυτὸν υἱόν, καὶ εἶναι αὐτὸν συγγενῆ Πολέμωνι τῷ πατρὶ [y]τῷ Ἁγνίου, καὶ ἀκούειν Ἀρχιμάχου καὶ τῶν ἄλλων συγγενῶν ὅτι ἀδελφὸς οὐδεὶς πώποτ' ἐγένετο Πολέμωνι τῷ πατρὶ [z]τῷ Ἁγνίου, ἀδελφὴ δ' ὁμοπατρία καὶ ὁμομητρία Φυλομάχη ἡ μήτηρ ἡ Εὐβουλίδου τοῦ πατρὸς τῆς Φυλομάχης τῆς Σωσιθέου γυναικός.

47 ΑΛΛΗ.

Μαρτυρεῖ τὸν πατέρα τῆς ἑαυτοῦ γυναικὸς Καλλίστρατον ἀνεψιὸν εἶναι ἐκ πατραδέλφων Πολέμωνι τῷ πατρὶ [a]τῷ Ἁγνίου καὶ Χαριδήμῳ τῷ πατρὶ τῷ Θεοπόμπου, τὴν δὲ μητέρα τὴν ἑαυτοῦ ἀνεψιοῦ παῖδα εἶναι Πολέμωνι, καὶ λέγειν τὴν μητέρα τὴν αὐτῶν πρὸς αὐτοὺς πολλάκις ὅτι Φυλομάχη ἡ μήτηρ ἡ Εὐβουλίδου ἀδελ- 1062
φὴ ἦν Πολέμωνος τοῦ πατρὸς τοῦ Ἁγνίου ὁμοπατρία καὶ ὁμομητρία, καὶ ὅτι ἀδελφὸς οὐδεὶς πώποτε γένοιτο Πολέμωνι τῷ πατρὶ τῷ Ἁγνίου.

48 Τὸ πρότερον, ὦ ἄνδρες δικασταί, ὅτε συνώμοσαν ἀλλήλοις οὗτοι καὶ [b]συστάντες ἠγωνίζοντο πολλοὶ ὄντες πρὸς τὴν γυναῖκα, ἡμεῖς μέν, ὦ ἄνδρες δικασταί, οὔτε μαρτυ-

[r] ΑΛΛΗ] ἑτέρα r. hic et in reliquis testimoniis. Vulgatum est in A. [s] τῷ] Legebatur τοῦ. [t] φράτηρ Schæferus. Scribebatur φρατήρ. [u] τῷ ego addidi. [x] Ἀρχίμαχον et infra Ἀρχιμάχου Dobræus ex p. 1064, 22. Legebatur Ἀρχίλοχον et Ἀρχιλόχου. [y] τῷ A.r. τοῦ vulgo. [z] τῷ solus r. τοῦ vulgo. [a] τῷ Ἁγνίου—τῷ πατρὶ om. r. [b] συστάντες] συνστάντες S.

ρίας ἐγράψαμεν περὶ τῶν ὁμολογουμένων οὔτε μάρτυρας
προσεκαλεσάμεθα, ἀλλ' ᾠόμεθα ταῦτά γε ἀδεῶς ὑπάρ-
49 χειν ἡμῖν· οὗτοι δὲ τά τ' ἄλλα πολλὰ καὶ ἀναίσχυντα
παρεσκευάσαντο εἰς τὸν ἀγῶνα, καὶ ἔμελεν αὐτοῖς [c] οὐ-
δενὸς πλὴν τοῦ ἐξαπατῆσαι ἐν τῷ [d] παρόντι τότε καιρῷ
τοὺς δικαστάς, οἵτινες κατεχρῶντο ὡς τῷ Πολέμωνι τῷ
πατρὶ τῷ Ἁγνίου τὸ παράπαν οὐδεμία [e] γένοιτο ἀδελφὴ
ὁμοπατρία καὶ ὁμομητρία· οὕτως ἦσαν ἀναίσχυντοι καὶ
βδελυροί, [f] τηλικοῦτον πρᾶγμα παρακρουόμενοι τοὺς δι-
καστὰς καὶ οὕτω περιφανές, καὶ ἐσπούδαζον καὶ ἠγωνί-
50 ζοντο περὶ τούτου μάλιστα. ἡμεῖς δέ γε νυνὶ μάρτυρας
ὑμῖν [g] τοσουτουσὶ [h] παρεσχήμεθα περὶ τῆς Πολέμωνος
ἀδελφῆς, τηθίδος δ' Ἁγνίου. τούτῳ δ' ὁ βουλόμενος
μαρτυρησάτω ἢ ὡς οὐκ ἦσαν ἀδελφοὶ ὁμοπάτριοι καὶ
ὁμομήτριοι Πολέμων καὶ Φυλομάχη, ἢ ὅτι οὐκ ἦν ὁ μὲν
Πολέμων υἱὸς, ἡ δὲ Φυλομάχη [i] θυγάτηρ Ἁγνίου τοῦ Βου-
51 σέλου υἱέος, ἢ ὅτι [k] ὁ Πολέμων οὐκ ἦν πατὴρ Ἁγνίου, οὗ
ἐστὶν ὁ κλῆρος, οὐδ' ἡ ἀδελφὴ ἡ Πολέμωνος Φυλομάχη
τηθὶς, ἢ ὡς [l] ὁ Εὐβουλίδης οὐκ ἦν Φυλομάχης υἱὸς οὐδὲ
Φιλάγρου τοῦ ἀνεψιοῦ [m] τοῦ Ἁγνίου, ἢ ἐκεῖνο ὅτι Εὐβου- 1063
λίδου τοῦ ἀνεψιοῦ τοῦ Ἁγνίου οὐκ ἔστι [n] Φυλομάχη θυγά-
τηρ ἡ [o] νῦν ἔτι οὖσα, [p] οὐδ' υἱὸς οὑτοσὶ ὁ παῖς, εἰσπεποιη-
μένος κατὰ τοὺς νόμους τοὺς ὑμετέρους εἰς τὸν Εὐβουλί-
δου οἶκον, ἢ ὡς [q] ὁ Θεόπομπος ὁ τουτουὶ πατὴρ Μακαρ-
52 τάτου ἐκ τοῦ οἴκου ἦν τοῦ Ἁγνίου. τούτων ὅ τι βούλεταί
τις μαρτυρησάτω αὐτῷ. ἀλλ' εὖ οἶδ' ὅτι οὐδεὶς οὕτω τολ-
μηρὸς ἔσται οὐδ' ἀπονενοημένος ἄνθρωπος. [r] ὡς δὲ [s] κατα-

[c] οὐδενὸς] οὐδὲν F.S.Q. Conf. p. 1073, 19. [d] παρόντι τότε] τότε παρόντι A.r. [e] γένοιτο om. S. [f] τηλικοῦτον—οὕτω περιφανὲς καὶ] τηλικουτονὶ—οὑτωσὶ περιφανῶς F.S.Q. [g] τοσουτουσὶ] τοσούτους F.S.Q. [h] παρεσχήμεθα] παρεσχόμεθα A.r. [i] θυγάτηρ] ἀδελφὴ A.r. [k] ὁ Πολέμων] ὁ μὲν πολέμων A.r. [l] ὁ om. F. et pr. S. in quo a pr. m. additum est. [m] τοῦ om. A.r. [n] Φυλομάχη θυγάτηρ] θυγάτηρ φυλομάχη A.r. [o] νῦν] νυνὶ A.r. [p] οὐδ'] οὐδὲ ὁ S. ὁ δ' F.Q. [q] ὁ om. F. [r] ὡς δὲ] ὥστε S. [s] καταφανὲς] μᾶλλον καταφανὲς γρ. F.Q.

φανὲς ὑμῖν ἔσται, ὦ ἄνδρες δικασταί, ὅτι τὸ πρότερον ἀναισχυντοῦντες περιεγένοντο, δίκαιον δ' οὐδὲν ἔλεγον, ἀναγίγνωσκε τὰς μαρτυρίας, ὅσαι εἰσὶν ἔτι ὑπόλοιποι.

53 ΜΑΡΤΥΡΙΑΙ.

[t] Μαρτυρεῖ συγγενὴς εἶναι Πολέμωνι τῷ Ἁγνίου πατρί, καὶ ἀκούειν τοῦ πατρὸς τοῦ ἑαυτοῦ ἀνεψιοὺς εἶναι ἐκ πατραδέλφων Πολέμωνι Φίλαγρόν τε τὸν Εὐβουλίδου πατέρα καὶ Φανοστράτην τὴν Στρατίου θυγατέρα καὶ Καλλίστρατον τὸν πατέρα τῆς [u] Σωσίου γυναικὸς καὶ Εὐκτήμονα τὸν βασιλεύσαντα καὶ Χαρίδημον
54 τὸν πατέρα τὸν Θεοπόμπου καὶ Στρατοκλέους, καὶ εἶναι τοῖς [x] τούτων υἱέσι καὶ Ἁγνίᾳ ἐν τῷ αὐτῷ γένει Εὐβουλίδην κατὰ τὸν πατέρα τὸν ἑαυτοῦ Φίλαγρον, κατὰ δὲ τὴν μητέρα τὴν ἑαυτοῦ Φυλομάχην νομιζόμενον ἀνεψιὸν εἶναι Εὐβουλίδην Ἁγνίᾳ πρὸς πατρὸς ἐκ τηθίδος γεγονότα Ἁγνίᾳ [y] τῆς πρὸς πατρός.

55 [z] ΑΛΛΗ.

Μαρτυροῦσι συγγενεῖς εἶναι Πολέμωνι τῷ πατρὶ τῷ Ἁγνίου καὶ Φιλάγρῳ τῷ πατρὶ τῷ Εὐβουλίδου καὶ Εὐκτήμονι τῷ βασιλεύσαντι, καὶ εἰδέναι Εὐκτήμονα ἀδελφὸν [a] ὄντα ὁμοπάτριον Φιλάγρῳ τῷ πατρὶ [b] τῷ Εὐβουλίδου· καὶ ὁπότε ἡ ἐπιδικασία ἦν τοῦ 1064
κλήρου τοῦ Ἁγνίου Εὐβουλίδῃ [c] πρὸς Γλαύκωνα, ἔτι ζῆν Εὐκτήμονα, ἐκ πατραδέλφων [d] ἀνεψιὸν ὄντα Πολέμωνι τῷ πατρὶ Ἁγνίου, καὶ μὴ ἀμφισβητῆσαι Εὐκτήμονα Εὐβουλίδῃ τοῦ κλήρου τοῦ Ἁγνίου, μηδ' ἄλλον μηδένα κατὰ γένος τότε.

56 ΑΛΛΗ.

Μαρτυροῦσι τὸν πατέρα τὸν ἑαυτῶν Στράτωνα συγγενῆ εἶναι Πολέμωνι τῷ πατρὶ τῷ Ἁγνίου καὶ Χαριδήμῳ τῷ πατρὶ τῷ Θεοπόμπου καὶ Φιλάγρῳ τῷ πατρὶ τῷ Εὐβουλίδου, καὶ ἀκούειν τοῦ ἑαυτῶν πατρὸς ὅτι Φίλαγρος λάβοι γυναῖκα πρώτην μὲν Φυλομάχην ἀδελφὴν Πολέμωνος τοῦ πατρὸς τοῦ Ἁγνίου ὁμοπατρίαν καὶ ὁμομητρίαν, καὶ γενέσθαι Φιλάγρῳ ἐκ μὲν τῆς Φυλομάχης
57 Εὐβουλίδην, ἀποθανούσης δὲ Φυλομάχης ἑτέραν λαβεῖν γυναῖκα Φίλαγρον Τελεσίππην, καὶ γενέσθαι ὁμοπάτριον μὲν ἀδελφὸν [e] Εὐ-

[t] Testimonia om. F.S.Q. [u] Σωσίου] Legebatur Σωσιθέου. Correxi ex p. 1075, 28. quem locum comparavit Reiskius. [x] τούτων Wolfius. Legebatur τούτου. [y] τῆς] τῇ r. et pr. A. [z] ΑΛΛΗ] ἑτέρα r. hic et infra ter. [a] ὄντα] εἶναι r. [b] τῷ] τοῦ r. [c] πρὸς Γλαύκωνα] Legebatur προσκλαίουσα. Emendavit Schoemannus ad Isæum p. 450. præeunte Reiskio, qui πρὸς Κλέωνα conjecerat. [d] ἀνεψιὸν] Libri ἀδελφόν. Correxit Wolfius ex p. 1065, 11. [e] Εὐβουλίδῃ] εὐβουλίδην A.

βουλίδῃ Μενεσθέα, ὁμομήτριον δὲ μή· καὶ Εὐβουλίδου ἀμφισβητήσαντος τοῦ κλήρου τοῦ Ἁγνίου κατὰ γένος Μενεσθέα μὴ ἀμφισβητῆσαι τοῦ κλήρου τοῦ Ἁγνίου, μηδ' Εὐκτήμονα τὸν ἀδελφὸν τὸν Φιλάγρου, μηδ' ἄλλον μηδένα κατὰ γένος πρὸς Εὐβουλίδην τότε.

58 ΑΛΛΗ.

Μαρτυρεῖ τὸν πατέρα τὸν ἑαυτοῦ Ἀρχίμαχον συγγενῆ εἶναι Πολέμωνι τῷ πατρὶ [f] τῷ Ἁγνίου καὶ Χαριδήμῳ τῷ πατρὶ τῷ Θεοπόμπου καὶ Φιλάγρῳ τῷ πατρὶ τῷ Εὐβουλίδου, καὶ ἀκούειν τοῦ πατρὸς τοῦ ἑαυτῶν ὅτι Φίλαγρος λάβοι γυναῖκα πρώτην μὲν Φυλομάχην ἀδελφὴν Πολέμωνος τοῦ πατρὸς τοῦ Ἁγνίου ὁμοπατρίαν καὶ ὁμομητρίαν, καὶ γενέσθαι ἐκ μὲν Φυλομάχης Εὐβουλί-
59 δην, ἀποθανούσης δὲ Φυλομάχης ἑτέραν λαβεῖν γυναῖκα Φίλα- 1065
γρον Τελεσίππην, καὶ γενέσθαι Φιλάγρῳ ἐκ Τελεσίππης Μενεσθέα, ὁμοπάτριον μὲν ἀδελφὸν Εὐβουλίδῃ, ὁμομήτριον δὲ μή· ἀμφισβητήσαντος δὲ [g] Εὐβουλίδου τοῦ κλήρου τοῦ Ἁγνίου κατὰ γένος Μενεσθέα μὴ ἀμφισβητῆσαι τοῦ κλήρου, μηδ' Εὐκτήμονα τὸν ἀδελφὸν Φιλάγρου, μηδ' ἄλλον μηδένα κατὰ γένος πρὸς Εὐβουλίδην τότε.

60 ΑΛΛΗ.

Μαρτυρεῖ τὸν πατέρα τῆς ἑαυτοῦ μητρὸς Καλλίστρατον ἀδελφὸν εἶναι Εὐκτήμονι τῷ βασιλεύσαντι καὶ Φιλάγρῳ τῷ πατρὶ τῷ Εὐβουλίδου, ἀνεψιοὺς δ' εἶναι τούτους Πολέμωνι τῷ πατρὶ τῷ Ἁγνίου καὶ Χαριδήμῳ τῷ πατρὶ τῷ Θεοπόμπου, καὶ ἀκούειν τῆς μητρὸς τῆς ἑαυτοῦ ὅτι ἀδελφὸς οὐ γένοιτο Πολέμωνι τῷ πατρὶ [h] τῷ Ἁγνίου, ἀδελφὴ δὲ γένοιτο ὁμοπατρία καὶ ὁμομητρία Φυλομάχη, [i] καὶ ταύτην λάβοι τὴν Φυλομάχην Φίλαγρος, καὶ γένοιτο ἐξ αὐτῶν Εὐβουλίδης ὁ πατὴρ [k] ὁ Φυλομάχης τῆς Σωσιθέου γυναικός.

61 Ἀναγνῶναι μὲν τὰς μαρτυρίας ταύτας ἐξ ἀνάγκης ἦν, ὦ ἄνδρες δικασταί, ἵνα μὴ τὸ αὐτὸ πάθοιμεν ὅπερ [l] τὸ πρότερον, ἀπαράσκευοι ληφθέντες ὑπὸ τούτων. πολὺ δὲ σαφέστερον ἔτι αὐτὸς ἑαυτοῦ Μακάρτατος οὑτοσὶ καταμαρτυρήσει, ὅτι οὔτε Θεοπόμπῳ τῷ πατρὶ τῷ [m] αὑτοῦ [n] οὔτε αὐτῷ τούτῳ προσήκει οὐδενὸς κληρονομεῖν τῶν

[f] τῷ] τοῦ r. [g] Εὐβουλίδου τοῦ κλήρου addidit Reiskius. [h] τῷ ego addidi. [i] καὶ om. A.r. [k] ὁ om. A.r. [l] τὸ om. A.r. [m] αὑτοῦ] Scribebatur ἑαυτοῦ. αυτοῦ B.S.Q. [n] οὔτε αὐτῷ τούτῳ om. A.r.

Ἁγνίου, γένει ἀπωτέρω ὄντος τοῦ Θεοπόμπου καὶ [o] οὐδ᾽ ἐκ
62 τοῦ αὐτοῦ [p] οἴκου τὸ παράπαν. εἰ γάρ τις ἀνακρίνοι, ὦ
ἄνδρες δικασταὶ, [q] οὑτοσὶ τίς ἐστιν ὁ ἀμφισβητῶν τῷ
παιδὶ τούτῳ τοῦ κλήρου τοῦ Ἁγνίου; εὖ οἶδ᾽ ὅτι ἀπο-
κρίναιτ᾽ [r] ἂν, Μακάρτατος. τίνος ὢν πατρός; Θεοπόμ-
που. μητρὸς δὲ τίνος; [s] Ἀπολήξιδος θυγατρὸς [t] Προσ- 1066
παλτίου, [u] ἀδελφῆς [x] δὲ Μακαρτάτου [y] Προσπαλτίου. ὁ
δὲ Θεόπομπος τίνος [z] ἦν πατρός; Χαριδήμου. ὁ δὲ Χα-
ρίδημος τίνος; Στρατίου. ὁ δὲ [a] Στρατίος τίνος; Βου-
63 σέλου. οὑτοσὶ, ὦ ἄνδρες δικασταὶ, ἔστιν ὁ Στρατίου
οἶκος, ἑνὸς τῶν Βουσέλου υἱέων, καὶ [b] ἔκγονοι οὗτοί εἰσι
Στρατίου, οὓς ὑμεῖς ἀκηκόατε· καὶ ἐνταῦθα οὐδαμοῦ
ἐστὶν οὐδὲν ὄνομα τῶν ἐκ τοῦ οἴκου τοῦ Ἁγνίου, ἀλλ᾽ οὐδὲ
64 παραπλήσιον. πάλιν δὴ ἀνακρίνω τὸν παῖδα τουτονὶ τίς
ὢν ἀμφισβητεῖ Μακαρτάτῳ τοῦ κλήρου τοῦ Ἁγνίου. οὐκ
ἂν ἔχοι, ὦ ἄνδρες δικασταὶ, ἄλλ᾽ [c] οὐδ᾽ ὁτιοῦν ἀποκρί-
νασθαι ὁ παῖς ἢ ὅτι Εὐβουλίδης. τίνος ὢν πατρός; Εὐ-
βουλίδου τοῦ Ἁγνίου ἀνεψιοῦ. μητρὸς δὲ τίνος; Φυλο-
μάχης, ἣ ἦν Ἁγνίᾳ ἀνεψιοῦ παῖς πρὸς πατρός· [d] ὁ Εὐ-
βουλίδης δὲ τίνος [e] ἦν πατρός; Φιλάγρου τοῦ ἀνεψιοῦ
τοῦ Ἁγνίου. μητρὸς δὲ τίνος; Φυλομάχης τῆς τηθίδος
[f] τῆς Ἁγνίου. ὁ δ᾽ Ἁγνίας τίνος ἦν υἱός; Πολέμωνος. ὁ
δὲ Πολέμων τίνος; Ἁγνίου. ὁ δ᾽ Ἁγνίας τίνος; Βου-
65 σέλου. οὑτοσὶ ἕτερος [g] οἶκός ἐστιν ὁ Ἁγνίου, ἑνὸς τῶν Βου-
σέλου υἱέων, καὶ ἐνταῦθ᾽ οὐδ᾽ ὁτιοῦν ἔνεστι τὸ αὐτὸ ὄνομα
τῶν ἐν τῷ Στρατίου οἴκῳ ὄντων [h] ἐκγόνων, ἀλλ᾽ οὐδὲ παρα-

[o] οὐδ᾽ F.S.Q. Legebatur οὐκ. [p] οἴκου] οἴκου ὄντος A.r. [q] οὑτοσὶ] οὗτος εἶ A.r. [r] ἂν F.S.Q. Legebatur ἂν ὅτι. [s] Ἀπολήξιδος rec. S. Scribebatur Ἀποληξίδος. Conf. p. 1072, 6. [t] Προσπαλτίου] παλτίου F.S.Q. [u] ἀδελφῆς—Προσπαλτίου om. A.r. [x] δὲ] μὴ S. [y] Προσπαλτίου] πρὸς παλτίου B. [z] ἦν] ὢν r. [a] στρατίος A.r. Scribebatur Στράτιος. [b] ἔκγονοι] ἔγγονοι F.Q. [c] οὐδ᾽ ὁτιοῦν] οὐδὲν ὁτιοῦν r. [d] ὁ om. A.r. [e] ἦν] ὢν r. [f] τῆς] τοῦ r. [g] οἶκός ἐστιν ὁ S. οἶκός ἐστιν F.Q. ἐστιν οἶκος A.r. [h] ἐκγόνων] ἐκγόνων F. ἐγγόνων Q.

πλήσιον· ἀλλ' αὐτοὶ δι' [i] αὐτῶν πορεύονται ἐν τῷ οἴκῳ [k] τῷ Ἁγνίου, τὰ ὀνόματα παρ' ἀλλήλων παραλαμβάνοντες. πανταχῇ δὴ καὶ πάντα τρόπον ἐξελέγχονται ἐξ ἑτέρου οἴκου καὶ [l] γένει ἀπωτέρω ὄντες, καὶ οὐ προσῆκον αὐτοῖς κληρονομεῖν οὐδενὸς τῶν Ἁγνίου· οἷς γὰρ [m] δίδωσιν ὁ νομοθέτης τὴν ἀγχιστείαν καὶ τὴν κληρονομίαν, τούτους ἀναγνώσεται ὑμῖν τοὺς νόμους.

66 NOMOΣ. 1067

[n] Ὅστις ἂν μὴ διαθέμενος ἀποθάνῃ, ἐὰν μὲν παῖδας [o] καταλείπῃ θηλείας, σὺν [p] ταύτῃσιν, ἐὰν δὲ μή, τούσδε κυρίους εἶναι τῶν χρημάτων. ἐὰν [q] μὲν ἀδελφοὶ ὦσιν ὁμοπάτορες καὶ ἐὰν παῖδες ἐξ ἀδελφῶν γνήσιοι, τὴν τοῦ πατρὸς μοῖραν λαγχάνειν· ἐὰν δὲ μὴ ἀδελφοὶ ὦσιν ἢ ἀδελφῶν παῖδες, [r] ἀνεψιοὺς καὶ παῖδας ἐξ αὐτῶν κατὰ ταὐτὰ λαγχάνειν· κρατεῖν δὲ τοὺς ἄρρενας καὶ τοὺς ἐκ τῶν ἀρρένων, ἐὰν
67 ἐκ τῶν αὐτῶν ὦσι, καὶ ἐὰν γένει ἀπωτέρω. ἐὰν δὲ μὴ ὦσι πρὸς πατρὸς [s] μέχρι [t] ἀνεψιῶν παίδων, τοὺς πρὸς μητρὸς τοῦ ἀνδρὸς κατὰ ταὐτὰ κυρίους εἶναι. ἐὰν δὲ μηδετέρωθεν [u] ᾖ ἐντὸς τούτων, τὸν πρὸς πατρὸς [x] ἐγγυτάτω κύριον εἶναι. νόθῳ δὲ μηδὲ νόθῃ μὴ εἶναι ἀγχιστείαν μήθ' ἱερῶν μήθ' ὁσίων, ἀπ' Εὐκλείδου ἄρχοντος.

68 Διαρρήδην λέγει ὁ νόμος, ὦ ἄνδρες δικασταί, οἷς δεῖ τὴν κληρονομίαν εἶναι· οὐ μὰ Δί' οὐ Θεοπόμπῳ οὐδὲ Μακαρτάτῳ τῷ Θεοπόμπου υἱεῖ, τοῖς μηδὲ τὸ παράπαν [y] ἐν τῷ οἴκῳ οὖσι [z] τῷ Ἁγνίου. ἀλλὰ τίνι [a] καὶ δίδωσιν; τοῖς ἐκγόνοις τοῖς Ἁγνίου, τοῖς οὖσιν ἐν τῷ οἴκῳ τῷ [b] ἐκείνου. ταῦτα καὶ ὁ νόμος λέγει, καὶ τὸ δίκαιον οὕτως ἔχει.

69 Οὐ τοίνυν, ὦ ἄνδρες δικασταί, ταῦτα μὲν ἔδωκεν ὁ νομοθέτης τοῖς προσήκουσιν, ἕτερα δ' οὐ [c] προσέταξεν, ἀλλὰ

[i] αὐτῶν] αυτῶν S. ἑαυτῶν vulgo. [k] τῷ] τοῦ S.Q. [l] γένει ἀπωτέρω] ἀπωτέρω γένει A.r. [m] δίδωσιν ὁ νομοθέτης] ὁ νομοθέτης δίδωσι A.r. [n] Legem om. F.S.Q. [o] καταλείπῃ A.r. καταλίπῃ vulgo. [p] ταύτῃσιν r. ταύτῃσι A. ταυτῃσί vulgo. [q] μὲν Reiskius. Legebatur δ'. [r] ἀνεψιοὺς καὶ παῖδας addidit Bunsen. in Disquis. de jure hered. Athen. p. 30. [s] μέχρι] μέχρις r. [t] ἀνεψιῶν Wesseling. ad Petit. p. 584. Legebatur ἀνεψιαδῶν. [u] ᾖ Reiskius. ἦν libri. [x] ἐγγυτάτω] ἀγχυτάτω r. [y] ἐν τῷ οἴκῳ οὖσι] οὖσιν ἐν τῷ οἴκῳ A.r. [z] τῷ codices. τοῦ vulgo. [a] καὶ om. A.r. [b] ἐκείνου] ἁγνίου ἐκείνου A.r. [c] προσέταξεν, ἀλλὰ Reiskius. Legebatur προσέταξε πολλὰ πάνυ ἐν τῷ νόμῳ, ἃ δεῖ ποιεῖν τοὺς προσήκοντας ἐπάναγκες, ἀλλὰ—.

[d] πολλὰ πάνυ ἐστὶν ἃ προστάττει ποιεῖν τοῖς προσήκουσι, καὶ πρόφασιν οὐδεμίαν δίδωσιν, ἀλλ᾽ ἐξ ἀνάγκης δεῖ ποιεῖν. μᾶλλον δὲ λέγε [e] αὐτὸν τὸν νόμον [f] τὸν πρῶτον.

ΝΟΜΟΣ.

70 [g] Τῶν ἐπικλήρων ὅσαι [h] θητικὸν τελοῦσιν, ἐὰν μὴ βούληται ἔχειν ὁ ἐγγύτατα γένους, ἐκδιδότω ἐπιδοὺς ὁ μὲν πεντακοσιομέδιμνος πεντακοσίας δραχμὰς, ὁ δ᾽ ἱππεὺς τριακοσίας, ὁ δὲ [i] ζευγίτης ἑκα- 1068
τὸν πεντήκοντα, πρὸς οἷς αὐτῆς. ἐὰν [k] δὲ πλείους ὦσιν ἐν τῷ αὐτῷ
71 γένει, τῇ ἐπικλήρῳ πρὸς μέρος ἐπιδιδόναι ἕκαστον, ἐὰν [l] δ᾽ αἱ γυναῖκες πλείους ὦσι, μὴ ἐπάναγκες εἶναι πλέον ἢ μίαν ἐκδοῦναι τῷ γένει, ἀλλὰ τὸν ἐγγύτατα δεῖ ἐκδιδόναι ἢ αὐτὸν ἔχειν. ἐὰν δὲ μὴ ἔχῃ ὁ ἐγγυτάτω γένους ἢ μὴ ἐκδῷ, ὁ ἄρχων ἐπαναγκαζέτω ἢ αὐτὸν ἔχειν ἢ ἐκδοῦναι. ἐὰν δὲ μὴ ἐπαναγκάσῃ ὁ ἄρχων, ὀφειλέτω χιλίας δραχμὰς ἱερὰς τῇ Ἥρᾳ. ἀπογραφέτω δὲ τὸν μὴ ποιοῦντα ταῦτα ὁ βουλόμενος πρὸς τὸν ἄρχοντα.

72 Ἃ μὲν λέγει ὁ νόμος, ὦ ἄνδρες δικασταὶ, ἀκούετε. ὅτε δὲ τῆς ἐπικλήρου ἔδει ἐπιδικάζεσθαι Φυλομάχης τῆς τουτουὶ μητρὸς τοῦ παιδὸς, Ἁγνίου δ᾽ ἀνεψιοῦ παιδὸς οὔσης πρὸς πατρὸς, ἐγὼ μὲν ἧκον φοβούμενος τὸν [m] νόμον καὶ ἐπεδικαζόμην γένει ὢν ἐγγυτάτω, Θεόπομπος δ᾽ ὁ Μακαρτάτου πατὴρ οὐδὲ προσῆλθε τὸ παράπαν οὐδ᾽ ἠμφισβήτησε, διὰ τὸ μηδ᾽ ὁτιοῦν αὐτῷ προσήκειν, καὶ ταῦτ᾽
73 ἐν τῇ ἡλικίᾳ ὢν τῇ αὐτῇ. καίτοι πῶς οἴεσθε, ὦ ἄνδρες δικασταὶ, ἄτοπον εἶναι τῆς μὲν ἐπικλήρου, ἣ ἦν Ἁγνίᾳ ἀνεψιοῦ παῖς πρὸς πατρὸς, ταύτης μὲν [n] μηδεπώποτ᾽ ἀμφισβητῆσαι Θεόπομπον, τὸν δὲ κλῆρον [o] τὸν Ἁγνίου ἀξιοῦν ἔχειν παρὰ τοὺς [p] νόμους; τούτων γένοιντ᾽ ἂν ἄνθρωποι ἀναισχυντότεροι [q] ἢ μιαρώτεροι; ἀναγίγνωσκε καὶ τοὺς [r] ἑτέρους νόμους.

[d] πολλὰ πάνυ B.F.S.Q. πάνυ πολλὰ A.r. [e] αὐτὸν] αὐτοῖς A.r. [f] τὸν om. r. [g] Legem om. F.S.Q. [h] θητικὸν] θηλυκὸν r. [i] ζευγίτης Wolfius. Legebatur ζυγίτης. [k] δὲ Wolfius. Legebatur δὲ μή. [l] δ᾽ αἱ] δὲ r. [m] νόμον] νόμον ὃν S.Q. [n] μηδεπώποτ᾽] μηδενὶ πώποτ᾽ A.r. [o] τὸν] Legebatur τοῦ. Recte scriptum p. 1058, 20. et alibi. [p] νόμους] νόμους ἅπαντας A.r. [q] ἢ] Legebatur καί. Præstat ἤ, quod præbuerunt F.S.Q. Sic p. 1077, 20. πῶς ἂν γένοιντο τούτων ἄνθρωποι παρανομώτεροι ἢ βιαιότεροι; Ceterum verba ἢ μιαρώτεροι in marg. habet S. a m. pr., sed atramento alio. [r] ἑτέρους] ἑτέρων F.

[s]ΝΟΜΟΙ.

74 [t]Προειπεῖν τῷ κτείναντι ἐν ἀγορᾷ ἐντὸς [u]ἀνεψιότητος, συνδιώ-
κειν δὲ καὶ ἀνεψιῶν παῖδας καὶ [x]γαμβροὺς καὶ [y]πενθεροὺς καὶ 1069
[z]φράτερας. ἐὰν δὲ αἰδέσασθαι [a]δέῃ, ἐὰν μὲν πατὴρ ᾖ ἢ ἀδελφὸς ἢ
υἱεῖς, πάντας, ἢ τὸν κωλύοντα κρατεῖν. ἐὰν δὲ τούτων μηδεὶς ᾖ,
κτείνῃ δ' ἄκων, γνῶσι δ' οἱ πεντήκοντα καὶ [b]εἷς ἄκοντα κτεῖναι,
[c]αἰδεσάσθων οἱ φράτερες, ἐὰν θέλωσι, δέκα· [d]τούτους δ' οἱ πεντή-
κοντα καὶ [e]εἷς ἀριστίνδην αἱρείσθων. καὶ οἱ πρότερον κτείναντες ἐν
75 τῷδε τῷ θεσμῷ [f]ἐνεχέσθων.—Τοὺς δ' ἀπογιγνομένους ἐν τοῖς δή-
μοις, οὓς ἂν μηδεὶς ἀναιρῆται, ἐπαγγελλέτω ὁ δήμαρχος τοῖς προσή-
κουσιν ἀναιρεῖν καὶ θάπτειν καὶ καθαίρειν τὸν δῆμον, τῇ ἡμέρᾳ ᾗ
ἂν ἀπογένηται ἕκαστος αὐτῶν. ἐπαγγέλλειν δὲ περὶ μὲν τῶν δού-
λων τῷ δεσπότῃ, περὶ δὲ τῶν ἐλευθέρων τοῖς τὰ χρήματ' ἔχουσιν·
ἐὰν δὲ μὴ ᾖ χρήματα τῷ ἀποθανόντι, τοῖς προσήκουσι τοῦ ἀποθα-
76 νόντος ἐπαγγέλλειν. ἐὰν δὲ τοῦ δημάρχου ἐπαγγείλαντος μὴ ἀναι-
ρῶνται οἱ προσήκοντες, ὁ μὲν δήμαρχος ἀπομισθωσάτω ἀνελεῖν καὶ
[g]καταθάψαι καὶ καθᾶραι τὸν δῆμον αὐθημερὸν, ὅπως [h]ἂν δύνωνται
ὀλιγίστου· ἐὰν δὲ μὴ ἀπομισθώσῃ, ὀφειλέτω χιλίας δραχμὰς τῷ
δημοσίῳ. ὅ τι δ' ἂν ἀναλώσῃ, διπλάσιον πραξάσθω παρὰ τῶν ὀφει-
λόντων· ἐὰν δὲ μὴ πράξῃ, αὐτὸς ὀφειλέτω τοῖς δημόταις.—Τοὺς δὲ
μὴ ἀποδιδόντας τὰς μισθώσεις τῶν τεμενῶν τῶν τῆς θεοῦ καὶ τῶν
ἄλλων θεῶν καὶ τῶν ἐπωνύμων [i]ἀτίμους εἶναι καὶ αὐτοὺς καὶ γένος
καὶ κληρονόμους τοὺς τούτων, ἕως ἂν ἀποδῶσιν.

77 Ταῦτα πάνθ', ὅσα οἱ νόμοι προστάττουσι [k]τοὺς προσή- 1070
κοντας ποιεῖν, ἡμῖν προστάττουσι καὶ ἀναγκάζουσι ποιεῖν,
ὦ ἄνδρες δικασταί. Μακαρτάτῳ δὲ τούτῳ οὐδὲν διαλέ-
γονται οὐδὲ Θεοπόμπῳ τῷ πατρὶ τῷ τούτου· οὐδὲ γάρ
εἰσιν ἐκ τοῦ οἴκου τοῦ Ἁγνίου τὸ παράπαν· πῶς [l]ἂν οὖν
τούτοις τι προστάττοιεν;

[s] ΝΟΜΟΙ F.S.Q. ΝΟΜΟΣ A.r. Leges om. F.S.Q. [t] Προειπεῖν Wolfius. προσειπεῖν libri. [u] ἀνεψιότητος Reiskius. Legebatur ἀνεψιότητος καὶ ἀνεψιοῦ. [x] γαμβροὺς Wolfius. Legebatur γαμβροὺς καὶ ἀνεψιούς. [y] πενθεροὺς Reiskius. Legebatur πενθεροὺς καὶ ἀνεψιαδοῦς (ἀνεψιάδους A.r.). [z] φράτερας] Scribebatur φράτορας, et infra φράτορες. [a] δέῃ] δεῖ A.r. [b] εἷς ἄκοντα Reiskius. εἴσῃ (i. e. εἷς ἢ) οἱ ἐφέται ἄκοντα r. [c] αἰδεσάσθων Reiskius. ἐσέσθων libri. [d] τούτους Reiskius. τούτοις libri. [e] εἷς Wolfius. εἰς libri. [f] ἐνεχέσθων] ἀνεχέσθων A.r. [g] καταθάψαι] θάψαι Schæferus. [h] ἂν om. r. [i] ἀτίμους] καὶ ἀτίμους A.r. [k] τοὺς προσήκοντας ποιεῖν] ποιεῖν τοὺς προσήκοντας A.r. [l] ἂν om. A.r.

78 Ἀλλ' οὗτος, ὦ ἄνδρες δικασταὶ, πρὸς μὲν τοὺς νόμους καὶ τὰς μαρτυρίας, ἃς ἡμεῖς παρεχόμεθα, δίκαιον [m] μὲν οὐδ' ὁτιοῦν ἔχει λέγειν, ἀγανακτεῖ δὲ καὶ δεινά [n] φησι πάσχειν ὅτι τοῦ πατρὸς τετελευτηκότος ἀγωνίζεται· ἐκεῖνο δ' οὐκ ἐνθυμεῖται [o] Μακάρτατος, ὦ ἄνδρες δικασταὶ, ὅτι ὁ πατὴρ αὐτοῦ ἄνθρωπος ἦν θνητὸς καὶ τετελεύτηκε μετ'
79 ἄλλων πολλῶν καὶ νεωτέρων [p] καὶ πρεσβυτέρων. ἀλλ' εἰ Θεόπομπος τετελεύτηκεν ὁ τουτουὶ πατὴρ, οἱ νόμοι οὐ τετελευτήκασιν, οὐδὲ τὸ δίκαιον [q] τετελεύτηκεν, οὐδ' οἱ δικασταὶ οἱ τὴν ψῆφον ἔχοντες. ἔστι δ' ὁ [r] νῦν ἀγὼν καὶ ἡ διαδικασία οὐκ εἴ τις [s] ἕτερος ἑτέρου πρότερος ἢ [t] ὕστερος τετελεύτηκεν, ἀλλ' εἰ μὴ προσήκει ἐξελαθῆναι ἐκ τοῦ οἴκου τοῦ Ἁγνίου τοὺς οἰκείους [u] τοὺς Ἁγνίου, ἀνεψιοὺς ὄντας καὶ ἀνεψιῶν παῖδας Ἁγνίᾳ πρὸς πατρὸς, ὑπὸ τῶν ἐκ [x] τοῦ Στρατίου οἴκου καὶ μηδὲν προσηκόντων ὥστε κληρονομεῖν [y] τῶν Ἁγνίου, ἀλλὰ γένει ἀπωτέρω ὄντων. [z] περὶ τούτου [a] νῦν ἐστὶν ὁ ἀγών.

80 Ἔτι δὲ σαφέστερον γνώσεσθε, ὦ ἄνδρες δικασταὶ, καὶ ἐκ τοῦδε τοῦ νόμου ὅτι [b] Σόλων ὁ νομοθέτης σπουδάζει περὶ τοὺς οἰκείους, καὶ οὐ μόνον δίδωσι τὰ καταλειφθέντα, ἀλλὰ καὶ προστάγματα ποιεῖται τὰ δυσχερῆ ἅπαντα τοῖς προσήκουσιν. λέγε τὸν νόμον.

ΝΟΜΟΣ.

81 [c] Τὸν ἀποθανόντα προτίθεσθαι ἔνδον, ὅπως ἂν βούληται. ἐκφέρειν 1071
δὲ τὸν ἀποθανόντα τῇ ὑστεραίᾳ ᾗ ἂν προθῶνται, πρὶν ἥλιον ἐξέχειν. βαδίζειν δὲ τοὺς ἄνδρας πρόσθεν, ὅταν ἐκφέρωνται, τὰς δὲ γυναῖκας ὄπισθεν. γυναῖκα δὲ μὴ ἐξεῖναι εἰσιέναι εἰς τὰ τοῦ ἀποθανόντος μηδ' ἀκολουθεῖν ἀποθανόντι, ὅταν εἰς τὰ σήματα ἄγηται, ἐντὸς

[m] μὲν om. F.S.Q. [n] φησι] φήσει A.r. φασι Q. [o] Μακάρτατος hoc loco F.Q. Legebatur post δικασταί. Nomen in textu ab se omissum in marg. adscripsit librarius in S. post ἐνθυμεῖται inserendum. [p] καὶ πρεσβυτέρων om. A.r. [q] τετελεύτηκεν] οὐ τετελεύτηκεν F.S.Q. [r] νῦν] νυνὶ A.r. [s] ἕτερος om. r. [t] ὕστερος] ὕστερον r. [u] τοὺς] τοῦ A.F.Q.r. [x] τοῦ om. A.r. [y] τῶν] τοῦ A.r. [z] περὶ] καὶ περὶ F.S.Q. [a] νῦν] τοίνυν A.r. [b] Σόλων] ὁ σόλων A.r. [c] Legem om. F.S.Q.

ἑξήκοντ' ἐτῶν γεγονυῖαν, πλὴν ὅσαι ἐντὸς [d] ἀνεψιαδῶν εἰσί· μηδ'
εἰς τὰ τοῦ ἀποθανόντος εἰσιέναι, [e] ἐπειδὰν ἐξενεχθῇ ὁ νέκυς, γυν-
αῖκα μηδεμίαν πλὴν ὅσαι ἐντὸς ἀνεψιαδῶν εἰσίν.

82 Οὐκ ἐᾷ εἰσιέναι οὗ ἂν ᾖ ὁ τετελευτηκὼς οὐδεμίαν
γυναῖκα ἄλλην ἢ τὰς προσηκούσας [f] μέχρι ἀνεψιότητος,
καὶ πρὸς τὸ μνῆμα ἀκολουθεῖν τὰς αὐτὰς ταύτας. Φυ-
λομάχη τοίνυν ἡ Πολέμωνος ἀδελφὴ τοῦ πατρὸς τοῦ Ἁγ-
νίου [g] οὐκ ἀνεψιὰ ἦν Ἁγνίᾳ, ἀλλὰ τηθίς· ἀδελφὴ γὰρ ἦν
Πολέμωνος τοῦ πατρὸς τοῦ Ἁγνίου. Εὐβουλίδης δὲ [h] ὁ υἱὸς
ταύτης τῆς γυναικὸς ἀνεψιὸς ἦν πρὸς πατρὸς Ἁγνίᾳ, οὗ
ἐστὶν ὁ κλῆρος. τοῦ δ' Εὐβουλίδου ἦν θυγάτηρ ἡ [i] τουτουὶ
83 τοῦ παιδὸς μήτηρ. ταύτας κελεύει τὰς προσηκούσας καὶ
παρεῖναι τῇ προθέσει τοῦ τετελευτηκότος καὶ ἐπὶ τὸ μνῆμα
ἀκολουθεῖν. οὐ τὴν Μακαρτάτου μητέρα οὐδὲ τὴν Θεοπόμ-
που γυναῖκα· [k] οὐδὲν γὰρ προσήκουσιν Ἁγνίᾳ αὗται,
ἀλλ' ἦσαν ἐξ ἑτέρας φυλῆς Ἀκαμαντίδος καὶ ἐξ ἑτέρου
δήμου [l] Προσπαλτόθεν, ὥστε τὸ παράπαν οὐδ' [m] ᾔσθοντο,
84 ὅτε ἦν τετελευτηκὼς [n] Ἁγνίας. ὑπεραναίσχυντον δὴ οὗτοι
κατασκευάζουσι πρᾶγμα, ὡς ἄρα [o] δεῖ ἡμᾶς καὶ τὰς
γυναῖκας τὰς ἡμετέρας τοῦ μὲν σώματος τοῦ Ἁγνίου, ὅτε 1072
ἐτετελευτήκει, κληρονόμους εἶναι καὶ ποιεῖν ἅπαντα τὰ
νομιζόμενα, ὡς προσήκοντας καὶ γένει ὄντας ἐγγυτάτω·
τὸν δὲ κλῆρον [p] οἴεσθαι δεῖν ἔχειν τὸν Ἁγνίου τοῦ τετελευ-
τηκότος Μακάρτατον, ἐκ τοῦ Στρατίου [q] οἴκου ὄντα καὶ
ἐκ τῆς [r] Ἀπολήξιδος τοῦ Προσπαλτίου θυγατρὸς, Μακαρ-
τάτου δ' ἀδελφῆς. ἀλλ' οὔτε δίκαιον οὔθ' ὅσιον τοῦτ'
ἔστιν, ὦ ἄνδρες δικασταί.

85 Ἀνάγνωθι [s] δέ μοι τὰ ἐκ τῆς μαντείας τῆς [t] ἐκ Δελ-

[d] ἀνεψιαδῶν—ἀνεψιαδῶν] ἀνεψιάδων—ἀνεψιάδων A.r. [e] ἐπειδὰν] ἐπειδὴ r. [f] μέχρι] μέχρις r. [g] οὐκ—Ἁγνίου om. A.r. [h] ὁ υἱὸς] οὗτος F.S.Q. [i] τουτουὶ] τούτου S. [k] οὐδὲν] οὐδὲ F.r. et superscripto ν A. [l] Προσπαλτόθεν] προσπάλτοθεν rec. S. [m] ᾔσθοντο] ᾔσθετο S.Q. [n] Ἁγνίας] ὁ ἁγνίας A.r. [o] δεῖ] δὴ A.r. [p] οἴεσθαι] οἴεσθε Q. [q] οἴκου ὄντα] ὄντα οἴκου A.r. [r] Ἀπολήξιδος] Ἀποληξίδος libri. V. ad p. 1066, 1. Accentum a m. recentissima habet S. [s] δέ] δή A.F.r. [t] ἐκ om. r.

φῶν κομισθείσης παρὰ τοῦ θεοῦ, [u] ἵν' [x] αἴσθησθε ὅτι ταῦτα λέγει περὶ τῶν προσηκόντων τοῖς νόμοις τοῖς τοῦ Σόλωνος.

ΜΑΝΤΕΙΑ.

86 [y] Ἀγαθῇ τύχῃ. ἐπερωτᾷ ὁ δῆμος ὁ Ἀθηναίων περὶ τοῦ σημείου τοῦ ἐν τῷ οὐρανῷ γενομένου, ὅ τι ἂν δρῶσιν Ἀθηναίοις ἢ ὅτῳ θεῷ θύουσιν ἢ εὐχομένοις εἴη ἐπὶ τὸ ἄμεινον ἀπὸ τοῦ σημείου. συμφέρει Ἀθηναίοις περὶ τοῦ σημείου τοῦ ἐν τῷ οὐρανῷ γενομένου θύοντας καλλιερεῖν Διὶ ὑπάτῳ, Ἀθηνᾷ ὑπάτῃ, Ἡρακλεῖ, Ἀπόλλωνι σωτῆρι, καὶ ἀποπέμπειν Ἀμφιόνεσσι περὶ τύχας ἀγαθᾶς, Ἀπόλλωνι ἀγυιεῖ, [z] Λατοῖ, Ἀρτέμιδι, καὶ τὰς ἀγυιὰς [a] κνισῆν, καὶ κρατῆρας ἱστάμεν καὶ χορούς, καὶ στεφανηφορεῖν [b] καττὰ πάτρια θεοῖς Ὀλυμπίοις καὶ Ὀλυμπίαις [c] πάντεσσι καὶ πάσαις, δεξιὰς καὶ ἀριστερὰς ἀνίσχοντας, μνασιδωρεῖν [d] καττὰ [e] πάτρια· ἥρῳ ἀρχηγέτᾳ, οὗ ἐπώνυμοί ἐστε, θύειν καὶ δωροτελεῖν [f] καττὰ πάτρια· τοῖς ἀποφθιμένοις [g] ἐν ἱκνουμένᾳ ἁμέρᾳ τελεῖν τοὺς [h] ποθίκοντας [i] καττὰ [k] ἀγημένα.

87 Ἀκούετε, [l] ὦ ἄνδρες δικασταί, ὅτι ταῦτα λέγει ὅ τε Σόλων ἐν τοῖς νόμοις καὶ ὁ θεὸς ἐν τῇ μαντείᾳ, κελεύων 1073 τοῖς [m] κατοιχομένοις ποιεῖν τοὺς προσήκοντας ἐν ταῖς καθηκούσαις ἡμέραις. ἀλλὰ τούτων οὐδὲν [n] ἔμελε [o] Θεοπόμπῳ οὐδὲ Μακαρτάτῳ τούτῳ, ἀλλὰ τοῦτο μόνον, τὰ μὴ προσήκοντα ἑαυτοῖς ἔχειν, καὶ ἐγκαλεῖν ὅτι πολὺν χρόνον ἐχόντων

88 [p] ἑαυτῶν τὸν κλῆρον νυνὶ ἀγωνίζονται. ἐγὼ δ' ᾤμην, ὦ ἄνδρες δικασταί, προσήκειν τὸν τἀλλότρια ἀδίκως ἔχοντα οὐκ ἐγκαλεῖν, εἰ πλείω χρόνον εἶχεν, ἀλλὰ χάριν εἰδέναι, μὴ ἡμῖν, ἀλλὰ τῇ τύχῃ, ὅτι πολλαὶ καὶ ἀναγ-

[u] ἵν'] ἵνα δὲ S. [x] αἴσθησθε] αἰσθήσεσθε A.r. [y] Oraculum om. F.S.Q. [z] Λατοῖ] Scribebatur Λητοῖ. Forma Dorica est in oraculo simili p. 531, 9. [a] κνισῆν] κνίσην A.r. Scribebatur κνισσῆν. [b] καττὰ] κατὰ τὰ A.r. [c] πάντεσσι] πάντεσι A. [d] καττὰ] καὶ τὰ A.r. [e] πάτρια Wolfius. Legebatur πατρῷα. [f] καττὰ Reiskius. κατὰ τὰ A.r. καὶ τὰ vulgo. [g] ἐν ἱκνουμένᾳ ἁμέρᾳ Valckenarius Animadv. in Ammon. p. 7. et ad Herodot. 6, 65. ενικουμεναμεραι A. pro quo lacuna est in r. In Ald. est ἐνικούμενα μεραι. [h] ποθίκοντας] ποθήκοντας Wolfius. [i] καττὰ Bekkerus. Legebatur κατὰ τά. [k] ἀγημένα] ἁγημένα Reiskius. Spiritu et accentu caret A. [l] ὦ om. S. [m] κατοιχομένοις] κατοιχουμένοις A.r. [n] ἔμελε] ἔμελλε A. [o] Θεοπόμπῳ] τῷ θεοπόμπῳ A.r. [p] ἑαυτῶν] αὐτῶν A. (qui spiritu caret) r.

καῖαι διατριβαὶ ἐγένοντο ἐν τῷ μεταξὺ χρόνῳ, ὥστε [q] νῦν
περὶ τούτων [r] ἀγωνίζεσθαι.
89 ‘ Οὗτοι μὲν οὖν τοιοῦτοί εἰσιν ἄνθρωποι, ὦ ἄνδρες δικα-
σταὶ, καὶ μέλει αὐτοῖς οὐδὲν οὔτε τοῦ οἴκου [s] ἐξερημουμέ-
νου τοῦ Ἁγνίου οὔτε τῶν ἄλλων ὅσα παρανομοῦσιν· οἵ-
τινές [t] γε, ὦ Ζεῦ καὶ θεοὶ, τὰ μὲν ἄλλα [u] τί ἄν τις λέγοι
περὶ τούτων; πολλὰ γὰρ ἂν εἴη λέγειν· ἓν [x] δὲ [y] παρα-
νομώτατον καὶ μιαρώτατον διαπεπραγμένοι εἰσὶ, καὶ μά-
λιστ᾽ ἐνδεικνύμενοι ὅτι [z] οὐδενὸς αὐτοῖς μέλει [a] πλὴν τοῦ
90 πλεονεκτεῖν. οὐ γὰρ ἔφθη [b] Θεόπομπος τὴν ἐπιδικασίαν
[c] ποιησάμενος τοῦ κλήρου τοῦ Ἁγνίου τὸν τρόπον τοῦτον
ὃν ὑμεῖς [d] ἀκηκόατε, καὶ εὐθὺς ἐνεδείξατο ὅτι τὰ οὐδὲν
προσήκονθ᾽ ἑαυτῷ ἔχειν ἐνόμιζεν. ὃ γὰρ ἦν πλείστου ἄξιον
ἐν τοῖς χωρίοις τοῖς Ἁγνίου καὶ ἐθαυμάζετο [e] μάλιστα
ὑπὸ τῶν προσχώρων καὶ ὑπὸ τῶν ἄλλων ἀνθρώπων, αἱ
[f] ἐλᾶαι, ταύτας ἐξώρυττον καὶ ἐξεπρέμνιζον, [g] πλεῖν ἢ
91 χίλια [h] στελέχη, ὅθεν ἔλαιον [i] πολὺ [k] ἐγίγνετο. [l] ταύτας
οὗτοι ἀπέδοντο ἐκπρεμνίσαντες, καὶ ἀργύριον ὑπέρπολυ
ἔλαβον. καὶ ταῦτ᾽ ἐποίουν οὗτοι ἐπιδίκου ὄντος τοῦ κλή- 1074
ρου τοῦ Ἁγνίου κατὰ τὸν νόμον, καθ᾽ ὅνπερ οὗτοι τὴν
[m] τουτουὶ μητέρα προσεκαλέσαντο. ὅτι δὲ ταῦτ᾽ ἀληθῆ
λέγω, καὶ ἐξεπρέμνισαν [n] οὗτοι τὰς [o] ἐλάας ἐκ τῶν χω-
ρίων ὧν Ἁγνίας κατέλιπε, μάρτυρας [p] ὑμῖν τούτων παρ-
εξόμεθα τούς τε προσχώρους, καὶ τῶν ἄλλων οὓς παρεκα-
92 λέσαμεν, ὅτ᾽ [q] ἐπεμαρτυρόμεθα [r] περὶ τούτων. λέγε τὴν
μαρτυρίαν.

[q] νῦν] νυνὶ A.r. [r] ἀγωνίζεσθαι] ἡμῖν ἀγωνίζεσθαι A. ὑμῖν ἀγωνίζεσθαι r. [s] ἐξερημουμένου] ἐξερημωμένου A.r. [t] γε om. A.r. [u] τί ἄν τις] τίς ἄν τις A. τίς ἄν τι r. [x] δὲ] δὲ ὃ A.S.Q.r. [y] παρανομώτατον καὶ μιαρώτατον] μιαρώτατον καὶ παρανομώτατον A.r. [z] οὐδενὸς Reiskius. οὐδὲν libri. [a] πλὴν] περὶ r. [b] Θεόπομπος] ὁ θεόπομπος A.r. [c] ποιησάμενος] ἡμῖν ποιησάμενος A.r. [d] ἀκηκόατε] ἀκούετε A.r. [e] μάλιστα] μάλιστα καὶ A.r. [f] ἐλᾶαι] Scribebatur ἐλαῖαι. [g] πλεῖν] πλεῖον F.S.Q. πλέον A.r. Conf. ad p. 503, 18. [h] στελέχη] στελέγχη r. [i] πολὺ] ὑπέρπολυ F.S.Q. [k] ἐγίγνετο] ἐγίγνοντο A. [l] ταύτας] καὶ ταύτας F.S.Q. [m] τουτουὶ] τοῦτον Q. [n] οὗτοι om. A.r. [o] ἐλάας] Scribebatur ἐλαίας. [p] ὑμῖν] ἡμῖν Q. [q] ἐπεμαρτυρόμεθα F.S.Q. ἐμαρτυρόμεθα A.r. et vulgo. [r] περὶ τούτων additum ex B.F.S.Q.

[s] ΜΑΡΤΥΡΙΑ.

Μαρτυροῦσιν ἀκολουθῆσαι Ἀραφῆνάδε παρακληθέντες ὑπὸ Σωσιθέου εἰς τοὺς Ἁγνίου ἀγροὺς, ἐπειδὴ Θεόπομπος ἐπεδικάσατο τοῦ κλήρου τοῦ Ἁγνίου, καὶ ἐπιδεικνύναι αὐτοῖς Σωσίθεον τὰς [t] ἐλάας πρεμνιζομένας ἐκ τοῦ Ἁγνίου ἀγροῦ.

93 Εἰ μὲν τοίνυν, ὦ ἄνδρες δικασταὶ, τὸν τετελευτηκότα μόνον ὕβριζον ταῦτα διαπραξάμενοι, δεινὰ μὲν ἐποίουν, ἧττον δέ· νῦν δὲ καὶ εἰς ὅλην τὴν πόλιν [u] ταυτὶ ὑβρίκασι [x] καὶ παρανενομήκασιν. γνώσεσθε δὲ, ἐπειδὰν τοῦ νόμου ἀκούσητε. ἀναγίγνωσκε τὸν νόμον.

ΝΟΜΟΣ.

94 [y] Ἐάν τις [z] ἐλάαν Ἀθήνησιν ἐξορύττῃ, ἐὰν μὴ εἰς ἱερὸν Ἀθηναίων δημόσιον ἢ δημοτικὸν, ἢ ἑαυτῷ χρῆσθαι μέχρι δυοῖν [a] ἐλάαιν τοῦ ἐνιαυτοῦ ἑκάστου, ἢ ἐπὶ ἀποθανόντα δέῃ χρήσασθαι, ὀφείλειν ἑκατὸν δραχμὰς τῷ δημοσίῳ τῆς ἐλάας ἑκάστης. τὸ δὲ ἐπιδέκατον τούτου τῆς θεοῦ εἶναι. ὀφειλέτω δὲ καὶ τῷ ἰδιώτῃ τῷ ἐπεξιόντι
95 ἑκατὸν δραχμὰς καθ' ἑκάστην ἐλάαν. τὰς δὲ δίκας εἶναι περὶ τούτων πρὸς τοὺς ἄρχοντας, ὧν ἕκαστοι δικασταί εἰσι. [b] πρυτανεῖα δὲ τιθέτω ὁ διώκων τοῦ αὐτοῦ μέρους. ὅτου δ' ἂν καταγνωσθῇ, ἐγγραφόντων οἱ ἄρχοντες, πρὸς οὓς ἂν ᾖ ἡ δίκη, τοῖς πράκτορσιν, 1075 ὃ τῷ δημοσίῳ γίγνεται· [c] ὃ δὲ τῇ θεῷ γίγνεται, τοῖς ταμίαις τῶν [d] τῆς θεοῦ. ἐὰν δὲ μὴ [e] ἐγγράφωσιν, αὐτοὶ ὀφειλόντων.

96 Ὁ μὲν νόμος [f] οὕτως ἰσχυρός. ἐκεῖνο δ' ἐνθυμεῖσθε πρὸς ὑμᾶς αὐτοὺς, ὦ ἄνδρες δικασταὶ, τί ποτ' οἴεσθ' ἡμᾶς πάσχειν ἐν τῷ [g] παρεληλυθότι χρόνῳ ὑπὸ τούτων καὶ ὑπὸ τῆς ὕβρεως τῆς τούτων, ὅπου ὑμῶν, πόλεως τηλικαυτησὶ, κατεφρόνησαν καὶ τῶν νόμων τῶν ὑμετέρων, καὶ ἃ διαρρήδην ἀπαγορεύουσιν οἱ νόμοι μὴ ποιεῖν, οὑτωσὶ καταφρο-
97 νητικῶς ἠκίσαντο τὰ χωρία ἃ [h] κατέλιπεν Ἁγνίας. ὁ δὲ νόμος ἀπαγορεύει μηδ' ἐκ τοῦ αὐτοῦ χωρίου, τοῦ πατρῴου,

[s] Testimonium om. F.S.Q. [t] ἐλάας] Scribebatur ἐλαίας. [u] ταυτὶ] ταύτην F.S.Q. [x] καὶ παρανενομήκασι om. S. in γρ. habent F.Q. [y] Legem om. F.S.Q. [z] ἐλάαν A.r. ἐλαίαν vulgo. [a] ἐλάαιν] Scribebatur ἐλαίαιν, et ἐλαίας l. 24. Sed l. 26. ἐλάαν A. pro vulgato ἐλαίαν. [b] πρυτανεῖα] πρυτάνια A.r. [c] ὃ δὲ τῇ θεῷ γίγνεται addidi cum Reiskio. [d] τῆς] τοῦ r. [e] ἐγγράφωσιν] ἐγγραφῶσιν A.r. [f] οὕτως] οὗτος F. οὗτος οὕτως A.S.r. [g] παρεληλυθότι] παρελθόντι r. [h] κατέλιπεν] κατέλειπεν S.

[i] μηδὲν τούτων ποιεῖν. πολύ γε αὐτοῖς μέλει ἢ τοῖς νόμοις τοῖς ὑμετέροις πείθεσθαι, ἢ ὅπως μὴ [k] ἐξερημωθήσεται ὁ

98 οἶκος [l] ὁ Ἁγνίου. ἐγὼ δ', ὦ ἄνδρες δικασταί, βούλομαι περὶ ἐμαυτοῦ [m] πρὸς ὑμᾶς εἰπεῖν διὰ βραχέων, καὶ [n] ἐπιδεῖξαι ὅτι οὐχ ὁμοίως τούτοις ἐπιμέλειαν ἐποιησάμην τοῦ οἴκου τοῦ Ἁγνίου, ὅπως μὴ ἐξερημωθήσεται. καὶ αὐτὸς γάρ εἰμι τοῦ γένους τοῦ Βουσέλου. Ἅβρωνος γὰρ τοῦ Βουσέλου [o] υἱέος ἔλαβε τὴν θυγατριδῆν Καλλίστρατος, Εὐβουλίδου μὲν υἱὸς ὤν, Βουσέλου δ' [p] ὑϊδοῦς· καὶ ἐκ τῆς Ἅβρωνος θυγατριδῆς καὶ [q] Καλλιστράτου τοῦ ἀδελφιδοῦ

99 τοῦ Ἅβρωνος ἐγένετο ἡ μήτηρ ἡ ἡμετέρα. ἐγὼ δ' [r] ἐπειδὴ ἐπεδικασάμην τῆς τούτου μητρὸς καὶ ἐγένοντό μοι υἱεῖς [s] μὲν [t] τέτταρες, θυγάτηρ δὲ μία, τὰ ὀνόματα ἐθέμην τούτοις, ὦ ἄνδρες δικασταί, τῷ μὲν πρεσβυτάτῳ τὸ τοῦ πατρὸς τοῦ [u] ἐμαυτοῦ ὄνομα, Σωσίαν, ὥσπερ καὶ δίκαιόν ἐστι, καὶ ἀπέδωκα τῷ πρεσβυτάτῳ τοῦτο τὸ ὄνομα· τῷ δὲ [x] μετ' αὐτὸν γενομένῳ τούτῳ ἐθέμην Εὐβουλίδην, ὅπερ ἦν 1076
ὄνομα [y] τῷ πατρὶ τῷ τῆς μητρὸς τοῦ παιδὸς [z] τουτουί· τῷ δὲ μετὰ τοῦτον Μενεσθέα ἐθέμην· καὶ γὰρ ὁ Μενεσθεὺς οἰκεῖος ἦν τῆς ἐμῆς γυναικός· τῷ δὲ νεωτάτῳ ἐθέμην ὄνομα Καλλίστρατον, ὃ ἦν ὄνομα τῷ πατρὶ [a] τῷ τῆς ἐμῆς [b] μητρός.

100 ἔτι δὲ πρὸς τούτοις καὶ τὴν [c] θυγατέρ' ἔδωκα οὐδαμόσε ἔξω, ἀλλὰ τῷ [d] ἀδελφιδῷ τῷ ἐμαυτοῦ, ὅπως, ἐὰν ὑγιαίνωσι, καὶ οἱ ἐκ τούτων ἐκ τοῦ αὐτοῦ γένους ὦσιν Ἁγνίᾳ. ἐγὼ μὲν οὖν τοῦτον τὸν τρόπον διῴκησα, ὅπως ἂν [e] διασῴζων-

[i] μηδὲν τούτων] ταῦτα A.r. [k] ἐξερημωθήσεται] ἐξερημωθῇ A.r. [l] ὁ om. F. [m] πρὸς ὑμᾶς εἰπεῖν] εἰπεῖν πρὸς ὑμᾶς A.r. [n] ἐπιδεῖξαι] δεῖξαι A.r. [o] υἱέος] υἱέως A. [p] ὑϊδοῦς A. ὑιδοῦς F.Q. υἱδοὺς S. υἱϊδοῦς vulgo. [q] Καλλιστράτου] ἐκ καλλιστράτου A.F.S.Q. [r] ἐπειδὴ om. A.r. [s] μὲν supra versum habet A. [t] τέτταρες] τέσσαρες F.Q. [u] ἐμαυτοῦ] ἐμοῦ r. [x] μετ' αὐτὸν] μετάτον S. υ ab eadem m. superscripto. μετὰ τὸν πρεσβύτατον A.r. [y] τῷ πατρὶ τῷ] τὸ r. [z] τουτουί F.S.Q. Scribebatur τούτου. [a] τῷ ego addidi. [b] μητρός] γυναικός B. [c] θυγατέρ' ἔδωκα] θυγατέρα δέδωκα S. in quo librarius primo scripserat δεδήλωκα. [d] ἀδελφιδῷ] ἀδελφῷ A. [e] διασῴζωνται ὅτι μάλιστα] μάλιστα διασῴζωνται A.r.

ται ὅτι μάλιστα οἱ οἶκοι [f] οἱ ἀπὸ τοῦ Βουσέλου· [g] τουτουσὶ δ' ἐξετάσωμεν πάλιν. καὶ [h] πρώτιστον μὲν τὸν νόμον τουτονὶ ἀνάγνωθι.

ΝΟΜΟΣ.

101 [i] Ὁ ἄρχων ἐπιμελείσθω τῶν ὀρφανῶν καὶ τῶν ἐπικλήρων καὶ τῶν
οἴκων τῶν ἐξερημουμένων καὶ τῶν γυναικῶν, ὅσαι μένουσιν ἐν τοῖς οἴκοις τῶν ἀνδρῶν τῶν τεθνηκότων φάσκουσαι κυεῖν. τούτων ἐπιμελείσθω καὶ [k] μὴ [l] ἐάτω ὑβρίζειν [m] μηδένα περὶ τούτους. ἐὰν δέ τις ὑβρίζῃ ἢ ποιῇ τι παράνομον, κύριος ἔστω ἐπιβάλλειν κατὰ τὸ τέλος. ἐὰν δὲ μείζονος ζημίας δοκῇ ἄξιος εἶναι, προσκαλεσάμενος πρόπεμπτα καὶ τίμημα ἐπιγραψάμενος, ὅ τι ἂν δοκῇ αὐτῷ, [n] εἰσαγαγέτω εἰς τὴν ἡλιαίαν. ἐὰν δ' ἁλῷ, τιμάτω ἡ ἡλιαία περὶ τοῦ ἁλόντος, ὅ τι [o] χρὴ αὐτὸν παθεῖν ἢ ἀποτῖσαι.

102 Πῶς ἂν [p] οὖν μᾶλλον ἐξερημώσαιεν ἄνθρωποι οἶκον, ἢ
εἴ τινες [q] τοὺς γένει ὄντας ἐγγυτάτω Ἁγνίᾳ, τούτους ἐξελαύνοιεν ἐξ ἑτέρου οἴκου ὄντες, τοῦ Στρατίου; καὶ πάλιν εἰ τὸν μὲν κλῆρον ἀξιοῖ ἔχειν [r] τὸν Ἁγνίου ὡς γένει προσήκων, τὸ δ' ὄνομα, [s] ὅ ἐστιν αὐτῷ, μὴ ὅτι ἐκ τοῦ Ἁγνίου
οἴκου, ἀλλ' οὐδ' ἐκ τοῦ Στρατίου ἐστὶ τοῦ ἑαυτοῦ [t] προ- 1077
103 γόνου, οὐδ' ἐκ τῶν ἄλλων ἀπογόνων [u] τῶν Βουσέλου,
[x] τοσούτων γενομένων, οὐδενὸς ἔχει τὸ ὄνομα. ἀλλὰ πόθεν [y] δή ἐστι [z] τὸ ὄνομα ὁ Μακάρτατος; ἐκ τῶν πρὸς μητρός. εἰσεποιήθη γὰρ οὗτος εἰς τὸν οἶκον τὸν Μακαρτάτου τοῦ Προσπαλτίου, ἀδελφοῦ ὄντος τῆς μητρὸς τῆς
104 τούτου, καὶ ἔχει καὶ ἐκεῖνον τὸν οἶκον. καὶ οὕτως ἐστὶν
ὑβριστής, ὥστε γενομένου [a] αὐτῷ [b] υἱέος [c] τοῦ μὲν εἰσαγαγεῖν εἰς τὸν οἶκον [d] τὸν Ἁγνίου υἱὸν τῷ Ἁγνίᾳ ἐπελάθετο,

[f] οἱ om. Q. [g] τουτουσὶ] τούτους F.S.Q. [h] πρώτιστον F.S.Q. πρῶτον vulgo. [i] Legem om. F.S.Q. [k] μὴ] μηδ' r. [l] ἐάτω—παράνομον] Sic hæc restituta sunt ex A.r. ἐάτω ὑβρίζειν ἢ ποιεῖν τι παράνομον vulgo. [m] μηδένα non in r. solum legitur, sed etiam in A. quod fugit Reiskium. [n] εἰσαγαγέτω] εἰσαγέτω A.r. [o] χρὴ] δεῖ r. [p] οὖν om. F.S.Q. [q] τοὺς] τούς τε F.S.Q. [r] τὸν] τοῦ A.r. [s] ὅ om. A.r. [t] προγόνου, οὐδ' F.S.Q. Legebatur προγόνου, ἀλλ' οὐδ'. [u] τῶν Βουσέλου] τοῦ βουσέλου r. [x] τοσούτων] τουτωνὶ A.r. [y] δή] δέ F.S.Q. [z] τὸ om. S.Q. [a] αὐτῷ] αὐτοῦ A.r. [b] υἱέος] υἱέως A.B. Nam quod abesse hoc vocabulum ab A. refert Reiskius, falsum est. [c] τοῦ A.r. Legebatur τοῦτον. [d] τὸν Ἁγνίου—τὸν Ἁγνίου] τοῦ ἁγνίου—τοῦ ἁγνίου A.r.

καὶ ταῦτ' ἔχων τὸν κλῆρον τὸν Ἁγνίου καὶ φάσκων πρὸς ἀνδρῶν αὐτῷ προσήκειν· τοῦτον δὲ τὸν υἱὸν τὸν γενόμενον τῷ Μακαρτάτῳ εἰσπεποίηκε τῷ πρὸς μητρὸς εἰς τοὺς [e] Προσπαλτίους, τὸν δὲ Ἁγνίου οἶκον [f] εἴακεν ἔρημον εἶναι τὸ τούτου μέρος· φησὶ δὲ τὸν πατέρα τὸν ἑαυτοῦ Θεόπομ-
105 πον προσήκειν Ἁγνίᾳ. ὁ δὲ νόμος κελεύει ὁ τοῦ Σόλωνος κρατεῖν τοὺς ἄρρενας καὶ τοὺς ἐκ τῶν ἀρρένων· οὗτος δ' οὑτωσὶ ῥᾳδίως κατεφρόνησε καὶ τῶν νόμων καὶ [g] τοῦ Ἁγνίου, καὶ εἰσεποίησε τὸν υἱὸν εἰς τὸν οἶκον τὸν πρὸς μητρός. πῶς ἂν γένοιντο τούτων ἄνθρωποι παρανομώτεροι ἢ βιαιότεροι;

106 Οὐ τοίνυν ταῦτα μόνον, ὦ ἄνδρες δικασταί, ἀλλὰ καὶ μνήματος ὄντος κοινοῦ ἅπασι τοῖς ἀπὸ τοῦ Βουσέλου γενομένοις (καὶ καλεῖται τὸ μνῆμα [h] Βουσελιδῶν, πολὺς τόπος περιβεβλημένος, ὥσπερ οἱ ἀρχαῖοι ἐνόμιζον) ἐν τούτῳ τῷ μνήματι οἱ μὲν ἄλλοι [i] πάντες οἱ ἀπὸ τοῦ [k] Βουσέλου κεῖνται, καὶ ὁ Ἁγνίας καὶ ὁ Εὐβουλίδης καὶ ὁ Πολέμων καὶ οἱ ἄλλοι [l] πάντες τοσοῦτοι ὄντες συγγενεῖς, οἱ ἀπὸ τοῦ Βουσέλου, ἅπαντες οὗτοι κοινωνοῦσι τοῦ μνήματος τούτου·
107 ὁ δὲ τουτουὶ πατὴρ Μακαρτάτου καὶ [m] ὁ πάππος οὐ κε- 1078
κοινωνήκασι [n] τούτου, ἀλλ' αὑτοῖς ἰδίᾳ ἐποιήσαντο μνῆμα [o] ἄπωθεν τοῦ Βουσελιδῶν μνήματος. δοκοῦσιν ὑμῖν, ὦ ἄνδρες δικασταί, προσήκειν τι τῷ οἴκῳ [p] τῷ Ἁγνίου, πλὴν τοῦ ἔχειν ἁρπάσαντες τὰ μὴ προσήκοντα; εἰ δ' ἐξερημωθήσεται [q] ἢ [r] ἀνώνυμος ἔσται ὁ οἶκος [s] ὁ Ἁγνίου καὶ ὁ Εὐβουλίδου [t] τοῦ ἀνεψιοῦ τοῦ Ἁγνίου, οὐδὲ κατὰ τοὐλάχιστον πώποτ' αὐτοῖς ἐμέλησεν.

[e] Προσπαλτίους] πρὸς παλτίους B. παλτίους r. Recte scriptum in A. [f] εἴακεν F.S.Q. εἴασεν vulgo. [g] τοῦ] τῶν Q. [h] Βουσελιδῶν] βουσελιδῶν B. hic et p. 1078, 3. [i] πάντες] ἅπαντες F.S.Q. [k] βουσέλου S. Βουσέλου γενόμενοι vulgo. [l] πάντες] Hic quoque ἅπαντες B.S. [m] ὁ πάππος] ὁ τούτου πάππος A.r. [n] τούτου] τοῦ μνήματος τούτου A.r. [o] ἄπωθεν] ἄποθεν r. solus. [p] τῷ Ἁγνίου] τῷ [οὐ] ἁγνίου F. τοῦ ἁγνίου in litura Q. [q] ἢ F.S.Q. Legebatur καί. [r] ἀνώνυμος] ἀνόνητος r. [s] ὁ ante Ἁγνίου et Εὐβουλίδου om. A.r. [t] τοῦ om. r.

108 Ἐγὼ δ', ὦ ἄνδρες δικασταί, βοηθῶ μὲν ὡς οἷός τ' εἰμὶ
μάλιστα [u] μὲν τοῖς τετελευτηκόσιν ἐκείνοις· οὐ πάνυ δ' ἐστὶ
ῥᾴδιον ταῖς [x] τούτων παρασκευαῖς ἀνταγωνίζεσθαι. παρα-
δίδωμι οὖν ὑμῖν τὸν παῖδα [y] τουτονί, [z] ὦ ἄνδρες δικασταί,
109 ἐπιμεληθῆναι, ὅπως ὑμῖν [a] δοκεῖ δικαιότατον εἶναι. οὗτος
εἰσπεποίηται εἰς τὸν οἶκον τὸν Εὐβουλίδου, καὶ εἰσῆκται
εἰς τοὺς [b] φράτερας, οὐκ [c] εἰς τοὺς ἐμούς, ἀλλ' εἰς τοὺς
Εὐβουλίδου καὶ Ἁγνίου καὶ [d] Μακαρτάτου τουτουί. καὶ ὅτε
εἰσήγετο, οἱ μὲν ἄλλοι φράτερες κρύβδην ἔφερον τὴν ψῆ-
φον, οὑτοσὶ δὲ Μακάρτατος φανερᾷ [e] τῇ ψήφῳ ἐψηφίσατο
ὀρθῶς εἰσάγεσθαι Εὐβουλίδῃ υἱὸν τὸν παῖδα τουτονί, οὐκ
ἐθελήσας ἅψασθαι τοῦ ἱερείου οὐδ' ἀπαγαγεῖν ἀπὸ τοῦ
βωμοῦ, ὑπεύθυνον αὑτὸν ποιήσας· ἀλλὰ καὶ τὴν μερίδα
τῶν κρεῶν ᾤχετο λαβὼν παρὰ τοῦ παιδὸς τουτουί, ὥσπερ
110 καὶ [f] οἱ ἄλλοι φράτερες. νομίζετε δὴ τὸν παῖδα τοῦτον,
ὦ ἄνδρες δικασταί, ἱκετηρίαν ὑμῖν προκεῖσθαι ὑπὲρ τῶν
τετελευτηκότων Ἁγνίου [g] καὶ Εὐβουλίδου καὶ τῶν ἄλλων
τῶν ἀπὸ τοῦ Ἁγνίου, καὶ ἱκετεύειν αὐτοὺς ὑμᾶς τοὺς δι-
καστὰς ὅπως μὴ ἐξερημωθήσεται αὐτῶν ὁ οἶκος ὑπὸ τῶν
μιαρῶν τούτων θηρίων, οἵ εἰσιν ἐκ τοῦ Στρατίου οἴκου, ἐκ 1079
δὲ τοῦ Ἁγνίου οὐδεπώποτ' ἐγένοντο· μηδ' ἐπιτρέψητε
τούτοις ἔχειν τὰ μὴ προσήκοντα, ἀλλ' ἀποδοῦναι ἀναγ-
κάσατε εἰς τὸν Ἁγνίου οἶκον τοῖς προσήκουσι τοῖς Ἁγνίου.
111 ἐγὼ μὲν οὖν ἐκείνοις τε βοηθῶ τοῖς τετελευτηκόσι καὶ τοῖς
νόμοις τοῖς περὶ τούτων κειμένοις, δέομαι [h] δὲ καὶ ὑμῶν,
ὦ ἄνδρες δικασταί, καὶ ἱκετεύω καὶ ἀντιβολῶ, μὴ [i] περιί-
δητε μήτε τὸν παῖδα τουτονὶ ὑβρισθέντα ὑπὸ τούτων, μήτε

[u] μὲν om. A.r. [x] τούτων] τούτου A.r. [y] τουτονὶ] τοῦτον B. [z] ὦ ἄνδρες δικασταὶ hoc loco F.S.Q. ante τὸν παῖδα vulgo. [a] δοκεῖ δικαιότατον S.Q. δοκῇ δικαιότατον F. δικαιότατα δοκῇ A.r. [b] φράτερας] Scribebatur φράτορας et infra bis φράτορες. [c] εἰς τοὺς ἐμούς, ἀλλ' om. S. [d] μακαρτάτου τουτουί A.r. μακαρτάτουι (sic) S. Aberat τουτουί. [e] τῇ om. F.S.Q. [f] οἱ om. r. [g] καὶ Εὐβουλίδου om. A.r. [h] δὲ καὶ ὑμῶν] δ' ὑμῶν A.r. [i] περιίδητε] περιείδητε A.

τοὺς προγόνους [k]τοὺς τούτου ἔτι μᾶλλον καταφρονουμένους ἢ νῦν καταπεφρόνηνται, ἐὰν διαπράξωνται οὗτοι ἃ βούλονται· ἀλλὰ τοῖς τε νόμοις βοηθεῖτε καὶ τῶν τετελευτηκότων ἐπιμελεῖσθε, ὅπως μὴ ἐξερημωθῇ αὐτῶν ὁ οἶκος. καὶ ταῦτα ποιοῦντες τά τε δίκαια ψηφιεῖσθε καὶ τὰ εὔορκα καὶ [l]τὰ ὑμῖν αὐτοῖς συμφέροντα[m].

ΜΔ.

ΠΡΟΣ [n]ΛΕΩΧΑΡΗΝ [o]ΠΕΡΙ ΤΟΥ ΚΛΗΡΟΥ.

[p]ΥΠΟΘΕΣΙΣ.

Ἀρχιάδου τελευτήσαντος ἄπαιδος Λεωκράτης κατέσχε τὸν κλῆρον, συγγενής τε ὢν αὐτοῦ καὶ εἰσπεποιῆσθαι λέγων ὑπὸ Ἀρχιάδου. καὶ μέχρι μέν τινος αὐτὸς κατεῖχεν, ἔπειτα τὸν υἱὸν τὸν ἑαυτοῦ Λεώστρατον εἰσποιήσας [q]ἀνθ' αὑτοῦ τῷ Ἀρχιάδῃ ἐξίσταται τοῦ οἴκου καὶ εἰς τὸν οἰκεῖον ἀνεχώρησεν, ὡς ἄδειαν δεδωκότος [r]τούτων τοῦ νόμου. ἐποίησε δὲ [s]ταὐτὸ [t]ὁ Λεώστρατος, καὶ ἀνθ' αὑτοῦ καταλιπὼν ἐν τῷ οἴκῳ τοῦ Ἀρχιάδου παῖδα Λεωκράτην καλούμενον ἐπανῆλθεν αὐτὸς εἰς τὴν οἰκίαν τὴν τοῦ φύσει πατρός. ὁ μὲν δὴ Λε- 1080
ωκράτης, ὁ τελευταῖος εἰσποιηθεὶς τῷ Ἀρχιάδῃ, τέθνηκεν ἄπαις, προσελήλυθε δὲ τῷ κλήρῳ Ἀριστόδημος, λέγων ἐγγύτατα τοῦ γένους εἶναι τῷ Ἀρχιάδῃ, οὗπερ ἦν ὁ κλῆρος ἐξ ἀρχῆς, καὶ δι' ἐκεῖνον τῷ Λεωκράτει τῷ τελευταίῳ τῶν εἰσποιηθέντων. Λεωχάρης δὲ ὁ ἀδελφὸς τοῦ τεθνηκότος ἀμφισβητεῖ τοῦ κλήρου, τὸ [u]μὲν ὅλον ἰσχυριζόμενος [x]ποιήσει ὡς υἱὸς ποιητὸς ὢν τοῦ Λεωκράτους, φάσκων δὲ εἶναι καὶ συγγενὴς Ἀρχιάδου. ὁ δὲ ὑπὲρ Ἀριστοδήμου λέγων ἐπιδείκνυσι τὴν μὲν τοῦ γένους ἀγχιστείαν Ἀριστοδήμῳ διδοῦσαν τὸν κλῆρον, τὴν δὲ ποίησιν [y]παραπλησίαν οὖσαν· οὐ γὰρ ζῶν, φησὶν, ὁ Λεωκράτης ἐποιήσατο παῖδα τὸν [z]Λεωχάρην, καθάπερ οἱ νόμοι κελεύουσιν, ἀλλὰ μετὰ τὴν ἐκείνου τελευτὴν ἐπ'

[k] τοὺς om. A.r. [l] τὰ om. A.r. [m] In S. subscriptum πρὸς μακάρτατον περὶ ἁγνίου κλήρου. |Η|Η|Δ|ΔΔ. [n] ΛΕΩΧΑΡΗΝ] ΛΕΩΧΑΡΗ S. [o] ΠΕΡΙ ΤΟΥ (τοῦ om. A.B.) ΚΛΗΡΟΥ om. S. [p] Argumentum a m. rec. habet S. [q] ἀνθ' αὑτοῦ] ἀντ' αὐτοῦ hic et paullo post F.S. [r] τούτων] τοῦτο F.S. [s] ταὐτὸ] τὸ αὐτὸ F.S. [t] ὁ F.S. Legebatur καὶ ὁ. [u] μὲν Wolfius. δὲ libri. [x] ποιήσει] ποιῆσαι S. [y] παραπλησίαν] παράπλαστον Bekkerus. [z] Λεωχάρην B. Λεωχάρη F.S. Λεωχάρητα vulgo.

ἀποστερήσει τῆς οὐσίας παρὰ τοὺς νόμους ἡ εἰσποίησις γίνεται. λέγει δὲ τὸν λόγον [a]*τοῦ Ἀριστοδήμου ὁ υἱός.*

ΑΙΤΙΟΣ μέν ἐστι Λεωχάρης [b]οὑτοσί, ὦ ἄνδρες δικασταί,
τοῦ καὶ [c]αὐτὸν κρίνεσθαι καὶ ἐμὲ νεώτερον ὄντα λέγειν ἐν
ὑμῖν, ἀξιῶν κληρονομεῖν ὧν οὐ προσῆκεν αὐτῷ, καὶ ὑπὲρ
τούτων ψευδῆ διαμαρτυρίαν πρὸς τῷ ἄρχοντι ποιησάμενος.
2 ἡμῖν μὲν γὰρ ἀναγκαῖον ἦν, τοῦ νόμου τὰς ἀγχιστείας 1081
[d]τοῖς ἐγγυτάτω [e]γένους ἀποδιδόντος, οὖσιν οἰκείοις Ἀρχιά-
δου τοῦ ἐξ ἀρχῆς [f]καταλιπόντος τὸν κλῆρον, μήτε τὸν οἶκον
ἐξερημωθέντα [g]τὸν ἐκείνου [h]περιιδεῖν μήτε τῆς οὐσίας ἑτέ-
ρους κληρονομήσαντας, οἷς οὐδ᾽ ὁτιοῦν προσήκει· οὑτοσὶ δὲ
οὔτε γένει τοῦ τετελευτηκότος υἱὸς ὢν οὔτ᾽ εἰσποιηθεὶς κατὰ
τοὺς νόμους, ὡς ἐγὼ δείξω, διαμεμαρτύρηκεν [i]οὕτω τὰ
ψευδῆ προπετῶς, [k]ἀφαιρούμενος ἡμῶν τὴν κληρονομίαν.
3 δέομαι δ᾽ ὑμῶν, ὦ ἄνδρες δικασταί, βοηθῆσαι τῷ [l]τε
πατρὶ τούτῳ καὶ ἐμοί, [m]ἐὰν λέγωμεν τὰ δίκαια, καὶ μὴ
περιιδεῖν πένητας ἀνθρώπους καὶ ἀσθενεῖς [n]καταστα-
σιασθέντας ὑπὸ παρατάξεως ἀδίκου. ἡμεῖς μὲν γὰρ ταῖς
ἀληθείαις πιστεύοντες εἰσεληλύθαμεν, καὶ ἀγαπῶντες, [o]ἄν
4 τις ἡμᾶς ἐᾷ τῶν νόμων τυγχάνειν· οὗτοι δὲ τῇ παρασκευῇ
καὶ τοῖς ἀναλώμασιν ἰσχυριζόμενοι διατετελέκασιν, εἰκό-
τως, οἶμαι· ἐκ γὰρ τῶν ἀλλοτρίων ῥᾳδίως ἀναλίσκουσιν,
ὥστε καὶ τοὺς συνεροῦντας ὑπὲρ αὐτῶν καὶ τοὺς [p]μαρτυ-
5 ρήσοντας τὰ ψευδῆ πολλοὺς πεπορίσθαι. ὁ δὲ πατὴρ οὑ-
τος (εἰρήσεται γάρ) ἅμα τῆς πενίας, [q]ὡς ὑμεῖς ἅπαν-
τες ἴστε, καὶ τοῦ ἰδιώτης εἶναι φανερὰς ἔχων τὰς μαρ-
τυρίας ἀγωνίζεται· διατελεῖ γὰρ ἐν Πειραιεῖ κηρύττων·

[a] τοῦ ἀριστοδήμου ὁ υἱός F.S. ὁ τοῦ Ἀριστοδήμου υἱός vulgo. [b] οὑτοσὶ] οὑτωσί Q. [c] αὐτὸν κρίνεσθαι] ἀντικρίνεσθαι r. [d] τοῖς om. F. [e] γένους] γένει A.r. [f] καταλιπόντος] καταλειποντος sine accentu S. [g] τὸν om. A.r. [h] περιιδεῖν] ὑπεριδεῖν A. [i] οὕτω] οὕτως S. [k] ἀφαιρούμενος ἡμῶν] ἡμῶν ἀφαιρούμενος r. [l] τε] γε F.S.Q. [m] ἐὰν] ἐὰν δὲ S. [n] καταστασιασθέντας] καὶ καταστασιασθέντας F. [o] ἄν] ἐάν A.r. [p] μαρτυρήσοντας A.r. Legebatur μαρτυροῦντας. [q] ὡς] ἧς Reiskius.

τοῦτο δ' ἐστὶν οὐ μόνον ἀπορίας ἀνθρωπίνης τεκμήριον, ἀλλὰ καὶ ἀσχολίας τῆς ἐπὶ τὸ πραγματεύεσθαι· ἀνάγκη γὰρ [r] ἡμερεύειν ἐν τῇ ἀγορᾷ τὸν τοιοῦτον. ἃ δεῖ λογιζομένους ἐνθυμεῖσθαι ὅτι, εἰ μὴ τῷ δικαίῳ ἐπιστεύομεν, οὐκ ἄν ποτ' εἰσήλθομεν εἰς ὑμᾶς.

6 Περὶ μὲν οὖν τῶν τοιούτων καὶ προϊόντος τοῦ λόγου 1082
σαφέστερον ἀκούσεσθε· ὑπὲρ αὐτῆς δὲ τῆς [s] διαμαρτυρίας καὶ τοῦ ἀγῶνος ἤδη νομίζω δεῖν διδάσκειν. εἰ μὲν οὖν, ὦ ἄνδρες δικασταί, ἐκ τῆς διαμαρτυρίας αὐτῆς Λεωχάρης [t] ἤμελλεν ἀπολογούμενος δείξειν ὡς ἔστιν υἱὸς γνήσιος Ἀρχιάδου, οὐδὲν ἂν ἔδει πολλῶν λόγων, οὐδ' ἄνωθεν ὑμᾶς
7 ἐξετάζειν τὸ γένος τὸ ἡμέτερον· ἐπειδὴ δὲ [u] τὰ μὲν διαμεμαρτυρημένα ἕτερον τρόπον ἔχει, ὁ δὲ πολὺς τοῦ λόγου τουτοισὶ ἔσται ὡς [x] εἰσεποιήθησαν, καὶ κατὰ τὴν ἀγχιστείαν γνήσιοι ὄντες δικαίως ἂν τῆς οὐσίας κληρονομοῖεν, [y] ἀναγκαῖον, ὦ ἄνδρες δικασταί, διὰ ταῦτα μικρῷ ἄνωθεν τὰ περὶ τοῦ γένους ὑμῖν διεξελθεῖν· ἐὰν γὰρ τοῦτο σαφῶς μάθητε, οὐ μὴ παρακρουσθῆτε ὑπ' αὐτῶν τῷ
8 λόγῳ. ἔστι γὰρ ὁ μὲν ἀγὼν οὑτοσὶ κλήρου [z] διαδικασία, ἀμφισβητεῖται δὲ παρὰ μὲν ἡμῶν κατὰ γένος ἡ ἀγχιστεία, παρὰ δὲ τούτων κατὰ ποίησιν· ὁμολογοῦμεν δ' ἐναντίον ὑμῶν [a] δεῖν τὰς [b] ποιήσεις κυρίας εἶναι, ὅσαι ἂν κατὰ τοὺς νόμους δικαίως γένωνται. ὥστε ταύτας τὰς ὑποθέσεις μεμνημένοι, ἂν δείξωσιν ὑμῖν διδόντας τοὺς νόμους αὐτοῖς ἃ διαμεμαρτυρήκασι, ψηφίσασθε αὐτοῖς
9 τὸν κλῆρον. καὶ ἐὰν μὲν ἐκ τῶν νόμων μὴ ὑπάρχῃ, δίκαια δὲ καὶ φιλάνθρωπα φαίνωνται λέγοντες, καὶ [c] οὕτω

[r] ἡμερεύειν] καὶ ἡμερεύειν A.r. [s] διαμαρτυρίας] μαρτυρίας F.Q. Iidem et S. μαρτυρίαν pro διαμαρτυρίαν p. 1094, 24. [t] ἤμελλεν S. ἔμελλεν vulgo. [u] τὰ μὲν διαμεμαρτυρημένα] τὰ μεμαρτυρημένα A.r. omisso μὲν, quod in A. legi falso tradidit Reiskius. [x] εἰσεποιήθησαν] ἐποιήθησαν A.r. [y] ἀναγκαῖον] ἀναγκαῖόν ἐστιν A.r. [z] διαδικασία] διαδικασίας A.S.r. [a] δεῖν supra versum S. a m. antiqua et fortasse prima. [b] ποιήσεις] πογήσεις S. inserto ab eadem manu ι. [c] οὕτω Wolfius. Legebatur ὅμως, pro quo ὅλως r.

συγχωροῦμεν. ἵνα δὲ εἰδῆτε ὅτι κατὰ γένος ἐγγύτατα ὄντες οὐ μόνον τούτῳ ἐνισχυριζόμεθα, ἀλλὰ καὶ τοῖς ἄλλοις ἅπασι, πρῶτον μὲν ὑπὲρ αὐτοῦ τοῦ γένους [d]ὑμᾶς διδάξομεν, ὅθεν ἐστὶν ὁ κλῆρος· νομίζω γάρ, ἂν τούτῳ 1083 τῷ μέρει τοῦ ἀγῶνος σαφῶς παρακολουθήσητε, καὶ τῶν ἄλλων [e]ὑμᾶς οὐδενὸς [f]ἀπολειφθήσεσθαι.

10 Τὸ γὰρ ἐξ ἀρχῆς, ὦ ἄνδρες δικασταί, γίγνονται Εὐθυμάχῳ τῷ Ὀτρυνεῖ υἱεῖς τρεῖς, [g]Μειδυλίδης καὶ [h]Ἄρχιππος καὶ Ἀρχιάδης, καὶ θυγάτηρ ᾗ ὄνομα ἦν Ἀρχιδίκη. τελευτήσαντος δὲ τοῦ πατρὸς αὐτοῖς τὴν μὲν Ἀρχιδίκην ἐκδιδόασι Λεωστράτῳ Ἐλευσινίῳ, αὐτῶν δὲ τριῶν ὄντων ὁ μὲν Ἄρχιππος τριηραρχῶν ἐτελεύτησε τὸν βίον ἐν Μηθύμνῃ, ὁ δὲ Μειδυλίδης οὐ πολλῷ χρόνῳ [i]γαμεῖ ὕστερον Μνησιμάχην Λυσίππου τοῦ [k]Κριωέως θυγατέρα,

11 καὶ γίγνεται αὐτῷ [l]θυγάτηρ ὄνομα Κλειτομάχη, ἣν ἠβουλήθη μὲν ἐκεῖνος ἀγάμῳ τῷ ἀδελφῷ ὄντι τῷ ἑαυτοῦ ἐκδοῦναι· ἐπειδὴ δ' ὁ Ἀρχιάδης οὐκ ἔφη προαιρεῖσθαι γαμεῖν, ἀλλὰ καὶ τὴν οὐσίαν ἀνέμητον [m]διὰ ταῦτα συγχωρήσας εἶναι ᾤκει καθ' αὑτὸν ἐν τῇ [n]Σαλαμῖνι, οὕτως ἤδη ὁ Μειδυλίδης ἐκδίδωσι τὴν [o]αὐτοῦ θυγατέρα Ἀριστοτέλει [p]Παλληνεῖ τῷ πάππῳ τῷ ἐμῷ. καὶ γίγνονται [q]ἐξ [r]αὐτοῦ [s]υἱεῖς τρεῖς, Ἀριστόδημός τε οὑτοσὶ ὁ πατὴρ ὁ ἐμὸς καὶ [t]Ἁβρώνιχος ὁ θεῖος καὶ Μειδυλίδης, ὃς

12 νῦν τετελευτηκὼς τυγχάνει. καὶ ἡ μὲν τοῦ γένους ἀγχιστεία τοῦ ἡμετέρου, ἐν ᾧ ἐστὶν ὁ κλῆρος, σχεδὸν οὕτως

[d] ὑμᾶς ante ὑπὲρ F.Q. [e] ὑμᾶς οὐδενὸς] οὐδενὸς ὑμᾶς A.r. [f] ἀπολειφθήσεσθαι] απολειφθήσεσθαι (ὑ superscr.) F. ὑπολειφθήσεσθαι S.Q. [g] Μειδυλίδης] μιδυλίδης A.S.Q.r. hic et infra constanter, scriptura non minus vitiosa quam πάτραν Μιδυλιδᾶν apud Pindarum Pyth. 8, 53. notata ab L. Dindorfio in Thesauro vol. 6. p. 1046. [h] Ἄρχιππος] ὁ ἄρχιππος F. [i] γαμεῖ ὕστερον A.S.r. Legebatur ὕστερον γαμεῖ. [k] Κριωέως] κριέως (ω superscr.) S. ω a m. pr. superscripto. κρισέως F. κριωσέως A.r. [l] θυγάτηρ] θυγάτηρ ἣ F.Q. [m] διὰ ταῦτα] διαῦτα Q. [n] Σαλαμῖνι] σαλαμεινη pr. S. [o] αὐτοῦ θυγατέρα] θυγατέρα ἑαυτοῦ A.r. [p] Παλληνεῖ] παλλῆνι A.r. [q] ἐξ om. A. [r] αὐτοῦ] αὐτῶν Reiskius. [s] υἱεῖς] υἱοὶ r. [t] Ἁβρώνιχος codices. Ἁβρώνυχος vulgo.

ἔχει, ὦ ἄνδρες δικασταί. Ἀρχιάδῃ γὰρ πρὸς ἀνδρῶν
ἡμεῖς [u] ἦμεν γένει ἐγγυτάτω, καὶ κατὰ τοῦτον τὸν νόμον
ἀξιοῦντες τῆς ἐκείνου οὐσίας κληρονομεῖν καὶ τὸ γένος μὴ
περιιδεῖν ἐξερημωθὲν, ἐλάχομεν πρὸς τὸν ἄρχοντα τοῦ κλή-
13 ρου. οὗτοι δ' ἔχοντες οὐ δικαίως τὰ χρήματα διαμεμαρ- 1084
τυρήκασι νυνὶ, τὸ μὲν ὅλον ἰσχυριζόμενοι [v] ποιήσει, φά-
σκοντες δὲ καὶ συγγενεῖς εἶναι. περὶ μὲν οὖν ταύτης τῆς
ποιήσεως, ὃν τρόπον ἔχει, σαφῶς ὑμᾶς [x] ὕστερον [y] διδά-
ξομεν· περὶ δὲ τοῦ γένους, ὡς οὐκ εἰσὶν ἡμῶν ἐγγυτέρω,
14 τοῦτο δεῖ μαθεῖν ὑμᾶς. ἐν μὲν οὖν [z] ὁμολογεῖται, τὸ κρα-
τεῖν τῶν [a] κληρονομιῶν τοὺς ἄρρενας καὶ τοὺς ἐκ τῶν ἀρ-
ρένων· ἁπλῶς γὰρ τοῖς ἐγγυτάτω πρὸς ἀνδρῶν, ὅταν
[b] μὴ παῖδες ὦσιν, ὁ νόμος τὰς κληρονομίας ἀποδίδωσιν.
οὗτοι δ' ἐσμὲν ἡμεῖς· ἄπαις μὲν γὰρ ὁ Ἀρχιάδης ὁμολο-
γεῖται τετελευτηκέναι, τούτῳ δὲ πρὸς ἀνδρῶν ἡμεῖς ἐσμὲν
15 [c] ἐγγυτάτω. πρὸς δὲ καὶ ἐκ γυναικῶν οἱ αὐτοὶ οὗτοι·
ὁ γὰρ Μειδυλίδης ἀδελφὸς ἦν τοῦ Ἀρχιάδου, τοῦ δὲ
Μειδυλίδου θυγάτηρ ἡ τοῦ ἐμοῦ [d] πατρὸς μήτηρ, ὥστε
γίγνεται Ἀρχιάδης, ὑπὲρ οὗ τοῦ κλήρου τὴν ἐπιδικασίαν
ποιούμεθα νυνὶ, θεῖος τῇ τοῦ πατρὸς [e] τοῦ ἐμοῦ μητρὶ ἐκ
πατραδέλφων, πρὸς ἀνδρῶν ἔχων τὴν συγγένειαν ταύτην
16 καὶ οὐ πρὸς γυναικῶν. Λεώστρατος δ' οὑτοσὶ γένει [f] τε
ἀπωτέρω ἐστὶ καὶ πρὸς γυναικῶν οἰκεῖος Ἀρχιάδῃ· ἡ γὰρ
τοῦ Λεωκράτους μήτηρ [g] τοῦ τούτου πατρὸς [h] ἀδελφιδῆ ἦν
τῷ Ἀρχιάδῃ ἐκείνῳ καὶ τῷ Μειδυλίδῃ, ἀφ' ὧν ἡμεῖς ὄντες
ἀξιοῦμεν τῆς κληρονομίας τυχεῖν.
17 Πρῶτον μὲν οὖν, ὦ ἄνδρες δικασταὶ, τὸ γένος ἡμῶν
ὅτι οὕτως ἔχει, ὥσπερ καὶ λέγομεν, ἀναγνώσεται ὑμῖν

[u] ἦμεν] μὲν S. [v] ποιήσει] ποιήσειν A.F.S.Q. et pr. r. [x] ὕστερον om. A.r. [y] διδάξομεν] διδάξωμεν S. [z] ὁμολογεῖται] ὡμολόγηται A.r. [a] κληρονομιῶν] κληρονόμων F.S.Q. [b] μὴ] μὲν S. [c] ἐγγυτάτω] ἐγγυτάτωι F.S. constanter. [d] τοῦ ἐμοῦ πατρὸς A.F.S.r. Legebatur τοῦ πατρὸς τοῦ ἐμοῦ. [e] πατρὸς τοῦ ἐμοῦ A.S. Legebatur ἐμοῦ πατρός. [f] τε om. A.r. [g] τοῦ τούτου] τούτου τοῦ F S.Q. [h] ἀδελφιδῆ] ἀδελφὴ Q.

τὰς μαρτυρίας, ἔπειτα [i] μετὰ ταῦτα τὸν νόμον αὐτὸν [k] τὸν τοῖς [l] τε γένεσι καὶ τοῖς ἐγγυτάτω πρὸς ἀνδρῶν τὰς κληρονομίας ἀποδιδόντα· τὰ γὰρ κεφάλαια τοῦ ἀγῶνος, καὶ ὑπὲρ ὧν ὀμωμοκότες οἴσετε τὴν ψῆφον, σχεδόν τι ταῦτ' 1085
ἐστίν. καί μοι κάλει τούς τε μάρτυρας δευρὶ καὶ τὸν νόμον ἀναγίγνωσκε.

ΜΑΡΤΥΡΕΣ. ΝΟΜΟΣ.

18 Τὰ μὲν τοίνυν περὶ τὸ γένος τό τε τούτων καὶ τὸ
ἡμέτερον οὕτως ἔχει, ὦ ἄνδρες δικασταί, ὥστε τοὺς ἐπι-
δεδειχότας ἐξ αὐτῶν τῶν μαρτυριῶν ὡς εἰσὶ γένει ἐγγυ-
τέρω προσήκει κληρονομεῖν, καὶ [m] μὴ τὴν τοῦ [n] διαμαρτυ-
ρήσαντος ἀπόνοιαν κρείττω τῶν ὑμετέρων [o] νομίμων γενέ-
σθαι. καὶ γὰρ εἰ τῇ ποιήσει ἰσχυρίζονται, ἣν ὡς ἐγέ-
19 νετο ἡμεῖς δείξομεν, [p] τετελευτηκότος τοῦ εἰσποιηθέντος
δήπου [q] ἄπαιδος καὶ τοῦ οἴκου μέχρι τῆς ἡμετέρας [r] λήξεως
ἐξηρημωμένου, πῶς οὐ προσήκει τοὺς ἐγγυτάτω γένει
ὄντας, τούτους τὴν κληρονομίαν κομίσασθαι, καὶ ὑμᾶς
[s] μὴ τοῖς δυναμένοις ἄριστα παρασκευάσασθαι ἀλλὰ τοῖς
20 ἀδικουμένοις τῶν πολιτῶν [t] βοηθεῖν; εἰ μὲν γὰρ ἐφ' ἡμῖν
ἦν, ὥστε δείξασι τὰ περὶ τοῦ γένους καὶ τῆς [u] διαμαρτυ-
ρίας αὐτῆς καταβῆναι καὶ μηδενὸς ἔτι πλείονος λόγου
προσδεῖσθαι, σχεδόν τι τῶν [x] μεγίστων εἰρημένων οὐκ ἂν
21 [y] ἠνωχλοῦμεν τὰ πλείω. ἐπειδὴ δὲ [z] οὗτοι τοῖς μὲν νόμοις
οὐκ [a] ἐνισχυριοῦνται, τῷ δὲ προειληφέναι τι τῶν πραγμά-
των ἐκ τοῦ ἄνωθεν χρόνου καὶ [b] τῷ ἐμβεβατευκέναι εἰς τὴν
οὐσίαν, τούτοις τεκμηρίοις χρώμενοι φήσουσι κληρονομεῖν,

[i] μετὰ ταῦτα om. A.r. [k] τὸν addidit Reiskius. [l] τε om. r. [m] μὴ] μὴ διὰ F.Q. [n] διαμαρτυρήσαντος] μαρτυρήσαντος Q. [o] νομίμων] νόμων S. literis μι ab eadem, ut videtur, m. superscriptis. [p] τετελευτηκότος] γὰρ addunt A.r., δὲ F.S.Q., ut vulgo. Particulam delevit Wolfius. [q] ἄπαιδος Wolfius. Legebatur παιδός. [r] λήξεως] λήξεως δήπου A.r. [s] μὴ] καὶ A.r. [t] βοηθεῖν] ποϊ βοηθεῖν S. [u] διαμαρτυρίας] μαρτυρίας A. [x] μεγίστων om. F.Q. πλείστων γρ. Q. [y] ἠνωχλοῦμεν] ἠνωχλούμην r. ἠνωχλουμὴν S. [z] οὗτοι] καὶ οὗτοι A.S.r. [a] ἐνισχυριοῦνται S. et γρ. Q. ἰσχυρίζονται F.Q. Legebatur ἰσχυριοῦνται. [b] τῷ] τοῦ A.

ἀναγκαῖον ἴσως καὶ περὶ τούτων [c] ἐστὶν εἰπεῖν καὶ δεῖξαι
τούτους πάντων ἀνθρώπων βιαιοτάτους ὄντας.
22 Τὸ γὰρ ἐξ ἀρχῆς, ὦ ἄνδρες δικασταὶ, ἐκδιδόασι τὴν
ἀδελφὴν τὴν ἑαυτῶν ὁ Μειδυλίδης καὶ ὁ Ἀρχιάδης Λεω-
στράτῳ [d] Ἐλευσινίῳ· μετὰ δὲ ταῦτα ἐκ θυγατρὸς τῆς ἐκ- 1086
δοθείσης ἀδελφῆς [e] ταύτης [f] τῆς αὐτῶν γίγνεται Λεω-
κράτης ὁ πατὴρ [g] Λεωστράτου τουτουὶ, σκέψασθε ὡς
πολλοστὸς εἰς τὴν τοῦ Ἀρχιάδου συγγένειαν προσήκων,
23 ὑπὲρ οὗ τὴν διαμαρτυρίαν πεποίηται. τούτων δ' οὕτως
ἐχόντων ὁ μὲν Ἀρχιάδης οὐκ ἐγάμει, ὁ δὲ Μειδυλίδης ὁ
ἀδελφὸς αὐτοῦ, πάππος δὲ τουτουὶ ἔγημεν. καὶ οὐδέπω
τὴν οὐσίαν [h] ἐνέμοντο, ἀλλ' ἑκάτερος ἔχων τὰ ἱκανὰ ὁ
μὲν Μειδυλίδης ἐν τῷ ἄστει [i] διέμενεν, ὁ δ' Ἀρχιάδης ἐν
24 [k] Σαλαμῖνι ᾤκει. οὐ πολλῷ δὲ χρόνῳ ὕστερον ἀποδημίας
τινὸς εἰς τὴν ὑπερορίαν συμβάσης τῷ Μειδυλίδῃ τῷ
πάππῳ τῷ τοῦ πατρὸς ἠρρώστησεν ὁ Ἀρχιάδης, καὶ τε-
λευτᾷ τὸν βίον ἀπόντος τοῦ Μειδυλίδου ἄγαμος ὤν. τί
τούτου σημεῖον; [l] λουτροφόρος ἐφέστηκεν ἐπὶ τῷ τοῦ
25 Ἀρχιάδου τάφῳ. ἐν δὲ [m] τούτῳ τῷ καιρῷ ἔχων τὴν τῆς
συγγενείας τῆς πρὸς γυναικῶν πρόφασιν Λεωκράτης ὁ
τουτουὶ πατὴρ Λεωστράτου εἰσποιεῖ αὑτὸν υἱὸν τῷ Ἀρ-
χιάδῃ, καὶ ἐνεβάτευσεν [n] οὕτως εἰς τὴν οὐσίαν ὡς ὑπ'
26 ἐκείνου ζῶντος ἔτι εἰσποιηθείς. ἀφικόμενος δ' ὁ Μειδυλί-
δης ἠγανάκτει τε τῷ γεγενημένῳ καὶ [o] οἷος ἦν ἐπεξιέναι
τῷ Λεωκράτει· πειθόντων δὲ τῶν οἰκείων καὶ δεομένων
ἐᾶν ἐν τῷ οἴκῳ εἶναι τὸν Λεωκράτην υἱὸν εἰσποιητὸν τῷ
Ἀρχιάδῃ, συνεχώρησεν ὁ Μειδυλίδης, οὐχ ἡττηθεὶς ἐν
δικαστηρίῳ, ἀλλὰ τὸ μὲν ὅλον ὑπὸ τούτων ἀπατηθεὶς,

[c] ἐστὶ post ἴσως F.Q. [d] Ἐλευσινίῳ] ἐλευσεινίωι S. per diphthongum hic et p. 1087, 9. 15. 1088, 14. [e] ταύτης om. A.r. [f] τῆς om. F.S.Q. [g] Λεωστράτου] λεωκράτους A.r. [h] ἐνέμοντο] ἐνείματο A.r. [i] διέμενεν] διέμεινεν F. διέμεινεν A.S.Q. διένεμεν r. [k] Σαλαμῖνι] σαλαμεινι S. [l] λουτροφόρος] ἡ λουτροφόρος Schæferus, ut p. 1089, 23. legitur. [m] τούτῳ] τούτου r. [n] οὕτως om. A.r. [o] οἷος ἦν] οσην S.

27 ἔπειτα μέντοι καὶ τοῖς οἰκείοις πειθόμενος. [p] καὶ ὁ [q] μὲν
Μειδυλίδης ταῦτα πράξας τελευτᾷ τὸν βίον, ὁ δὲ Λεω-
κράτης εἶχε τὴν τοῦ Ἀρχιάδου οὐσίαν καὶ ἐκληρονόμει 1087
πολλὰ ἔτη ὡς ἂν ἐκείνου υἱὸς [r] ποιητός· ἡμεῖς δὲ παρὰ
τὸ τὸν Μειδυλίδην ταῦτα συγχωρῆσαι ἡσυχίαν εἴχομεν.
χρόνῳ δ' ὕστερον οὐ πολλῷ—τοῖς γὰρ μετὰ ταῦτα λόγοις
28 ἤδη σφόδρα τὸν νοῦν προσέχετε, ὦ ἄνδρες δικασταί· ὁ
γὰρ Λεωκράτης ὁ εἰσποιητὸς γενόμενος τῷ Ἀρχιάδῃ, ἐγ-
καταλιπὼν τουτονὶ Λεώστρατον ἐν τῷ οἴκῳ υἱὸν γνήσιον,
ἐπανῆλθεν αὐτὸς εἰς τοὺς Ἐλευσινίους, ὅθεν ἦν τὸ ἐξ ἀρ-
χῆς. καὶ οὐδ' ἐνταῦθ' [s] οὐδέπω ἡμεῖς οὐδὲν τῶν πραγμά-
των [t] περὶ τὸν κλῆρον [u] ἐκινοῦμεν, ἀλλ' ἐμένομεν ἐπὶ τῶν
29 αὐτῶν. πάλιν [x] τοίνυν Λεώστρατος [y] αὐτὸς οὑτοσὶ, εἰσ-
ποιητὸς [z] ὢν υἱὸς καὶ ἐγκαταλειφθεὶς ἐν τῷ τοῦ Ἀρ-
χιάδου οἴκῳ, ἐπανέρχεται, ὥσπερ ὁ πατὴρ αὐτοῦ, ἐπὶ
τοὺς Ἐλευσινίους, [a] ἐγκαταλιπὼν υἱὸν [b] γνήσιον καὶ διὰ
τριῶν σωμάτων [c] κυρίαν τὴν ἐξ ἀρχῆς [d] ποίησιν παρὰ
30 τοὺς νόμους καταστήσας. πῶς γὰρ [e] οὐ παρὰ τοὺς νό-
μους, ὁπότ' [f] εἰσποιητὸς αὐτὸς ὢν [g] εἰσποιητοὺς υἱοὺς
[h] ἐγκαταλιπὼν ἐπανῄει; καὶ [i] τοῦτο διατετέλεκε ποιῶν
μέχρι ταύτης τῆς ἡμέρας, καὶ διὰ τούτου τοῦ τρόπου τὴν
κληρονομίαν ἡμῶν ἀποστερήσειν οἴονται, ἐνεργαζόμενοι
μὲν καὶ ἐμπαιδοτροφούμενοι τῇ τοῦ Ἀρχιάδου οὐσίᾳ,
ἐπανιόντες δ' ἐπὶ τὴν πατρῴαν οὐσίαν ἐκεῖθεν [k] ἀεὶ, κἀ-
κείνην μὲν ἀκέραιον φυλάττοντες, ταύτην δ' ἀναλίσκοντες.
31 ἀλλ' ὅμως τούτων τοιούτων ὄντων, ὅπερ [l] εἶπον, ἡμεῖς

[p] καὶ om. A.r. [q] μὲν om. F.S.Q. [r] ποιητός] ποητός S. et infra εἰσποητός. [s] οὐδέπω] οὐδέν πω S. [t] περὶ] τῶν περὶ Reiskius. [u] ἐκινοῦμεν] ἐκεἰνοῦμεν S. ι a m. rec. [x] τοίνυν om. A.r. [y] αὐτὸς om. A.r. [z] ὢν υἱὸς] υἱὸς ὢν A.r. [a] ἐγκαταλιπὼν] ἐγκαταλείπων S. [b] γνήσιον] εἰσποιητὸν A.r. [c] κυρίαν] οκυριαν S. [d] ποίησιν] πόησιν S. [e] οὐ om. r. [f] εἰσποιητὸς αὐτὸς] εἰσπόητὸς (ι a m. rec. inserto) αὐτὸς S. αὐτὸς εἰσποιητὸς A.r. [g] εἰσποιητοὺς] εἰσποητοὺς S. [h] ἐγκαταλιπὼν] ἐγκαταλείπων S. [i] τοῦτο διατετέλεκε] διατετέλεκε τοῦτο A.r. [k] ἀεὶ] αἰεὶ A. δει S. [l] εἶπον] εἴπομεν A.r.

ὑπεμένομεν ἅπαντα. μέχρι τίνος; ἕως ὁ [m] Λεωκράτης ἐν
τῷ οἴκῳ τῷ Ἀρχιάδου ἐγκαταλειφθεὶς υἱὸς τετελεύτηκεν
ἄπαις. τούτου δὲ ἄπαιδος τετελευτηκότος ἀξιοῦμεν ἡμεῖς 1088
οἱ γένει ἐγγυτάτω ὄντες Ἀρχιάδῃ κληρονομεῖν τῆς οὐσίας,
καὶ μὴ τῷ τετελευτηκότι τῷ αὐτῷ [n] εἰσποιητῷ ὄντι [o] υἱὸν
32 εἰσποιεῖν [p] ἐπ' ἀποστερήσει τῶν ἡμετέρων. εἰ μὲν γὰρ
αὐτὸς ζῶν [q] ἐποιήσατο, καίπερ ὄντος παρὰ τὸν νόμον τοῦ
ἔργου, οὐκ ἀντιλέγομεν· ἐπειδὴ δ' οὔτε γένει ἦν αὐτῷ
[s] υἱὸς οὐδεὶς οὔτ' [t] ἐποιήσατο ζῶν, ὁ δὲ νόμος τοῖς [u] ἐγγυ-
τάτω γένους τὰς κληρονομίας ἀποδίδωσι, πῶς οὐ δί-
καιοί ἐσμεν ἡμεῖς τούτων μὴ ἀποστερηθῆναι κατ' ἀμφό-
33 τερα; καὶ γὰρ τῷ Ἀρχιάδῃ, οὗ ἦν ἡ οὐσία τὸ ἐξ ἀρχῆς,
ἐγγυτάτω γένει ἐσμὲν καὶ τῷ εἰσποιητῷ Λεωκράτει· τοῦ
μὲν γὰρ ὁ πατὴρ ἐπανεληλυθὼς εἰς τοὺς Ἐλευσινίους
οὐκέτι τὴν κατὰ [x] τὸν νόμον οἰκειότητα [y] ἔλειπεν [z] αὐτῷ,
ἡμεῖς δὲ, παρ' οἷς ἦν ἐν τῷ γένει, τὴν ἀναγκαιοτάτην
34 συγγένειαν εἴχομεν, ὄντες [a] ἀνεψιαδοῖ ἐκείνῳ. ὥστ' εἰ
μὲν βούλει, τοῦ Ἀρχιάδου συγγενεῖς ὄντες ἀξιοῦμεν κλη-
ρονομεῖν, εἰ δὲ βούλει, τοῦ Λεωκράτους· τετελευτηκότος
γὰρ ἄπαιδος αὐτοῦ οὐδεὶς ἡμῶν γένει ἐγγυτέρω ἐστί.
καὶ διὰ μὲν σὲ, ὦ Λεώστρατε, ὁ οἶκος ἐξηρήμωται· τῆς
γὰρ [b] οὐσίας τὴν οἰκειότητα, [c] οὐ τῶν ἀνδρῶν τῶν [d] ποιη-
35 σαμένων διετήρεις. ἕως μέν γε τελευτήσαντος τούτου οὐ-
δεὶς [e] ἠμφεσβήτει τοῦ κλήρου, οὐδένα [f] εἰσεποίεις τῷ Ἀρ-
χιάδῃ υἱόν· ἐπειδὴ δ' ἡμεῖς συγγενεῖς ὄντες ἥκομεν εἰς

[m] Λεωκράτης Reiskius. Λεωστράτου A.S.Q.r. Λεωστράτης vulgo, consentientibus B.F. Similiter Καλλικράτης in Καλλιστράτης corruptum notavimus p. 611, 25. [n] εἰσποιητῷ] εἰσποητῷ S. [o] υἱὸν εἰσποιεῖν] εἰσποιεῖν υἱὸν A.r. [p] ἐπ' ἀποστερήσει] ἐπαπυστερήσειν S. sed ν cum puncto. [q] ἐποιήσατο—ἐποιήσατο] ἐποήσατο—ἐποήσατο S. Priori ι inseruit m. rec. [s] υἱὸς om. r. [t] ἐποιήσατο] ι a m. rec. S. [u] ἐγγυτάτω A.r. Legebatur ἐγγύτατα. [x] τὸν νόμον] τοὺς νόμους A.r. [y] ἔλειπεν A.r. ἔλιπεν F.S.Q. [z] αὐτῷ] αὐτῶι F. [a] ἀνεψιαδοῖ ἐκείνῳ] ἀνεψιάδοι ἐκείνου A.r. [b] οὐσίας] οὐσίας ἕνεκα F.S.Q. [c] οὐ om. F.S.Q. [d] ποιησαμένων] εἰσποιησαμένων A.r. ποησαμένων S. [e] ἠμφεσβήτει S. ἠμφισβήτει vulgo. [f] εἰσεποίεις] εἰσεποεις S.

[g] τὸ μέσον, τηνικαῦτα [h] εἰσποιεῖς, ἵνα τὴν οὐσίαν κατά-
σχῃς. καὶ φῂς [i] μὲν οὐδὲν εἶναι τῷ Ἀρχιάδῃ, πρὸς ὃν
εἰσεποιήθης, διαμαρτυρεῖς δὲ πρὸς ἡμᾶς, τὸ ὁμολογού-
μενον [k] γένος ἐξελαύνων· εἰ γὰρ μηδέν ἐστιν ἐν τῷ οἴκῳ, 1089
τί [l] σὺ ἐλαττοῖ τοῦ μηδενὸς ἡμῶν κληρονομησάντων;
36 ἀλλὰ γὰρ ἡ ἀναίδεια καὶ [m] ἡ πλεονεξία τοιαύτη ἐστὶν
αὐτοῦ, ὦ [n] ἄνδρες δικασταί, ὥσθ' ἡγεῖσθαι δεῖν ἐν
[o] Ἐλευσινίοις τε τὴν πατρῴαν οὐσίαν ἐπανελθὼν ἔχειν,
ἐφ' ἅ τ' εἰσεποιήθη, μὴ ὄντος ἐν τῷ οἴκῳ υἱοῦ, καὶ τούτων
37 κύριος γενέσθαι. καὶ ταῦτα πάντα ῥᾳδίως διοικεῖται·
πρὸς γὰρ ἀνθρώπους ἡμᾶς πένητας καὶ ἀδυνάτους ἔχων
[p] ἀναλίσκειν ἐκ τῶν ἀλλοτρίων πολὺ περίεστιν. διόπερ
οἶμαι ὑμᾶς δεῖν [q] βοηθεῖν τοῖς μὴ πλεονεκτῆσαί τι βου-
λομένοις, ἀλλ' ἀγαπῶσιν ἐάν τις ἡμᾶς τῶν νόμων ἐᾷ
38 τυγχάνειν. τί γὰρ δεῖ ποιεῖν ἡμᾶς, ὦ ἄνδρες δικασταί;
διὰ τριῶν τῆς [r] ποιήσεως ἐμμενούσης, καὶ τοῦ τελευταίου
[s] ἐγκαταλειφθέντος, τούτου ἄπαιδος τετελευτηκότος, μὴ
κομίσασθαι τὰ ἡμέτερ' αὐτῶν [t] χρόνῳ ποτέ; τοῦτο τοίνυν
ἔχοντες τὸ δίκαιον ἐλάχομεν τοῦ κλήρου πρὸς τὸν ἄρ-
χοντα. οὗτος δὲ Λεωχάρης προπετῶς διαμαρτυρήσας τὰ
ψευδῆ, οἴεται δεῖν παρὰ πάντας τοὺς νόμους ἀποστερῆσαι
ἡμᾶς τῆς κληρονομίας.

39 Πρῶτον μὲν οὖν, ὅτι τά [u] τε περὶ τὰς [x] ποιήσεις καὶ
τὸ γένος [y] τὸ τούτων ἀληθῆ εἰρήκαμεν, καὶ ἡ λουτροφόρος
ἐφέστηκεν ἐπὶ τῷ τοῦ Ἀρχιάδου μνήματι, ταύτας ὑμῖν
τὰς μαρτυρίας βουλόμεθ' ἀναγνῶναι· ἔπειτ' ἤδη καὶ τὰ

[g] τὸ om. A.r. [h] εἰσποιεῖς] εἰσποεις S. ποιεῖν A. [i] μὲν οὐδὲν] οὐδὲν μὲν A.r. [k] γένος] γένος ἡμῶν A.r. [l] σὺ] σοι F.S.Q. [m] ἡ om. A.r. [n] ἄνδρες δικασταὶ] ἀθηναῖοι A.r. [o] Ἐλευσινίοις—ἐπανελθὼν] ἐλευσῖνι οἷς τ' ἐπανελθὼν τὴν πατρῴαν οὐσίαν A.r. [p] ἀναλίσκειν] ἀναλίσκων A.S.r. [q] βοηθεῖν] βοηθῆσαι A.r. [r] ποιήσεως] ποήσεως S. [s] ἐγκαταλειφθέντος] Fallitur Reiskius qui καταλειφθέντος in A. scriptum esse ait. Non minus falsum est quod paullo post ὁ λεωχάρης in B. cum articulo scriptum esse refert. [t] χρόνῳ] ἐν χρόνῳ r. [u] τε om. A.r. [x] ποιήσεις] ποήσεις S. [y] τὸ additum ex A.B.F.Q.S.r.

λοιπὰ σαφῶς διδάξομεν ὑμᾶς, ὥστ' ἐξελέγξαι τούτους
τὰ ψευδῆ διαμεμαρτυρηκότας. καί μοι λαβὲ τὰς μαρ-
τυρίας ἃς λέγω.

ΜΑΡΤΥΡΙΑΙ.

40 Ὁ μὲν τοίνυν τοῦ πράγματος λόγος καὶ τὸ ἁπλοῦν
δίκαιον περὶ τῆς κληρονομίας οὕτως ἔχει, ὦ ἄνδρες δι- 1090
κασταί, τῶν [z] τε πεπραγμένων ἐξ ἀρχῆς αὐτὰ τὰ κεφά-
λαια σχεδόν τι ἀκηκόατε. ἃ δὲ μετὰ τὴν τοῦ κλήρου
λῆξιν πεποιήκασι καὶ ὃν τρόπον ἡμῖν κεχρημένοι εἰσίν,
ἀναγκαῖον νομίζω εἰπεῖν· οἴομαι γὰρ [a] περὶ κλήρου
[b] ἀγῶνα μηδένας ἄλλους παρανενομῆσθαι [c] τοιαῦτα οἷα
41 [d] ἡμᾶς. ἐπειδὴ γὰρ ἐτελεύτησεν ὁ Λεωκράτης καὶ ἡ
ταφὴ ἐγένετο αὐτῷ, πορευομένων ἡμῶν εἰς τὰ κτήματα
διὰ τὸ ἄπαιδά τε τὸν ἄνδρα καὶ ἄγαμον τετελευτηκέναι,
42 [e] ἐξῆγεν ὁ Λεώστρατος οὑτοσὶ φάσκων αὑτοῦ εἶναι. καὶ
τὸ μὲν [f] ποιεῖν τι τῶν νομιζομένων [g] ἐκώλυσεν ἡμᾶς τῷ
τετελευτηκότι, πατὴρ ὢν αὐτὸς ἐκείνου, ὡς ἔχει λόγον,
καίπερ ὄντος παρανόμου τοῦ ἔργου· τῷ γὰρ φύσει [h] ὄντι
πατρὶ τῆς ταφῆς τὴν ἐπιμέλειαν παραδίδοσθαι εἰκός
ἐστιν, ἔπειτα μέντοι καὶ τοῖς οἰκείοις [i] ἡμῖν, ὧν ἦν συγ-
43 γενὴς κατὰ τὴν [k] ποίησιν ὁ τετελευτηκώς. ἐπεὶ δὲ τὰ
νομιζόμενα [l] ἐγένετο, κατὰ ποῖον νόμον φανεῖται ἐρήμου
ὄντος τοῦ οἴκου τοὺς ἐγγυτάτω γένους ἡμᾶς ἐξαγαγὼν
[m] ἐκ τῆς οὐσίας; ὅτι νὴ Δία πατὴρ ἦν τοῦ τετελευτη-
κότος. ἀπεληλυθώς γ' εἰς τὸν πατρῷον οἶκον καὶ οὐκέτι
τῆς οὐσίας, ἐφ' ᾗ [n] ἐγκατέλιπε τὸν υἱόν, κύριος ὤν· εἰ δὲ
44 μή, τί τῶν νόμων ὄφελος; γενομένης οὖν τῆς ἐξαγωγῆς,

[z] τε] δὲ F.S.Q. om. r. [a] περὶ] περὶ τοῦ A.r. [b] ἀγῶνα] ἀγῶνας F.S.Q. [c] τοιαῦτα om. A.r. [d] ἡμᾶς] ἡμεῖς r. librarii errore. Nam A. ἡμᾶς. [e] ἐξῆγεν ὁ] ἐξήγαγε A.r. [f] ποιεῖν] ποεῖν S. [g] ἐκώλυσεν] ὡς ἐκώλυσεν A.r. qui ὡς ante ἔχει λόγον omittunt. [h] ὄντι om. A.r. [i] ἡμῖν, ὧν] γρ. ἡμῶν Q. [k] ποίησιν] πόησιν S. ι a m. rec. inserto. [l] ἐγένετο] ἐγένοντο A.r. [m] ἐκ τῆς οὐσίας] ἐκ τῆς οἰκίας A.r. [n] ἐγκατέλιπε A.r. ἐγκατέλειπεν S. ἐγκαταλελοιπε F.Q.

ἵνα τὰ πλεῖστα [o] παραλείπω, ἐλάχομεν πρὸς τὸν ἄρ-
χοντα τοῦ κλήρου, οὔτε [p] γόνῳ, [q] ὥσπερ εἶπον, [r] οὐδενὸς
ὄντος τῷ τετελευτηκότι οὔτ' εἰσποιητοῦ [s] γεγενημένου
κατὰ τοὺς νόμους. μετὰ δὲ ταῦτα [t] Λεώστρατος [u] οὑτοσὶ
45 παρακαταβάλλει ὡς υἱὸς Ἀρχιάδου ἐκείνου, [x] οὐκ ἐπι-
λογισάμενος οὔθ' ὅτι ἐπανεληλύθει εἰς τοὺς Ἐλευσινίους 1091
οὔθ' ὅτι οἱ εἰσποιητοὶ [y] οὐκ αὐτοὶ [z] ὑφ' αὑτῶν, ἀλλ' ὑπὸ τῶν
εἰσποιουμένων καθίστανται· ἀλλὰ γὰρ οἶμαι ἁπλοῦν τι
διελογίσατο, δεῖν αὑτὸν καὶ δικαίως καὶ ἀδίκως ἀμφισ-
46 βητεῖν τῶν ἀλλοτρίων. καὶ πρῶτον μὲν ἐλθὼν [a] οἷός τ' ἦν
εἰς τὸν [b] Ὀτρυνέων πίνακα τὸν ἐκκλησιαστικὸν [c] ἐγγρά-
φειν αὑτὸν Ἐλευσίνιος ὤν, καὶ τοῦτο διῳκεῖτο, ἔπειτα,
πρὶν ἐγγραφῆναι καὶ ἐν τῷ ληξιαρχικῷ [d] γραμματείῳ
τῷ τῶν Ὀτρυνέων, μετέχειν τῶν κοινῶν, τηλικαύτην πα-
ρανομίαν προαιρούμενος παρανομεῖν ἕνεκα πλεονεξίας.
47 αἰσθόμενοι δ' ἡμεῖς μαρτύρων ἐναντίον ἐκωλύσαμεν τὸ
γιγνόμενον, καὶ ᾠόμεθα [e] δεῖν κριθῆναι [f] πρῶτον [g] τὴν
κληρονομίαν παρ' ὑμῖν, πρὶν ἐπὶ τὸ ὄνομά τινα τὸ τοῦ
Ἀρχιάδου εἰσποιηθῆναι. κωλυθεὶς δὲ καὶ [h] ἐξελεγχθεὶς
πρὸς τῷ πίνακι καὶ ἐν τῇ τῶν ἀρχόντων ἀγορᾷ ὅτι ἠδίκει
πολλῶν ἐναντίον, ᾤετο δεῖν μηδὲν [i] ἧττον βιάζεσθαι καὶ
κρείττων ταῖς παρασκευαῖς τῶν ὑμετέρων νόμων γενέσθαι.
48 τί τούτου τεκμήριον; [k] συναγαγών τινας τῶν Ὀτρυνέων
ὀλίγους καὶ τὸν δήμαρχον πείθει, ἐπειδὰν ἀνοιχθῇ τὸ

[o] παραλείπω] παραλίπω B. et correctus F. [p] γόνῳ] γόνου r. et rec. A. [q] ὥσπερ εἶπον post ὄντος ponit r. [r] οὐδενὸς] ουδέτιοσ S. Annotatio quam monstrat signum ·/· in marg. nulla est. [s] γεγενημένου] γενομένου A.r. [t] Λεώστρατος] ωλεωστρατος S. [u] οὑτοσὶ] οὗτος r. [x] οὐκ ἐπιλογισάμενος] οὐκέτι λογιζόμενος A.r. [y] οὐκ om. F.S.Q. [z] ὑφ' αὑτῶν] ὑπ' αυτῶν A. [a] οἷός τ' ἦν om. A.r. [b] Ὀτρυνέων] ὀτρυνίων A.r. sed infra ὀτρυνέων. [c] ἐγγράφειν] ἐγγράφει r. [d] γραμματείῳ] γραμματίῳ A. γράμματι r. [e] δεῖν] δεῖν μὴ A.r. [f] πρῶτον A. (de quo tacuit Reisk.) et r. πρῶτον μὲν F.S.Q. ut vulgo. [g] τὴν κληρ. παρ' ὑμῖν] παρ' ὑμῖν τὴν κληρ. A.r. [h] ἐξελεγχθεὶς A.S.r. ἐξελεγχόμενος vulgo. [i] ἧττον] αὐτὸν F.Q. [k] συναγαγών] συνάγων S.

γραμματεῖον, ἐγγράψαι αὐτόν. καὶ μετὰ ταῦτα ἧκε
Παναθηναίων ὄντων τῶν μεγάλων τῇ διαδόσει πρὸς τὸ
θεωρικὸν, καὶ ἐπειδὴ οἱ ἄλλοι δημόται ἐλάμβανον, ἠξίου
καὶ αὐτῷ δίδοσθαι καὶ ἐγγραφῆναι εἰς τὸ [l] γραμματεῖον
49 [m] ἐπὶ τὸ τοῦ Ἀρχιάδου ὄνομα. διαμαρτυρομένων δὲ ἡμῶν,
καὶ τῶν ἄλλων δεινὸν φασκόντων εἶναι τὸ γιγνόμενον,
ἀπῆλθεν οὔτ' ἐγγραφεὶς οὔτε τὸ θεωρικὸν λαβών. τὸν δὲ
παρὰ τὸ ψήφισμα τὸ ὑμέτερον ἀξιοῦντα τὸ θεωρικὸν 1092
λαμβάνειν, πρὶν ἐγγραφῆναι εἰς τοὺς Ὀτρυνεῖς, [n] ὄντα ἐξ
ἑτέρου δήμου, τοῦτον οὐκ οἴεσθε τοῦ κλήρου παρὰ τοὺς
νόμους ἀμφισβητεῖν; ἢ τὸν πρὸ τῆς τοῦ δικαστηρίου γνώ-
σεως οὕτως [o] ἀδίκους πλεονεξίας διοικούμενον, τοῦτον πῶς
εἰκὸς τῷ πράγματι πιστεύειν; ὁ γὰρ [p] τὸ θεωρικὸν ἀδί-
κως ἀξιώσας λαμβάνειν καὶ περὶ τοῦ κλήρου τῇ αὐτῇ
50 διανοίᾳ [q] δῆλον ὅτι κέχρηται νυνί. ἀλλὰ μὴν καὶ τὸν ἄρ-
χοντά γ' ἐξηπάτησε [r] παρακαταβάλλων καὶ ἡμᾶς, [s] καὶ ἀν-
τεγράψατο Ὀτρυνεὺς εἶναι ἐν Ἐλευσινίοις δημοτευόμενος.
ἐπειδὴ τοίνυν [t] ἐπὶ τούτων [u] πάντων ἀπετύγχανε, ταῖς
παρελθούσαις ἀρχαιρεσίαις ταύταις παρασκευασάμενός
τινας τῶν δημοτῶν ἠξίου [x] οὕτως ἐγγράφεσθαι [y] ποιητὸς
51 υἱὸς τῷ Ἀρχιάδῃ. ἀντιλεγόντων δ' ἡμῶν καὶ ἀξιούντων,
ἐπειδὰν τοῦ κλήρου ἡ διαδικασία γένηται, τηνικαῦτα
τοὺς δημότας τὴν ψῆφον φέρειν, πρότερον δὲ μὴ, τοῦτο
μὲν ἐπείσθησαν οὐ [z] δι' αὐτοὺς, ἀλλὰ διὰ τοὺς νόμους·
δεινὸν γὰρ ἐδόκει εἶναι [a] τὸν παρακαταβεβληκότα τοῦ
κλήρου εἰσποιεῖν αὐτὸν ἔτι τῶν πραγμάτων ἀκρίτων ὄν-
των· ὃ δὲ μετὰ ταῦτα διοικεῖται Λεώστρατος οὑτοσὶ,
52 τοῦτο πάντων δεινότατόν ἐστιν. ἐπειδὴ γὰρ αὐτὸς ἀπε-

[l] γραμματεῖον] γραμματιον S. [m] ἐπὶ om. S. [n] ὄντα] ὅτ' ἂν F. [o] ἀδίκους] ἀδίκως pr. S. [p] τὸ] τὸν S. [q] δῆλον ὅτι κέχρηται] κέχρηται δηλονότι A.r. [r] παρακαταβάλλων] παρακαταλαβὼν A.r. et γρ. Q. Hoc est παρακαταβαλὼν, quod ex A. falso attulit Reiskius. [s] καὶ addidit Dobræus. [t] ἐπὶ om. A.r. [u] πάντων] ἁπάντων r. [x] οὕτως] οὗτος F.S.Q. [y] ποιητὸς] ποητὸς S. [z] δι' αὐτοὺς] διὰ τούτους A.r. [a] τὸν] τὸν $\overline{πρα}$ A.r.

τύγχανε [b] τοῦ ἐγγραφῆναι, εἰσποιεῖ Λεωχάρην τὸν αὑτοῦ
υἱὸν Ἀρχιάδῃ παρὰ πάντας τοὺς νόμους, πρὶν τοῦ δήμου
τὴν δοκιμασίαν γενέσθαι. οὐκ εἰσηγμένου δ' εἰς τοὺς
[c] φράτεράς πω τοῦ Ἀρχιάδου, ἀλλ' ἐπειδὴ ἐνεγράφη, τη-
νικαῦτα πείσας ἕνα [d] τινὰ τῶν φρατέρων [e] ἐνέγραψεν εἰς
53 τὸ φρατερικὸν γραμματεῖον. καὶ μετὰ ταῦτα τῇ δια- 1093
μαρτυρίᾳ πρὸς τῷ ἄρχοντι τοῦτον ἀπογράφεται, ὡς υἱὸν
ὄντα γνήσιον τοῦ τετελευτηκότος ἔτη πολλὰ τὸν πρώην
καὶ χθὲς ἐγγραφέντα. καὶ συμβαίνει ἀμφοτέρους αὐ-
τοὺς τῆς κληρονομίας ἀμφισβητεῖν· ὅ τε γὰρ Λεώστρα-
τος οὑτοσὶ [f] παρακατέβαλε τοῦ κλήρου ὡς υἱὸς γνήσιος
Ἀρχιάδῃ, ὅ τε Λεωχάρης οὑτοσὶ διαμεμαρτύρηκεν [g] ὡς
54 υἱὸς ὢν γνήσιος τοῦ αὐτοῦ πατρὸς, οὐδέτερος δ' αὐτῶν
ζῶντι, ἀλλὰ τετελευτηκότι εἰσποιεῖ αὑτόν. ἡμεῖς δ' ᾠό-
μεθα δεῖν, ὦ ἄνδρες δικασταὶ, [h] ἐπειδὰν περὶ τούτου τοῦ
ἀγῶνος [i] ὑμεῖς τὴν ψῆφον ἐνέγκητε, τηνικαῦτα ἐκ τῶν
κατὰ γένος ἐγγυτάτω [k] ἡμῶν [l] εἰσποιεῖν υἱὸν τῷ τετελευ-
τηκότι, ὅπως ἂν ὁ οἶκος μὴ ἐξερημωθῇ.
55 Πρῶτον μὲν οὖν, ὦ ἄνδρες δικασταὶ, ὡς ἐπανῆλθεν εἰς
τοὺς Ἐλευσινίους ἐκ τῶν Ὀτρυνέων Λεώστρατος οὑτοσὶ
καταλιπὼν υἱὸν τῷ Ἀρχιάδῃ γνήσιον, καὶ ὅτι [m] ὁ πατὴρ
αὐτοῦ [n] ἔτι πρότερον τὸ αὐτὸ τοῦτ' ἐπεποιήκει, καὶ ὡς [o] ὁ
[p] ἐγκαταλειφθεὶς ἄπαις τετελεύτηκε, καὶ ὡς ὁ νῦν δια-
μεμαρτυρηκὼς πρότερον εἰς τοὺς δημότας ἢ εἰς τοὺς φρά-
56 τερας ἐνεγράφη, τούτων [q] ὑμῖν τὰς τῶν φρατέρων καὶ τὰς
τῶν δημοτῶν μαρτυρίας ἀναγνώσεται, καὶ τῶν [r] ἄλλων

[b] τοῦ om. A.r. qui ἀπετύγχανεν. [c] φράτεράς] Scribebatur φράτορας per o hic et infra constanter, pariterque φρατορικόν. [d] τινὰ om. F.Q. [e] ἐνέγραφεν] ἐνέγραψεν r. [f] παρακατέβαλε] παρακατεβάλετο F.S.Q. [g] ὡς om. A.r. [h] ἐπειδὰν—ἐνέγκητε] ἐπειδὴ—ἠνέγκατε F.S.Q. [i] ὑμεῖς om. A.r. [k] ἡμῶν Seagerus in Diario classico fasc. 60. p. 266. Legebatur ἡμῖν. ὑμᾶς A. ἡμᾶς r. [l] εἰσποιεῖν] εἰσποεῖν S. [m] ὁ om. S. [n] ἔτι] ἔτη A. [o] ὁ om. A.r. [p] ἐγκαταλειφθεὶς Reiskius. καταλειφθεὶς libri. Conf. var. lect. ad p. 1094, 16. et 18. [q] ὑμῖν] ἡμῖν A. [r] ἄλλων] ἄλλων δὲ A.r.

τῶν εἰρημένων, ὧν οὗτοι [s] πεποιήκασιν, ἁπάντων ὑμῖν τὰς μαρτυρίας καθ' ἓν ἕκαστον παρέξομαι. καί μοι κάλει τοὺς μάρτυρας δευρί.

ΜΑΡΤΥΡΕΣ.

57 Τῶν μὲν τοίνυν πραγμάτων ἁπάντων ἀκηκόατε, ὦ ἄνδρες δικασταί, καὶ τῶν ἐξ [t] ἀρχῆς γεγενημένων περὶ τὸν κλῆρον τοῦτον καὶ τῶν ὕστερον συμβάντων, ἐπειδὴ τάχιστα [u] τὴν λῆξιν ἡμεῖς ἐποιησάμεθα. λοιπὸν δ' ἐστὶ 1094
περί [x] τε τῆς διαμαρτυρίας αὐτῆς εἰπεῖν καὶ περὶ τῶν
58 νόμων, καθ' οὓς [y] ἀξιοῦμεν κληρονομεῖν· ἔτι δέ, [z] ἂν ἐγχωρῇ τὸ ὕδωρ καὶ μὴ μέλλωμεν ὑμῖν ἐνοχλεῖν, ἐξελέγξαι τὰ ὑπὸ τούτων ῥηθησόμενα, ὅτι [a] οὔτε δίκαια [b] οὔτε ἀληθῆ ἐστίν. καὶ πρῶτον μὲν τὴν [c] διαμαρτυρίαν ἀναγνώτω, καὶ σφόδρα τὸν νοῦν αὐτῇ προσέχετε· περὶ γὰρ [d] ταύτης ἡ ψῆφος οἰσθήσεται νυνί.

[e] ΔΙΑΜΑΡΤΥΡΙΑ.

59 Οὐκοῦν δήπου διαμεμαρτύρηκεν οὑτοσί, ὡς ἀκηκόατε, μὴ ἐπίδικον εἶναι τὸν κλῆρον [f] τὸν Ἀρχιάδου ὄντων αὐτῷ παίδων γνησίων [g] κυρίως κατὰ τὸν θεσμόν. ἐξετάσωμεν τοίνυν εἰ εἰσὶν ἢ τὰ ψευδῆ διαμεμαρτύρηκεν [h] οὑτοσί. ὁ γὰρ Ἀρχιάδης ἐκεῖνος, οὗ ἐστὶν ὁ κλῆρος, ἐποιήσατο υἱὸν τὸν τοῦ διαμεμαρτυρηκότος νυνὶ πάππον· ἐκεῖνος [i] δ' ἐγκαταλιπὼν υἱὸν γνήσιον τὸν [k] τουτουὶ πατέρα Λεώστρατον
60 ἐπανῆλθεν εἰς τοὺς Ἐλευσινίους. μετὰ δὲ ταῦτα αὐτὸς οὑτοσὶ Λεώστρατος πάλιν [l] ἐγκαταλιπὼν υἱὸν ᾤχετο [m] ἀπελθὼν εἰς τὸν πατρῷον οἶκον· ὁ δ' ἐγκαταλειφθεὶς ὑπὸ τούτου τελευταῖος ἁπάντων τῶν εἰσποιηθέντων τετε-

[s] πεποιήκασιν] πεπόηκασιν S. [t] ἀρχῆς] αὐτῆς r. [u] τὴν λῆξιν ἡμεῖς] ἡμεῖς τὴν λῆξιν A.r. [x] τε om. A.r. [y] ἀξιοῦμεν] ἠξιοῦμεν F.S.Q. [z] ἂν S. Scribebatur ἐάν. [a] οὔτε δίκαια om. Q. [b] οὔτε ἀληθῆ] οὔθ' ὑγιῆ A.r. [c] διαμαρτυρίαν] διαμαρτυρίαν αὐτὴν A.r. [d] ταύτης] αὐτῆς S. [e] Διαμαρτυρία om. A. μαρτυρία est in B. [f] τὸν] τῶν r. [g] κυρίως] καὶ κυρίως A.r. [h] οὑτοσί] οὗτος A.r. [i] δ' ἐγκαταλιπὼν] δὲ καταλιπὼν F.S.Q. [k] τουτουὶ] τούτου F.S.Q. [l] ἐγκαταλιπὼν] καταλιπὼν F.S.Q. [m] ἀπελθὼν] ἀπιὼν A.r.

λεύτηκεν ἄπαις, ὥστε γίγνεται ἔρημος ὁ οἶκος καὶ ἐπ-
ανελήλυθεν [n] ἡ κληρονομία πάλιν εἰς τοὺς [o] ἐξ ἀρχῆς
ἐγγύτατα γένους ὄντας. πῶς ἂν οὖν εἴησαν κατὰ τὴν
[p] διαμαρτυρίαν [q] υἱεῖς ἔτι τινὲς τῷ Ἀρχιάδῃ, ᾧ οἱ μὲν
[r] εἰσποιηθέντες ὁμολογοῦνται ἐπανεληλυθέναι, ὁ δ' ἐγκατα-
61 λειφθεὶς τελευταῖος ἄπαις τετελεύτηκεν; οὐκοῦν ἀνάγκη
τὸν οἶκον [s] ἔρημον εἶναι. ὁπότε δὲ [t] ἔρημός [u] ἐστιν ὁ οἶκος,
οὐκ ἂν εἴησαν υἱεῖς [x] ἔτι ἐκείνῳ γνήσιοι. οὑτοσὶ τοίνυν 1095
διαμεμαρτύρηκε τοὺς οὐκ ὄντας εἶναι, καὶ γέγραφεν ἐν
τῇ διαμαρτυρίᾳ "ὄντων παίδων," ἕνα φάσκων αὐτὸν εἶ-
62 ναι. ἀλλὰ μὴν γνησίων γ' ὅταν λέγῃ καὶ κυρίως κατὰ
τὸν θεσμὸν, παρακρούεται παρὰ τοὺς νόμους. τὸ μὲν
γὰρ γνήσιόν ἐστιν, ὅταν ᾖ γόνῳ [y] γεγονώς· καὶ ὁ νόμος
ταῦτα μαρτυρεῖ λέγων, ἣν ἂν ἐγγυήσῃ πατὴρ ἢ ἀδελφὸς
63 ἢ πάππος, ἐκ ταύτης εἶναι παῖδας γνησίους. τὸ δὲ κυ-
ρίως κατὰ τῶν [z] ποιήσεων ὁ νομοθέτης ἔλαβεν, ὑπολαμ-
βάνων δεῖν, [a] ὅταν τις ὢν ἄπαις καὶ κύριος [b] τῶν ἑαυτοῦ
ποιήσηται υἱὸν, ταῦτα κύρια εἶναι. οὗτος τοίνυν γόνῳ μὲν
[c] οὐδένα φησὶν Ἀρχιάδῃ [d] γενέσθαι υἱὸν, διαμεμαρτύρηται
δὲ γνησίων ὄντων, [e] ἐναντίαν τῷ πράγματι τὴν διαμαρτυ-
64 ρίαν ποιησάμενος. ποιητὸς δ' ὁμολογῶν εἶναι φαίνεται
οὐκ εἰσποιηθεὶς ὑπὸ τοῦ τετελευτηκότος αὐτοῦ, ὥστε πῶς
ἔτι σοι κύρια ταῦτ' [f] ἂν εἴη κατὰ τὸν [g] θεσμόν; ὅτι νὴ
Δί' ἐγγέγραπται Ἀρχιάδῃ υἱός. ὑπό γε [h] τουτωνὶ πρώην
βιασαμένων, ἤδη τῆς τοῦ κλήρου διαδικασίας ἐνεστη-
κυίας· οὐ δὴ [i] δίκαιόν ἐστιν ἐν τεκμηρίου μέρει [k] ποιεῖσθαι

[n] ἡ κληρ. πάλιν] πάλιν ἡ κληρ. A.r. [o] ἐξ ἀρχῆς om. A.r. [p] διαμαρτυρίαν] μαρτυρίαν F.S.Q. [q] υἱεῖς ἔτι] ἔτι υἱεῖς A.r. [r] εἰσποιηθέντες] εἰσποηθέντες S. [s] ἔρημον εἶναι] ἐρημωθῆναι F.Q. [t] ἔρημός post οἶκος A.r. [u] ἐστιν om. F.Q. [x] ἔτι ἐκείνῳ] ἐκείνῳ ἔτι A.r. [y] γεγονώς] γεγονός S.Q. [z] ποιήσεων] ποήσεων S. [a] ὅταν] ἂν A.r. [b] τῶν—ποιήσηται] τὸν—ποιήσῃ A.r. [c] οὐδένα post Ἀρχιάδῃ A.r. [d] γενέσθαι] εἶναι A.r. [e] ἐναντίαν] ἐναντία A.r. [f] ἂν om. S. qui ταῦτα. [g] θεσμόν] νόμον A.r. [h] τουτωνὶ] τούτων A.r. [i] δίκαιόν ἐστιν ἐν τεκμηρίου μέρει] δίκαιον ἐν τεκμηρίῳ A.r. δίκαιον ἔνεστιν τεκμηρίῳ S. et γρ. Q. [k] ποιεῖσθαι] ποιεῖσθαι ἐστὶ A.r.

65 τἀδίκημα. καὶ γὰρ ἐκεῖνο [l] πῶς οὐ δεινόν ἐστιν, ὦ
ἄνδρες δικασταί, [m] ἐπὶ μὲν τοῦ λόγου αὐτίκα μάλα
[n] φάσκειν [o] ποιητὸν εἶναι, ἐν δὲ τῇ διαμαρτυρίᾳ τοῦτο μὴ
[p] τολμῆσαι γράψαι, ἀλλὰ τὰ μὲν ἐν ταύτῃ διαμεμαρτυ-
ρημένα εἶναι ὡς ὑπὲρ υἱοῦ γόνῳ γεγονότος, τὰ δ' αὐτίκα
μάλα ῥηθησόμενα ὡς [q] εἰσποιητοῦ; εἰ δὲ τὴν ἀπολογίαν
ἐναντίαν τῇ διαμαρτυρίᾳ ποιήσονται, πῶς [r] οὐκ [s] ἢ τὸν
66 λόγον ἀνάγκη ἢ τὴν διαμαρτυρίαν ψευδῆ εἶναι; εἰκότως
δ' οὐ [t] προσέγραψαν τὴν [u] ποίησιν τῇ διαμαρτυρίᾳ. ἔδει
γὰρ [x] ἐγγράψαι αὐτοὺς "εἰσποιησαμένου τοῦ δεῖνος·" ὁ 1096
δ' οὐκ εἰσεποιήσατο, ἀλλ' ἑαυτοὺς εἰσποιοῦντες ἀποστε-
67 ροῦσιν ἡμᾶς τῆς κληρονομίας. τὸ μετὰ ταῦτα τοίνυν πῶς
οὐκ ἄτοπον καὶ δεινόν ἐστιν, ἅμα παρακαταβεβληκέναι
τοῦ κλήρου πρὸς τῷ ἄρχοντι ὡς ὄντα αὐτὸν Ἀρχιάδου
Λεώστρατον τουτονί, τὸν Ἐλευσίνιον τοῦ Ὀτρυνέως, δια-
μεμαρτυρηκέναι δ' ἕτερον, ὡς αὐτοὶ ὁρᾶτε, φάσκοντα καὶ
τοῦτον Ἀρχιάδου υἱὸν εἶναι; καὶ ποτέρῳ δεῖ προσέχειν
68 [y] ὑμῶν ὡς ἀληθῆ λέγοντι; αὐτὸ γὰρ τοῦτο τεκμήριον οὐκ
ἐλάχιστόν ἐστι τοῦ ψευδῆ [z] τὴν διαμαρτυρίαν γεγενῆσθαι,
τὸ περὶ τοῦ αὐτοῦ πράγματος μὴ τὸν [a] αὐτὸν ἀμφισβη-
τεῖν. εἰκότως· ὅτε γάρ, [b] οἶμαι, Λεώστρατος [c] οὑτοσὶ
[d] παρακατέβαλλε τοῦ κλήρου πρὸς ἡμᾶς, [e] οὔπω [f] ὁ δια-
μεμαρτυρηκὼς νῦν ἐνεγέγραπτο ὡς [g] δημότης εἶναι. ὥστε

φήσειν
[l] πῶς] πωι S. [m] ἐπὶ] εἰ ἐπὶ A.S.r. [n] φάσκειν] φάσκειν F. φήσει A.S.r. [o] ποιητὸν] ποητὸν S. [p] τολμῆσαι] τολμήσει A.S.r. [q] εἰσποιητοῦ] ποιητοῦ A.r. εἰσποητοῦ S. [r] οὐκ] οὐχὶ A.r. οὖν F.Q. [s] ἢ om. A.r. [t] προσέγραψαν] προσεγράψαντο S. προσενεγράψαντο B. (de quo falsa rettulit Reiskius) F.Q. [u] ποίησιν] ποησιν S. [x] ἐγγράψαι αὐτοὺς] αὐτοὺς ἐγ-
ᾶς
γράψαι A.r. [y] ὑμῶν] ὑμῶν F. ὑμᾶς Q. [z] τὴν om. A. [a] αὐτὸν] Delevi quod addebatur περὶ τοῦ αὐτοῦ, quod jam Wolfio suspectum fuit. Minus bene Schæferus servatis his verbis præcedentia delebat περὶ τοῦ αὐτοῦ πράγματος. [b] οἶμαι om. A.r. [c] οὑτοσὶ] οὗτος A.r. [d] παρακατέβαλλε F.S.Q. παρακατέβαλε A.r. παρεκατέβαλλε vulgo. [e] οὔπω] οὕτω A.r. [f] ὁ δ. νῦν ἐνεγέγραπτο Dobræus. Legebatur δ. νῦν ἐγγέγραπται, omisso ὁ. [g] δημότης] δημότας F.S.Q.

πάντων ἂν δεινότατα πάθοιμεν, [h] εἰ τῇ ὕστερον τῶν πρα-
γμάτων γεγενημένῃ διαμαρτυρίᾳ [i] πιστεύσετε ὑμεῖς.
69 Ἀλλὰ μὴν καὶ [k] πρεσβύτερά γε αὐτοῦ διαμεμαρτύ-
ρηκεν. ὁ γὰρ μήπω ἐν τῷ οἴκῳ τῷ Ἀρχιάδου ὢν, ὅθ' ἡ
λῆξις αὕτη τοῦ κλήρου ἐγένετο, πῶς ἂν εἰδείη τι τούτων;
ἔπειτ' εἰ μὲν αὐτὸν διαμεμαρτυρήκει, εἶχεν ἂν λόγον αὐ-
τῷ τὸ πρᾶγμα· ἀδίκως μὲν [l] ἂν ἔγραψεν, οὐδὲν δ' ἧττον
70 ὑπὲρ τοῦ κατὰ τὴν ἡλικίαν λέγοντος. νῦν δὲ γνησίους
υἱοὺς γέγραφε τῷ Ἀρχιάδῃ ἐκείνῳ εἶναι, τόν τε αὐτοῦ
πατέρα δηλονότι καὶ [m] αὐτὸν κατὰ τὴν ἐξ ἀρχῆς ποίησιν,
οὐκ ἐπιλογισάμενος ὅτι ἐπανεληλυθότες ἦσαν. οὐκοῦν
ἀνάγκη πρεσβυτέρας πράξεις αὐτὸν καὶ μὴ τὰς ἐφ' ἑαυ-
τοῦ γεγενημένας διαμεμαρτυρηκέναι. εἶθ' ὑμεῖς τῷ τοῦτο
71 τετολμηκότι [n] πιστεύσετε ὡς ἀληθῆ λέγοντι; νὴ Δί', ἀλλ' 1097
ἀκηκοὼς τοῦ αὐτοῦ πατρὸς διαμεμαρτύρηκεν. ὁ δέ γε
νόμος ἀκοὴν [[o] τῶν τετελευτηκότων] κωλύει διαμαρτυρεῖν
ζῶντος τοῦ πατρὸς [p] τὰ ὑπ' ἐκείνου πραχθέντα· ἐπεὶ κἀ-
κεῖνο. διὰ τί [q] ποτε Λεώστρατος οὑτοσὶ οὐχ αὐτὸν, ἀλλὰ
72 [r] τοῦτον [s] ἐπεγράψατο τῇ διαμαρτυρίᾳ; τὰ γὰρ πρεσβύ-
τερα τῶν πραγμάτων τὸν πρεσβύτερον ἔδει διαμαρτυρεῖν.
ὅτι [t] νὴ Δί', [u] ἂν εἴποι, [x] τοῦτον εἰσπεποίηκα υἱὸν τῷ
Ἀρχιάδῃ. οὐκοῦν σὲ τὸν εἰσποιοῦντα καὶ κατασκευ-
άζοντα τὰ πράγματα [y] καὶ λόγον ἔδει διδόναι, [z] γενό-
73 μενον ὑπεύθυνον ὧν πεποίηκας· [a] πολλή γ' ἀνάγκη. ἀλλὰ
τοῦτο μὲν ἔφυγες, τῇ διαμαρτυρίᾳ δὲ τοῦτον οὐδὲν εἰδότ'

[h] εἰ] επι S. [i] πιστεύσετε] πιστεύετε A.r. [k] πρεσβύτερά γε] πρεσβύτερον S. [l] ἂν ἔγραψεν] ἀνέγραψεν F.Q. ἂν ἔγραφεν A.S.r. [m] αὐτὸν] τὸν Schæferus. [n] πιστεύσετε] πιστεύετε F.Q. [o] τῶν τετελευτηκότων delet Schœmannus in libro de lite Attica p. 669. [p] τὰ om. S. [q] ποτε] τοτε pr. S. [r] τοῦτον] τουτονὶ A.r. [s] ἐπεγράψατο] ἐνεγράψατο B.Q. ἐγγεγράψατο S. [t] νὴ Δί'] νὴ δία B.F.Q. νηδι' S. licet sequatur consonans litera. [u] ἂν] κἂν F.Q. καν sine accentu S. [x] τοῦτον margo ed. Paris. a. 1570. Legebatur τοῦτον γὰρ, ad quod in Q. annotatum γρ. ὅτι τοῦτον. [y] καὶ om. A. [z] γενόμενον ὑπεύθυνον] ὑπεύθυνον γενόμενον A.r. [a] πολλή γ' ἀνάγκη] πολλῇ γ' ἀνάγκῃ A.

ἐπεγράψω. ὥστε [b]φανερὸν ὑμῖν ἐστιν, ὦ ἄνδρες δικασταί, τὰ διαμαρτυρούμενα μὴ εἶναι ἀληθῆ, καὶ παρ' αὐτοῖς γε τούτοις ὁμολογεῖται. καὶ μὴν κἀκεῖνο δίκαιόν ἐστι, μὴ λέγοντος αὐτίκα μάλ' ἀκούειν Λεωστράτου τουτουί, ὑπὲρ ὧν γε διαμαρτυρῆσαι [c]οὐκ ἐτόλμησεν.

74 Ὡς δὲ καὶ τῶν ἀγώνων ἀδικώτατοι καὶ πλείστης ὀργῆς ἄξιοι τοῖς ἀγωνιζομένοις αἱ διαμαρτυρίαι εἰσί, μάλιστ' ἄν τις ἐκεῖθεν καταμάθοι. πρῶτον μὲν γὰρ οὐκ ἀναγκαίως ἔχουσιν, ὥσπερ οἱ ἄλλοι, ἀλλ' ἐκ προαιρέσεως [d]καὶ βουλήσεως [e]τῆς τοῦ διαμαρτυροῦντος γίγνον-
75 ται. εἰ μὲν γὰρ [f]ὑπὲρ τῶν [g]διαμφισβητουμένων μὴ ἔστιν ἄλλον τρόπον δίκην λαβεῖν ἢ διαμαρτυρήσαντα, ἴσως ἀναγκαῖον τὸ διαμαρτυρεῖν· εἰ δὲ καὶ ἄνευ διαμαρτυρίας πρὸς ἅπασι τοῖς συνεδρίοις [h]ἔνεστι λόγου μὴ ἀποστερηθῆναι, πῶς οὐ προπετείας καὶ τῆς μεγίστης ἀπονοίας
76 σημεῖον τὸ διαμαρτυρεῖν ἐστίν; οὐδὲ γὰρ ὁ νομοθέτης ἀναγκαῖον αὐτὸ ἐποίησε τοῖς ἀντιδίκοις, ἀλλ' ἂν βού- 1098
λωνται διαμαρτυρεῖν, ἔδωκεν, ὥσπερ διάπειραν ποιούμενος τῶν τρόπων ἑνὸς ἑκάστου ἡμῶν, πῶς ποτ' [i]ἔχοι-
77 μεν πρὸς τὸ προπετῶς τι πράττειν. ἔτι τοίνυν ἐπὶ τὸ τῶν διαμαρτυρούντων [k]μέρος οὔτε δικαστήρια ἦν ἂν οὔτε ἀγῶνες ἐγίγνοντο· κωλύει γὰρ [l]πάντα ταῦτα τὸ τῶν διαμαρτυριῶν γένος καὶ ἀποκλείει εἰσαγωγῆς [m]ἕκαστα τῆς εἰς τὸ δικαστήριον, κατά [n]γε τὴν τοῦ [o]διαμαρτυροῦντος βούλησιν. διόπερ οἶμαι δεῖν κοινοὺς ἐχθροὺς τοὺς τοιούτους ἀνθρώπους [p]ὑπολαμβάνειν [q]πᾶσιν εἶναι, καὶ [r]μηδέ-

[b] φανερὸν] φανερον (α superscr.) F. φανερὰ Q. [c] οὐκ] δι' ὧν F.Q. διων S. [d] καὶ βουλήσεως om. A.r. [e] τῆς om. F.Q. [f] ὑπὲρ τῶν om. A.r. [g] διαμφισβητουμένων] δι' ἀμφισβητουμένων A. [h] ἔνεστι] ἔστι A.r. [i] ἔχοιμεν] ἔχομεν A.r. [k] μέρος] γένος r. [l] πάντα ταῦτα] ταῦτα πάντα A.r. [m] ἕκαστα τῆς] ἑκάστης A.r. [n] γε] γε διὰ A. (qui accentu caret) et r. [o] διαμαρτυροῦντος] μαρτυροῦντος A., superscr. a m. rec. δια. Manifestum est δια illud quod in A.r. post κατά γε legitur, huc esse referendum. [p] ὑπολαμβάνειν] λαμβάνειν S. [q] πᾶσιν S. πᾶσι τοῖς πράγμασιν vulgo. [r] μηδέποτε] μήποτε A.r.

ποτε τυγχάνειν αὐτοὺς [s] συγγνώμης ἀγωνιζομένους παρ' ὑμῖν· προελόμενος γὰρ ἕκαστος αὐτῶν τὸν ἐκ τοῦ διαμαρτυρῆσαι κίνδυνον, οὐκ ἀναγκασθεὶς εἰσέρχεται.
78 Ὅτι μὲν οὖν ἡ διαμαρτυρία ψευδής ἐστι, καὶ ἐκ τῶν [t] γεγραμμένων καὶ ἐκ τῶν εἰρημένων λόγων σχεδὸν ἀκριβῶς μεμαθήκατε. ὅτι δὲ καὶ οἱ νόμοι, ὦ ἄνδρες δικασταὶ, ἡμῖν τὴν κληρονομίαν ἀποδιδόασι, τοῦθ' ὑμᾶς διὰ βραχέων βούλομαι διδάξαι, οὐχ ὡς οὐ μεμαθηκότας καὶ ἐν τοῖς ἐν ἀρχῇ εἰρημένοις, ἀλλ' ἵνα μᾶλλον πρὸς
79 τὴν [u] τούτων ψευδολογίαν τὰ δίκαια μνημονεύητε. [x] τὸ γὰρ σύνολον, ὄντες Ἀρχιάδῃ, οὗ ἐστὶν ὁ κλῆρος [y] οὑτοσὶ, πρὸς ἀνδρῶν [z] κατὰ γένος ἐγγυτάτω, καὶ τῆς [a] ποιήσεως, [b] ἣν ἐκεῖνος ἐποιήσατο, τῶν μὲν ἐπανεληλυθότων εἰς τὸν πατρῷον οἶκον, τοῦ δ' ἐγκαταλειφθέντος ἄπαιδος τετελευτηκότος, τούτων δ' οὕτως ἐχόντων ἀξιοῦ-
80 μεν κληρονομεῖν, οὐδεμίαν οὐσίαν Λεωστράτου ἀφελόμενοι ([c] οὗτοι μὲν γὰρ τὰς [d] ἑαυτῶν ἔχουσι), τῆς ὑπ' Ἀρχιάδου δὲ καταλειφθείσης καὶ οὔσης ἐκ τῶν νόμων ἡμετέρας. [e] ὁ γὰρ νόμος, ὦ ἄνδρες δικασταὶ, κελεύει κρατεῖν 1099
τοὺς ἄρρενας καὶ τοὺς [f] ἐκ τῶν ἀρρένων· οὗτοι δ' ἡμεῖς ἐσμέν. οὐκ ἦσαν τοίνυν παῖδες ἐκείνῳ· οἱ δ' [g] ἀγχιστεύοντες
81 ἡμεῖς ἐσμέν. ἔπειτ' οὐ δίκαιον δήπου [h] τὸν ποιητὸν υἱὸν [i] ποιητοὺς ἑτέρους εἰσάγειν, ἀλλ' [k] ἐγκαταλείπειν μὲν γιγνομένους, ὅταν δὲ [l] τοῦτ' [m] ἐπιλείπῃ, τοῖς γένεσιν ἀποδιδόναι τὰς κληρονομίας· ταῦτα γὰρ οἱ νόμοι κελεύου-

[s] *συγγνώμης*, quod vulgo abest neque in F.S.Q. legitur, se addidisse scribit Reiskius, tanquam ex conjectura addiderit. Legitur vero in A.r.
[t] *γεγραμμένων—εἰρημένων*] *εἰρημένων—γεγραμμένων* A.r. [u] *τούτων*] *τούτου* A.r. [x] *τὸ* A.r. Legebatur *τὸ μέν*. [y] *οὑτοσὶ*] *οὗτος* A.r. [z] *κατὰ γένος ἐγγυτάτω*] *ἐγγυτάτω κατὰ γένος* A.r. [a] *ποιήσεως*] *πυήσεως* S. [b] *ἣν*] *ἧς* A.r. [c] *οὗτοι*] *οὐ τοινυν* S. [d] *ἑαυτῶν*] *ἑαυτοῦ* r. [e] *ὁ γὰρ*] *ὁ μὲν γὰρ* A.r. [f] *ἐκ τῶν ἀρρένων*] *ἐξ αὐτῶν* r. [g] *ἀγχιστεύοντες*] Legebatur *ὄντες*. [h] *τὸν*] *τοῦτον* S. et *γρ.* Q. [i] *ποιητοὺς*] *πολλοὺς* S. et *γρ.* F.Q. [k] *ἐγκαταλείπειν*] *ἐγκαταλιπεῖν* A.r. [l] *τοῦτ'* om. A.r. [m] *ἐπιλείπῃ* A.S.r. *ἐπιλίπῃ* vulgo.

σιν. ἐπεὶ πῶς οὐκ [n] ἐκκλείεται [o] εἷς ἕκαστος ὑμῶν τῆς
κατὰ γένος ἀγχιστείας, ὅταν τοῖς ποιητοῖς ἡ ἄδεια αὕτη
82 δοθῇ; ὁρᾶτε γὰρ ὅτι ταῖς κολακείαις οἱ πλεῖστοι ψυχα-
γωγούμενοι καὶ ταῖς πρὸς τοὺς οἰκείους διαφοραῖς πολ-
λάκις φιλονεικοῦντες ποιητοὺς υἱεῖς ποιοῦνται· εἰ δ'
[p] ἔσται τῷ εἰσποιηθέντι παρὰ τὸν νόμον εἰσποιεῖν ὃν ἂν
βούληται, οὐδέποτε τοῖς γένεσιν αἱ κληρονομίαι δοθήσον-
83 ται. [q] ἃ καὶ προνοηθεὶς ὁ νομοθέτης ἀπεῖπε τῷ [r] ποιητῷ
αὐτῷ ὄντι [s] ποιητὸν υἱὸν μὴ ποιεῖσθαι, τίνα τρόπον διορί-
σας περὶ τούτων; ὅταν εἴπῃ υἱὸν γνήσιον [t] ἐγκαταλεί-
ποντα ἐπανιέναι. δηλοῖ [u] δήπου φανερῶς ὅτι οὐ δεῖ ποιεῖ-
σθαι· ἀδύνατον γάρ ἐστιν υἱὸν γνήσιον ἐγκαταλιπεῖν, ἐὰν
84 μὴ γόνῳ γεγονὼς ᾖ τινί. σὺ τοίνυν, ὦ Λεώστρατε, ἀξιοῖς
τῷ τετελευτηκότι [x] εἰσποιητῷ εἰς τὸ ἡμέτερον γένος ὄντι
ποιητὸν [y] ἐπὶ τὸν κλῆρον εἰσαγαγεῖν, ὥσπερ ἐπὶ τὰ [z] σαυ-
τοῦ κτήματα καὶ οὐκ εἰς τὰ κατὰ [a] νόμον τῷ προσήκοντι
85 δοθησόμενα βαδίζων. ἡμεῖς δ', ὦ ἄνδρες δικασταὶ, εἰ
μὲν ὁ τετελευτηκὼς ἐποιήσατό τινα, καίπερ οὐ διδόντος
τοῦ νόμου, συνεχωροῦμεν ἂν αὐτῷ, ἢ εἰ διαθήκας [b] κατα-
λελοίπει, καὶ [c] ταύταις ἂν ἐνεμείναμεν, ἐπεὶ [d] καὶ τὸ ἐξ
ἀρχῆς τοιοῦτοι ὄντες διετελοῦμεν, οὐκ ἐναντιούμενοι τού-
τοις ἔχουσι τὴν οὐσίαν καὶ ἐπανιοῦσιν [e] ἄνω, καθ' ὃν 1100
86 [f] δήποτε τρόπον ἐβούλοντο. ἐπεὶ δὲ νυνί ποτε ὑπὸ τού-
των αὐτῶν καὶ ὑπὸ τῶν νόμων τὸ πρᾶγμ' ἐξελήλεγκται,
[g] οἰόμεθα δεῖν κληρονομεῖν τῶν Ἀρχιάδου καὶ παρ' ἡμῶν

[n] ἐκκλείεται] ἐν κλείεται vel ἐγκλείεται pr. S. [o] εἷς om. A.r. [p] ἔσται] ἔστι A.r. [q] ἃ καὶ] διὸ A.r. [r] ποιητῷ] εἰσποιητῷ A.r. [s] ποιητὸν—ποιεῖσθαι] ποητὸν—ποεῖσθαι S. ποιητὸν delet Reiskius. [t] ἐγκαταλείποντα S. ἐγκαταλιπόντα vulgo. [u] δήπου] δέ που A.r. [x] εἰσποιητῷ] εἰσποητωι S. inserto ι a m. antiqua. [y] ἐπὶ τὸν κλῆρον S. et γρ. Q. ἐπίκληρον A.r. εἰς τὸν κλῆρον vulgo. [z] σαυτοῦ] ἑαυτοῦ A.r. [a] νόμον] τὸν νόμον A.r. [b] καταλελοίπει] καταλέλοιπε A.r. [c] ταύταις ἂν ἐνεμείναμεν] ταύταις ἐνεμένομεν A.r. ταύτας ἀνεμένομεν γρ. Q. [d] καὶ τὸ] τοῖς γρ. Q. [e] ἄνω] ἄνωθεν A.r. [f] δήποτε] δὴ A.r. [g] οἰόμεθα Schæferus. Legebatur καὶ οἰόμεθα.

εἶναι τὸν υἱὸν τὸν εἰσποιούμενον [h] τῶν μὴ πεποιημένων πρό-
87 τερον, μὴ παρὰ τούτων. δικαίως γὰρ ὁ νομοθέτης, οἶμαι, ὥσπερ καὶ τὰς ἀτυχίας τῶν [i] οἰκείων καὶ τὰς ἐκδόσεις τῶν γυναικῶν τοῖς [k] ἐγγυτάτω γένους προσέταττε ποιεῖσθαι, [l] οὕτω καὶ τὰς κληρονομίας καὶ τὴν τῶν ἀγαθῶν μετουσίαν τοῖς αὐτοῖς [m] ἀποδέδωκεν. τὸ δὲ πάντων μέγι-
88 στον καὶ γνωριμώτατον ὑμῖν· ὁ γὰρ τοῦ Σόλωνος νόμος οὐδὲ διαθέσθαι τὸν ποιητὸν ἐᾷ τὰ ἐν τῷ οἴκῳ, [n] ὅτῳ ἂν ποιηθῇ. εἰκότως, οἶμαι· τῷ γὰρ κατὰ [o] νόμον [p] εἰσποιηθέντι [q] ἐπὶ τὰ ἑτέρου οὐχ οὕτως, [r] ὡς περὶ τῶν ἰδίων κτημάτων, βουλευτέον ἐστὶν, ἀλλὰ τοῖς νόμοις ἀκολούθως, περὶ ἑκάστου
89 τῶν γεγραμμένων ὡς ὁ νόμος λέγει. ὅσοι μὴ ἐπεποίηντο, φησὶν, ὅτε Σόλων εἰσῄει εἰς τὴν ἀρχὴν, ἐξεῖναι αὐτοῖς διαθέσθαι ὅπως ἂν ἐθέλωσιν. [s] τοῖς δὲ ποιηθεῖσιν οὐκ ἐξὸν διαθέσθαι, ἀλλὰ ζῶντας ἐγκαταλιπόντας υἱὸν γνήσιον ἐπανιέναι, ἢ [t] τελευτήσαντας [u] ἀποδιδόναι τὴν κληρονομίαν τοῖς ἐξ ἀρχῆς οἰκείοις οὖσι τοῦ ποιησαμένου [x].

[h] τῶν μὴ πεποιημένων] τῷ μὴ πεποιημένῳ Reiskius. [i] οἰκείων] οἰκιῶν A.r. [k] ἐγγυτάτω A.r. ἐγγύτατα vulgo. [l] οὕτω] οὕτως S. [m] ἀποδέδωκε A.S.Q.r. ἀπέδωκε vulgo. [n] ὅτῳ ἂν Reiskius. Legebatur ὅταν. [o] νόμον] τὸν νόμον A.r. [p] εἰσποιηθέντι] εἰσποηθέντι S. [q] ἐπὶ] ἔπει S. εἰς A.r. [r] ὡς περὶ] ὥσπερ F.S.Q. [s] τοῖς δὲ] τοῖς δέ γε A.r. ὡς τοῖς γε γρ. Q. [t] τελευτήσαντας B.F.S.Q. τελευτήσαντος vulgo. [u] ἀποδιδόναι] μὴ ἀποδιδόναι r. [x] In S. subscriptum πρὸς λεωχάρη. |Η|ΗΔΔΔΔ.

ΜΕ.

ΚΑΤΑ ΣΤΕΦΑΝΟΥ ΨΕΥΔΟΜΑΡΤΥΡΙΩΝ Α.

---

[y] ΥΠΟΘΕΣΙΣ.

Ὅτε Ἀπολλόδωρος ἔκρινε Φορμίωνα τῆς τραπέζης ἀφορμὴν ἐγκαλῶν, ὁ δὲ τὴν δίκην παρεγράψατο, [z] ὁ Στέφανος μετ᾽ ἄλλων τινῶν ἐμαρτύρησε Φορμίωνι, ὡς ἄρα ὁ μὲν Φορμίων προὐκαλεῖτο Ἀπολλόδωρον, εἰ μή φησιν ἀντίγραφα εἶναι 1101 τῶν διαθηκῶν τῶν τοῦ [a] πατρὸς Πασίωνος, Φορμίωνι παρασχεῖν ἀνοῖξαι τὰς διαθήκας αὐτάς, ἃς ἔχει καὶ παρέχεται Ἀμφίας, Ἀπολλόδωρος δὲ ἀνοίγειν οὐκ ἠθέλησεν, ἔστι δὲ ἀντίγραφα τάδε τῶν διαθηκῶν τῶν Πασίωνος. ταύτην ἐμαρτύρησαν τὴν μαρτυρίαν οἱ περὶ Στέφανον, [b] τοῦ Ἀπολλοδώρου λέγοντος κατὰ τοῦ Φορμίωνος ὡς ἄρα τὰς διαθήκας πέπλακε καὶ τὸ ὅλον πρᾶγμα σκευώρημά ἐστιν. ἡττηθεὶς τοίνυν τὴν δίκην Ἀπολλόδωρος ὑπὲρ τῆς μαρτυρίας ὡς ψευδοῦς οὔσης τῷ Στεφάνῳ δικάζεται.

ΚΑΤΑΨΕΥΔΟΜΑΡΤΥΡΗΘΕΙΣ, ὦ ἄνδρες [c] Ἀθηναῖοι, καὶ παθὼν ὑπὸ Φορμίωνος ὑβριστικὰ καὶ δεινὰ δίκην παρὰ τῶν αἰτίων ἥκω ληψόμενος παρ᾽ ὑμῖν. δέομαι δὲ πάντων ὑμῶν καὶ ἱκετεύω καὶ ἀντιβολῶ πρῶτον μὲν εὐνοϊκῶς ἀκοῦσαί μου· μέγα γὰρ τοῖς ἠτυχηκόσιν, ὥσπερ ἐγώ, δυνηθῆναι περὶ ὧν πεπόνθασιν εἰπεῖν καὶ εὐμενῶς ἐχόντων ὑμῶν ἀκροατῶν τυχεῖν· εἶτ᾽ ἐὰν ἀδικεῖσθαι δοκῶ, 2 βοηθῆσαί μοι τὰ δίκαια. ἐπιδείξω δ᾽ ὑμῖν τουτονὶ Στέφανον καὶ μεμαρτυρηκότα [d] τὰ ψευδῆ, καὶ δι᾽ [e] αἰσχροκέρδειαν τοῦτο πεποιηκότα, καὶ κατήγορον αὐτὸν αὑτοῦ γιγ- 1102 νόμενον· τοσαύτη περιφάνεια τοῦ πράγματός ἐστιν. ἐξ

[y] Argumentum a m. rec. S. [z] ὁ addidi ex S. [a] πατρὸς Πασίωνος, Φορμίωνι παρασχεῖν] Legebatur πατρὸς Φορμίωνος Πασίωνος παρασχεῖν. Correxi ex S. in quo scriptum πατρὸς (β) φορμίωνι (α) πασίωνος, (γ) παρασχεῖν. [b] τοῦ] Legebatur καὶ τοῦ. καὶ deletum in S. a m., ut videtur, prima. [c] ἀθηναῖοι S. Legebatur δικασταί. Conf. p. 1102, 26. 1103, 18. 1105, 7. al. [d] τὰ addidit Reiskius. [e] αἰσχροκέρδειαν] αἰσχροκερδιαν pr. S.

ἀρχῆς δ' ὡς ἂν οἷός τε ὦ διὰ βραχυτάτων εἰπεῖν πειρά-
σομαι τὰ πεπραγμένα μοι πρὸς Φορμίωνα, ἐξ ὧν ἀκού-
σαντες τήν τ' [f]ἐκείνου πονηρίαν καὶ τούτους, ὅτι τὰ ψευδῆ
μεμαρτυρήκασι, γνώσεσθε.
3 Ἐγὼ γὰρ, ὦ ἄνδρες δικασταὶ, πολλῶν χρημάτων ὑπὸ
τοῦ πατρὸς καταλειφθέντων μοι, καὶ ταῦτα Φορμίωνος
ἔχοντος, καὶ ἔτι πρὸς τούτοις τὴν μητέρα γήμαντος τὴν
ἐμὴν ἀποδημοῦντος ἐμοῦ δημοσίᾳ τριηραρχοῦντος ὑμῖν
(ὃν [g]τρόπον δὲ, οὐκ ἴσως καλὸν υἱεῖ περὶ μητρὸς ἀκριβῶς
εἰπεῖν), ἐπειδὴ καταπλεύσας ᾐσθόμην καὶ τὰ πεπραγ-
μένα εἶδον, πολλὰ ἀγανακτήσας καὶ χαλεπῶς ἐνεγκὼν
4 δίκην μὲν οὐχ οἷός τ' ἦν ἰδίαν λαχεῖν (οὐ γὰρ ἦσαν ἐν
τῷ [h]τότε καιρῷ δίκαι, ἀλλ' ἀνεβάλλεσθε ὑμεῖς διὰ τὸν
πόλεμον), γραφὴν δὲ ὕβρεως γράφομαι πρὸς τοὺς θεσμο-
θέτας αὐτόν. χρόνου δὲ γιγνομένου, καὶ τῆς μὲν γραφῆς
ἐκκρουομένης, δικῶν δὲ οὐκ οὐσῶν, γίγνονται παῖδες ἐκ
5 τούτου τῇ μητρί. καὶ μετὰ ταῦτα (εἰρήσεται γὰρ ἅπασα
πρὸς ὑμᾶς ἡ ἀλήθεια, ὦ ἄνδρες δικασταὶ) πολλοὶ μὲν
καὶ φιλάνθρωποι λόγοι [i]παρὰ τῆς μητρὸς ἐγίγνοντο καὶ
δεήσεις ὑπὲρ Φορμίωνος τουτουὶ, πολλοὶ δὲ καὶ μέτριοι
6 καὶ ταπεινοὶ παρ' αὐτοῦ τούτου. ἵνα [k]δὲ, ὦ ἄνδρες Ἀθη-
ναῖοι, συντέμω ταῦτα, ἐπειδὴ ποιεῖν τε οὐδὲν ᾤετο δεῖν ὧν
τότε ὡμολόγησε, καὶ τὰ χρήματα ἀποστερεῖν ἐνεχείρησεν
ἃ τῆς τραπέζης εἶχεν ἀφορμὴν, δίκην ἠναγκάσθην αὐτῷ
7 λαχεῖν, ἐπειδὴ τάχιστα ἐξουσία ἐγένετο. γνοὺς δ' οὗτος 1103
ὅτι πάντα ἐξελεγχθήσεται καὶ κάκιστος ἀνθρώπων περὶ
ἡμᾶς γεγονὼς [l]ἐπιδειχθήσεται, μηχανᾶται καὶ κατα-
σκευάζει ταῦτα, ἐφ' οἷς Στέφανος οὑτοσὶ τὰ ψευδῆ μου
κατεμαρτύρησεν. καὶ πρῶτον μὲν παρεγράψατο τὴν [m]δί-

[f] ἐκείνου γρ. F.Q. τούτου F.S.Q. [g] τρόπον δὲ S. Legebatur δὲ τρόπον.
[h] τότε] $\overset{\tau}{\pi}$οτε S. τ a m. antiqua. [i] παρὰ] περι pr. S. [k] δὲ om. Q.
[l] ἐπιδειχθήσεται] $\overset{\alpha}{\epsilon}\pi\overset{o}{\iota}$δειχθήσεται F. [m] δίκην F.S.Q. διαθήκην Ald.

κην, ἣν [n] ἔφευγε Φορμίων, μὴ εἰσαγώγιμον εἶναι· ἔπειτα μάρτυρας, ὡς ἀφῆκα αὐτὸν τῶν ἐγκλημάτων, παρέσχετο ψευδεῖς, καὶ μισθώσεώς τινος ἐσκευωρημένης καὶ διαθήκης οὐδεπώποτε γενομένης.

8 προλαβὼν δέ μου ὥστε πρότερον λέγειν διὰ τὸ παραγραφὴν εἶναι καὶ μὴ [o] εὐθυδικίᾳ εἰσιέναι, καὶ ταῦτ' ἀναγνοὺς καὶ τἄλλα, ὡς αὐτῷ συμφέρειν ἡγεῖτο, ψευσάμενος οὕτω διέθηκε τοὺς δικαστάς, ὥστε φωνὴν μηδ' ἡντινοῦν ἐθέλειν ἀκούειν ἡμῶν· [p] προσοφλὼν δὲ τὴν ἐπωβελίαν καὶ οὐδὲ λόγου τυχεῖν [q] ἀξιωθείς, ὡς οὐκ οἶδ' εἴ τις πώποτε ἄλλος ἀνθρώπων, ἀπῄειν

9 βαρέως, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ χαλεπῶς φέρων. λόγον δ' ἐμαυτῷ διδοὺς εὑρίσκω τοῖς δικάσασι μὲν τότε πολλὴν συγγνώμην οὖσαν (ἐγὼ γὰρ αὐτὸς οὐκ ἂν οἶδ' ὅ τι ἄλλο εἶχον ψηφίσασθαι, τῶν πεπραγμένων μὲν μηδὲν εἰδώς, τὰ δὲ μαρτυρούμενα ἀκούων), τούτους δὲ ἀξίους ὄντας ὀργῆς, οἱ τῷ τὰ ψευδῆ μαρτυρεῖν αἴτιοι τούτων

10 ἐγένοντο. περὶ μὲν δὴ τῶν ἄλλων τῶν μεμαρτυρηκότων, ὅταν πρὸς ἐκείνους εἰσίω, τότε ἐρῶ· περὶ ὧν δ' οὑτοσὶ Στέφανος μεμαρτύρηκεν, ἤδη πειράσομαι διδάσκειν ὑμᾶς. [r] λαβὲ δ' αὐτὴν τὴν μαρτυρίαν καὶ ἀνάγνωθί μοι, ἵνα ἐξ αὐτῆς ἐπιδεικνύω. λέγε· σὺ δ' [s] ἐπίλαβε τὸ ὕδωρ.

11 ΜΑΡΤΥΡΙΑ. 1104

[t] Στέφανος Μενεκλέους Ἀχαρνεύς, [u] Ἔνδιος Ἐπιγένους Λαμπτρεύς, Σκύθης Ἁρματέως Κυδαθηναιεὺς μαρτυροῦσι παρεῖναι πρὸς τῷ διαιτητῇ Τισίᾳ Ἀχαρνεῖ, ὅτε προὐκαλεῖτο Φορμίων Ἀπολλόδωρον, εἰ μή φησιν ἀντίγραφα εἶναι τῶν διαθηκῶν τῶν Πασίωνος τὸ γραμματεῖον ὃ ἐνεβάλετο Φορμίων εἰς τὸν ἐχῖνον, ἀνοίγειν τὰς διαθήκας τὰς Πασίωνος, ἃς [x] παρείχετο πρὸς τὸν διαιτητὴν [y] Ἀμ-

[n] ἔφευγε] ἔφευγεν (υ superscr.) F. ἔφυγεν Q. [o] εὐθυδικίᾳ] εὐθυδίκαιαι pr. S. illud rec. marg. [p] προσοφλὼν] Scribebatur προσόφλων. [q] ἀξιωθεὶς] ἀξιωθεὶς ἀλλ' ὑβρισθεὶς γρ. Q. [r] λαβὲ δ' αὐτὴν] λάβε δὲ ταύτην pr. S. ut videtur. [s] ἐπίλαβε] ἐπίλαβε (σ λ superscr.) F. [t] Testimonium om. S. [u] Ἔνδιος Ἐπιγένους Λαμπτρεὺς addita ex Q., correcto codicis vitio λαμπρέύς. [x] παρείχετο] παρεῖχε Reiskius. [y] Ἀμφίας Q. et Libanius in argumento. Ἀμφίων B.F. ut vulgo.

*φίας ὁ Κηφισοφῶντος κηδεστής· Ἀπολλόδωρον δὲ οὐκ ἐθέλειν
ἀνοίγειν· εἶναι δὲ [z] τὰ ἀντίγραφα τῶν διαθηκῶν τῶν Πασίωνος.*

12 Ἠκούσατε μὲν τῆς μαρτυρίας, ὦ ἄνδρες δικασταί, νο-
μίζω δ' ὑμᾶς, εἰ καὶ μηδὲν τῶν ἄλλων [a] αἰσθάνεσθέ πω,
τοῦτό γε αὐτὸ θαυμάζειν, τὸ τὴν μὲν ἀρχὴν τῆς μαρτυ-
ρίας εἶναι πρόκλησιν, τὴν δὲ τελευτὴν διαθήκην. οὐ μὴν
ἀλλ' ἔγωγ' οἶμαι δεῖν, ἐπειδάν, ὃ τῶν μεμαρτυρημένων
ὡσπερεὶ κεφάλαιόν ἐστιν, ἐπιδείξω ψεῦδος ὄν, τηνικαῦτ'
13 ἤδη καὶ περὶ τῶν τοιούτων ποιεῖσθαι τοὺς λόγους. ἔστι
δὴ μεμαρτυρημένον αὐτοῖς προκαλεῖσθαι Φορμίωνα ἀνοί-
γειν τὰς διαθήκας, ἃς παρέχειν πρὸς τὸν διαιτητὴν Τι-
σίαν Ἀμφίαν τὸν Κηφισοφῶντος κηδεστήν· ἐμὲ δ' οὐκ
ἐθέλειν ἀνοίγειν· εἶναι δὲ ἃς αὐτοὶ μεμαρτυρήκασι διαθή-
κας, ἀντιγράφους ἐκείνων. εἶθ' ἡ διαθήκη γέγραπται.
14 ἐγὼ τοίνυν περὶ μὲν τοῦ προκαλεῖσθαί με ἢ μὴ ταῦτα
Φορμίωνα οὐδέν πω λέγω, οὐδὲ ὑπὲρ τοῦ τὰς διαθήκας
ἀληθεῖς ἢ ψευδεῖς εἶναι, ἀλλ' αὐτίχ' ὑμᾶς περὶ τούτων
διδάξω· ἀλλ' ἃ μεμαρτυρήκασι, μή μ' ἐθέλειν τὸ γραμ-
ματεῖον ἀνοίγειν. ὡδὶ δὴ σκοπεῖτε. τοῦ τις ἂν [b] ἕνεκα
ἔφευγεν ἀνοίγειν τὸ γραμματεῖον; ἵν' ἡ διαθήκη νὴ Δία 1105
15 μὴ φανερὰ γένοιτο τοῖς δικασταῖς. εἰ μὲν τοίνυν μὴ
προσεμαρτύρουν τῇ προκλήσει τὴν διαθήκην οὗτοι, λόγον
εἶχέ τιν' ἂν τὸ φεύγειν ἐμὲ ἀνοίγειν τὸ γραμματεῖον·
προσμαρτυρούντων δὲ τούτων καὶ τῶν δικαστῶν ὁμοίως
ἀκουσομένων τί ἦν μοι κέρδος τὸ μὴ ἐθέλειν; [c] οὐδὲ ἓν
δήπου. αὐτὸ γὰρ τοὐναντίον, ὦ ἄνδρες Ἀθηναῖοι, κἂν εἰ
μηδὲν προὐκαλοῦντο οὗτοι, λόγῳ δ' ἐχρῶντο μόνον, καὶ
16 παρεῖχέ τις αὐτοῖς γραμματεῖον ὡς διαθήκην, ἐμὸν ἦν τὸ
προκαλεῖσθαι καὶ [d] ἀνοίγειν ταύτην, ἵν' εἰ μὲν ἄλλ' ἅττα
τῶν ὑπὸ τούτων μεμαρτυρημένων ἦν τἀκεῖ γεγραμμένα,

[z] τὰ ἀντίγραφα] ἀντίγραφα τάδε dixit Libanius. ταὔτ' ἀντίγραφα Dobræus. [a] αἰσθάνεσθέ] αἰσθάνεσθαί F.Q. [b] ἕνεκα] Scribebatur εἵνεκεν. [c] οὐδὲ ἓν] οὐδὲν F. [d] ἀνοίγειν] κελεύειν ἀνοίγειν γρ. Q.

μάρτυρας εὐθὺς τῶν περιεστηκότων πολλοὺς ποιησάμενος
τεκμηρίῳ τούτῳ καὶ περὶ τῶν ἄλλων, ὡς κατασκευάζου-
σιν, ἐχρώμην· εἰ δὲ ταῦτ' ἐνῆν, τὸν παρασχόντ' αὐτὸν
ἠξίουν μαρτυρεῖν. ἐθελήσαντος [e] μὲν γὰρ ὑπεύθυνον ἐλάμ-
βανον, εἰ δ' ἔφευγε, πάλιν αὐτὸ τοῦθ' ἱκανὸν τεκμή-
17 ριον ἦν μοι τοῦ πεπλάσθαι τὸ πρᾶγμα. καὶ δὴ καὶ συν-
έβαινεν ἐκείνως μὲν ἕνα εἶναι, πρὸς ὃν τὰ πράγματα
ἐγίγνετό μοι, ὡς δ' οὗτοι μεμαρτυρήκασι, πρὸς πολλούς.
ἔστιν οὖν ὅστις [f] ἂν ὑμῶν ταῦθ' εἵλετο; ἐγὼ μὲν οὐδένα
ἡγοῦμαι. οὐ τοίνυν οὐδὲ κατ' ἄλλου πιστεύειν ἐστὲ δίκαιοι.
18 καὶ γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, ὅσοις μὲν πρόσεστιν ὀργὴ
τῶν πραττομένων ἢ λῆμμά τι κέρδους ἢ παροξυσμὸς ἢ
φιλονεικία, ταῦτα μὲν ἄλλος ἂν ἄλλως πράξειε πρὸς τὸν
αὑτοῦ τρόπον· ὅσοις δὲ τούτων μὲν μηδὲν, λογισμὸς δ'
ἐφ' ἡσυχίας τοῦ συμφέροντος, τίς οὕτως ἄφρων ὅστις ἂν
τὰ συνοίσοντ' ἀφεὶς, ἐξ ὧν κάκιον ἔμελλεν ἀγωνιεῖσθαι,
ταῦτ' ἔπραξεν; ἃ γὰρ οὔτ' εἰκότα οὔτ' εὔλογα οὔτ' ἂν 1106
ἔπραξεν οὐδεὶς, ταῦθ' οὗτοι μεμαρτυρήκασι περὶ ἡμῶν.
19 Οὐ τοίνυν μόνον ἐξ ὧν ἐμὲ μὴ [g] θέλειν τὸ γραμματεῖον
ἀνοίγειν μεμαρτυρήκασι, γνοίη τις ἂν αὐτοὺς ὅτι ψεύδον-
ται, ἀλλὰ καὶ ἐκ τοῦ πρόκλησιν ὁμοῦ διαθήκῃ μαρτυρεῖν.
οἶμαι γὰρ ἅπαντας ὑμᾶς εἰδέναι ὅτι ὅσα μὴ δυνατὸν
πρὸς ὑμᾶς ἀγαγεῖν ἐστὶ τῶν πεπραγμένων, τούτων προ-
20 κλήσεις εὑρέθησαν. οἷον βασανίζειν οὐκ ἔστιν ἐναντίον
ὑμῶν· ἀνάγκη τούτου πρόκλησιν εἶναι. οἷον εἴ τι πέπρα-
κται καὶ γέγονεν ἔξω που τῆς χώρας, ἀνάγκη καὶ τού-
του πρόκλησιν εἶναι πλεῖν ἢ βαδίζειν οὗ τὸ πρᾶγμ' ἐπρά-
χθη· καὶ τῶν ἄλλων τῶν τοιούτων. ὅπου δ' αὐτὰ τὰ
πράγματα ἐφ' αὑτῶν ἔστιν ὑμῖν ἐμφανῆ ποιῆσαι, τί ἦν
21 ἁπλούστερον ἢ ταῦτ' ἄγειν εἰς μέσον; Ἀθήνησι μὲν τοί-

[e] μὲν γὰρ Baiterus. Legebatur μέν γε (vel γ'). [f] ἂν addidit Dobræus.
[g] θέλειν S. ἐθέλειν vulgo.

νυν ὁ πατὴρ ἐτελεύτησεν οὑμὸς, ἐγίγνετο δ' ἡ δίαιτα ἐν τῇ ποικίλῃ στοᾷ, μεμαρτυρήκασι δ' οὗτοι παρέχειν τὸ γραμματεῖον Ἀμφίαν πρὸς τὸν διαιτητήν. οὐκοῦν εἴπερ ἀληθὲς ἦν, ἐχρῆν αὐτὸ τὸ γραμματεῖον εἰς τὸν [h]ἐχῖνον ἐμβαλεῖν καὶ τὸν παρέχοντα μαρτυρεῖν, ἵν' ἐκ τῆς ἀληθείας καὶ τοῦ τὰ σημεῖα ἰδεῖν οἱ μὲν δικασταὶ [i]τὸ πρᾶγμα ἔγνωσαν,
22 ἐγὼ δὲ, εἴ τις ἠδίκει με, ἐπὶ [k]τοῦτον [l]ᾖα. νῦν δὲ εἷς μὲν οὐδεὶς ὅλον τὸ πρᾶγμα ἀνεδέξατο, οὐδὲ μεμαρτύρηκεν ἁπλῶς, ὡς ἄν τις τἀληθῆ μαρτυρήσειε, μέρος δ' ἕκαστος, ὡς δὴ σοφὸς καὶ διὰ τοῦτο οὐ δώσων δίκην, ὁ μὲν γραμματεῖον ἔχειν ἐφ' ᾧ γεγράφθαι διαθήκη Πασίωνος, ὁ δὲ πεμφθεὶς ὑπὸ τούτου παρέχειν τοῦτο, εἰ δ' ἀληθὲς ἢ
23 ψεῦδος, οὐδὲν εἰδέναι. [m]οἵδὶ δὲ τῇ προκλήσει χρησάμενοι 1107
παραπετάσματι διαθήκας ἐμαρτύρησαν, ὡς ἂν μάλισθ' οἱ δικασταὶ ταύτην τὴν διαθήκην ἐπίστευσαν τοῦ πατρὸς εἶναι, ἐγὼ δὲ ἀπεκλείσθην τοῦ λόγου τυχεῖν ὑπὲρ ὧν ἀδικοῦμαι, οὗτοι δὲ φωραθεῖεν τὰ ψευδῆ μεμαρτυρηκότες. καίτοι τό γ' ἐναντίον ᾤοντο τούτου. ἵνα δ' εἰδῆτε ταῦτα ὅτι ἀληθῆ λέγω, [n]λαβὲ τὴν τοῦ Κηφισοφῶντος μαρτυρίαν.

24 ΜΑΡΤΥΡΙΑ.

[o]Κηφισοφῶν [p]Κεφάλωνος Ἀφιδναῖος μαρτυρεῖ καταλειφθῆναι αὐτῷ ὑπὸ τοῦ πατρὸς γραμματεῖον, ἐφ' ᾧ ἐπιγεγράφθαι διαθήκη Πασίωνος.

25 Οὐκοῦν ἦν ἁπλοῦν, ὦ ἄνδρες δικασταὶ, τὸν ταῦτα μαρτυροῦντα προσμαρτυρῆσαι "εἶναι δὲ τὸ γραμματεῖον, ὃ "αὐτὸς παρέχει, τοῦτο," καὶ τὸ γραμματεῖον ἐμβαλεῖν. ἀλλὰ τοῦτο μὲν, οἶμαι, τὸ ψεῦδος ἡγεῖτο ὀργῆς ἄξιον, καὶ δίκην ἂν ὑμᾶς παρ' αὐτοῦ λαβεῖν, γραμματεῖον δ' αὑτῷ καταλειφθῆναι μαρτυρῆσαι φαῦλον καὶ οὐδέν. ἔστι

[h] ἐχῖνον] ἐχεινον S. [i] τὸ πρᾶγμα] τὰ δίκαια γρ. F.Q. [k] τοῦτον ᾖα] τούτων εἴα F. [l] ᾖα] ηια S. ει a m. correctoris. [m] οἵδὶ S. οἱ vulgo. [n] λαβὲ] λαβέ μοι F. [o] Testimonium om. S. [p] κεφάλωνος B.F.Q. κεφαλῶνος Ald.

δὲ τοῦτ' αὐτὸ τὸ δηλοῦν καὶ κατηγοροῦν ὅτι πᾶν τὸ πρᾶγ-
26 μα κατεσκευάκασιν. εἰ μὲν γὰρ ἐπῆν ἐπὶ τῆς διαθήκης
"Πασίωνος καὶ Φορμίωνος" ἢ "πρὸς Φορμίωνα" ἤ τοιοῦτό
τι, εἰκότως ἂν αὐτὴν ἐτήρει τούτῳ· εἰ δ', ὥσπερ μεμαρ-
τύρηκεν, ἐπῆν "διαθήκη Πασίωνος," πῶς οὐκ ἂν ἀνῃρήμην
αὐτὴν ἐγώ, συνειδὼς μὲν ἐμαυτῷ μέλλοντι δικάζεσθαι,
συνειδὼς [q] δ' ὑπεναντίαν οὖσαν, εἴπερ ἦν τοιαύτη, τοῖς
ἐμαυτῷ συμφέρουσι, κληρονόμος δὲ ὢν καὶ ταύτης, εἴπερ
27 ἦν τοὐμοῦ πατρός, καὶ τῶν ἄλλων πατρῴων ὁμοίως; οὐκ-
οῦν τῷ παρέχεσθαι μὲν Φορμίωνι, [r] γεγράφθαι δὲ Πασί-
ωνος, εἰᾶσθαι δ' ὑφ' ἡμῶν, ἐξελέγχεται κατεσκευασμένη 1108
μὲν ἡ διαθήκη, ψευδὴς δ' ἡ τοῦ Κηφισοφῶντος μαρτυρία.
ἀλλ' ἐῶ Κηφισοφῶντα· οὔτε γὰρ νῦν μοι πρὸς ἐκεῖνόν
ἐστιν, οὔτ' ἐμαρτύρησεν ἐκεῖνος περὶ τῶν ἐν ταῖς διαθήκαις
28 ἐνόντων οὐδέν. καίτοι καὶ τοῦτο σκοπεῖτε, ὅσον ἐστὶ τεκ-
μήριον, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦ τούτους τὰ ψευδῆ μεμαρ-
τυρηκέναι. εἰ γὰρ ὁ μὲν αὐτὸς ἔχειν τὸ γραμματεῖον
μαρτυρῶν οὐκ ἐτόλμησεν ἀντίγραφα εἶναι, ἃ παρείχετο
Φορμίων, τῶν παρ' αὐτῷ μαρτυρῆσαι, οὗτοι δὲ οὔτε ἐξ
ἀρχῆς ὡς παρῆσαν ἔχοιεν ἂν εἰπεῖν, οὔτε ἀνοιχθὲν εἶδον
πρὸς τῷ διαιτητῇ τὸ γραμματεῖον, ἀλλὰ καὶ μεμαρτυρή-
κασιν αὐτοὶ μὴ ἐθέλειν ἐμὲ ἀνοίγειν, ταῦτα ὡς ἀντίγραφά
ἐστιν ἐκείνων μεμαρτυρηκότες, [s] τί ἄλλο ἢ σφῶν αὐτῶν
κατήγοροι γεγόνασιν, ὅτι ψεύδονται;

29 Ἔτι τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, ὡς γέγραπταί τις [t] ἂν
ἐξετάσας τὴν μαρτυρίαν γνοίη παντελῶς τοῦτο μεμη-
χανημένους αὐτούς, ὅπως δικαίως καὶ ἀδίκως [u] δόξει ταῦτα
ὁ πατὴρ οὑμὸς διαθέσθαι. λαβὲ δ' αὐτὴν τὴν μαρτυρίαν,
καὶ λέγ' ἐπισχὼν οὗ [x] ἄν σε κελεύω, ἵν' ἐξ αὐτῆς δεικνύω.

[q] δ' ὑπεναντίαν ο] Has literas in litura habet S. [r] γεγράφθαι] ἐπιγεγράφθαι Reiskius. [s] τί ἄλλο γρ. Q. τί ἄλλον S. τίνων ἄλλων vulgo et correctus S. [t] ἂν ἐξετάσας] ἀνεξετάσας F. [u] δόξει] δόξῃ F. η superscr. in S. [x] ἂν om. γρ. Q.

30 ΜΑΡΤΥΡΙΑ.

Μαρτυροῦσι παρεῖναι πρὸς τῷ διαιτητῇ Τισίᾳ, ὅτε προὐκαλεῖτο Φορμίων Ἀπολλόδωρον, [y] εἰ μή φησιν ἀντίγραφα εἶναι τῶν διαθηκῶν τῶν Πασίωνος.

[z] Ἐπίσχες. ἐνθυμεῖσθε ὅτι τῶν διαθηκῶν γέγραπται τῶν Πασίωνος. καίτοι χρῆν τοὺς βουλομένους τἀληθῆ [a] μαρτυρεῖν, εἰ τὰ μάλιστ' ἐγίγνετο ἡ πρόκλησις, ὡς οὐκ ἐγίγνετο, [b] ἐκείνως μαρτυρεῖν. λέγε τὴν μαρτυρίαν ἀπ' ἀρχῆς πάλιν.

ΜΑΡΤΥΡΙΑ. 1109

31 Μαρτυροῦσι [c] παρεῖναι πρὸς τῷ διαιτητῇ Τισίᾳ.

Μαρτυροῦμεν· παρῆμεν γὰρ δή. λέγε.

ὅτε προὐκαλεῖτο Φορμίων Ἀπολλόδωρον.

Καὶ τοῦτο, εἴπερ προὐκαλεῖτο, ὀρθῶς ἂν ἐμαρτύρουν.

[d] εἰ μή φησιν ἀντίγραφα εἶναι τῶν διαθηκῶν τῶν Πασίωνος.

32 Ἔχε αὐτοῦ. οὐδ' ἂν εἷς ἔτι δήπου τοῦτ' ἐμαρτύρησεν, εἰ μή τις καὶ παρῆν διατιθεμένῳ τῷ πατρὶ τῷ ἐμῷ· ἀλλ' εὐθὺς ἂν εἶπε "τί δ' ἡμεῖς ἴσμεν, [e] εἴ τινές εἰσι διαθῆκαι "Πασίωνος;" καὶ γράφειν ἂν αὐτὸν ἠξίωσεν, ὥσπερ ἐν ἀρχῇ τῆς προκλήσεως, "εἰ μή φημ' ἐγὼ ἀντίγραφα "εἶναι τῶν διαθηκῶν, [f] ὧν φησὶ Φορμίων [g] Πασίωνα κα-"ταλιπεῖν," οὐ "τῶν Πασίωνος." τοῦτο μὲν γὰρ ἦν εἶναι διαθήκας μαρτυρεῖν, ὅπερ ἦν τούτοις βούλημα, ἐκεῖνο δὲ φάσκειν Φορμίωνα· πλεῖστον δὲ δήπου κεχώρισται τό τ' εἶναι καὶ τὸ τοῦτον φάσκειν.

33 Ἵνα τοίνυν εἰδῆτε ὑπὲρ ἡλίκων καὶ ὅσων ἦν τὸ κατασκεύασμα [h] τὸ τῆς διαθήκης, μικρὰ ἀκούσατέ μου. [i] ἦν γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτο πρῶτον μὲν ὑπὲρ τοῦ μὴ δοῦναι δίκην ὧν διεφθάρκει ἣν ἐμοὶ μὲν οὐ καλὸν λέγειν,

[y] εἰ μή] ἦ μὴν F.Q. et supra versum S. [z] Ἐπίσχες—Πασίωνος om. S. [a] μαρτυρεῖν] προσμαρτυρεῖν S. [b] ἐκείνως] ἐκεῖνος F. [c] παρεῖναι] γὰρ εἶναι S. [d] εἰ μή] ἦ μὴν F. [e] εἴ τινές] ἤ τίνες γρ. Q. [f] ὧν] οὕτως ὡς γρ. Q. [g] Πασίωνα om. S. [h] τὸ additum ex S. [i] ἦν B.F.S.Q. ἦν μὲν vulgo.

ὑμεῖς δ' ἴστε, κἂν ἐγὼ μὴ λέγω, ἔπειθ' ὑπὲρ τοῦ κατασχεῖν ὅσα ἦν τῷ ἡμετέρῳ πατρὶ χρήματα παρὰ τῇ μητρί, πρὸς δὲ τούτοις ὑπὲρ τοῦ καὶ τῶν ἄλλων τῶν ἡμετέρων
34 ἁπάντων κυρίῳ γενέσθαι. ὅτι δ' οὕτω ταῦτ' ἔχει, τῆς διαθήκης αὐτῆς ἀκούσαντες γνώσεσθε· φανήσεται γὰρ οὐ πατρὸς [k] ὑπὲρ [l] υἱέων γράφοντος ἐοικυῖα διαθήκη, ἀλλὰ δούλου λελυμασμένου τὰ τῶν δεσποτῶν, ὅπως μὴ δώσει δίκην σκοποῦντος. λέγε δ' αὐτοῖς τὴν διαθήκην αὐτήν, ἣν 1110 οὗτοι [m] μετὰ τῆς [n] προκλήσεως μεμαρτυρήκασιν· ὑμεῖς δ' ἐνθυμεῖσθε ἃ λέγω.

35 ΔΙΑΘΗΚΗ.

[o] Τάδε διέθετο Πασίων Ἀχαρνεύς· δίδωμι τὴν ἐμαυτοῦ γυναῖκα Ἀρχίππην Φορμίωνι, καὶ προῖκα ἐπιδίδωμι Ἀρχίππῃ τάλαντον μὲν τὸ ἐκ Πεπαρήθου, τάλαντον δὲ τὸ αὐτόθεν, συνοικίαν ἑκατὸν μνῶν, θεραπαίνας καὶ [p] τὰ χρυσία καὶ τἄλλ' ὅσα ἐστὶν αὐτῇ ἔνδον. ἅπαντα ταῦτα Ἀρχίππῃ δίδωμι.

36 Ἠκούσατε, ὦ ἄνδρες Ἀθηναῖοι, τὸ πλῆθος τῆς προικός, τάλαντον ἐκ Πεπαρήθου, τάλαντον αὐτόθεν, συνοικίαν ἑκατὸν μνῶν, θεραπαίνας καὶ χρυσία, καὶ τἄλλα, φησίν, ὅσα ἐστὶν αὐτῇ, δίδωμι, τούτῳ τῷ γράμματι καὶ τοῦ ζητῆσαί τι τῶν καταλειφθέντων ἀποκλείων ἡμᾶς.

37 Φέρε δὴ δείξω τὴν μίσθωσιν ὑμῖν, καθ' ἣν ἐμεμίσθωτο τὴν τράπεζαν παρὰ τοῦ πατρὸς οὗτος. καὶ γὰρ ἐκ ταύτης, καίπερ ἐσκευωρημένης, ὄψεσθε ὅτι πλάσμα ὅλον ἐστὶν ἡ διαθήκη. δείξω δ' ἣν οὗτος παρέσχετο μίσθωσιν, οὐκ ἄλλην τινά, ἐν ᾗ προσγέγραπται ἕνδεκα τάλαντα ὁ πατὴρ ὀφείλων εἰς τὰς παρακαταθήκας τούτῳ. ἔστι δ',
38 οἶμαι, ταῦτα τοιαῦτα. τῶν μὲν οἴκοι χρημάτων ὡς ἐπὶ τῇ μητρὶ δοθέντων [q] διὰ τῆς διαθήκης αὐτὸν ἐποίησε κύριον, ὥσπερ ἀκηκόατε ἄρτι, τῶν δ' ἐπὶ τῆς τραπέζης ὄντων, ἃ πάντες ᾔδεσαν καὶ λαθεῖν οὐκ ἦν, διὰ τοῦ προσοφείλοντα

[k] ὑπὲρ Wolfius. ὥσπερ libri. [l] υἱέων] ὑέων S. [m] μετὰ Reiskius. Legebatur πρό. [n] προκλήσεως S. Legebatur κλήσεως. [o] Testamentum om. S. [p] τὰ om. Q. [q] διὰ] δι' ἃ Q.

ἀποφῆναι τὸν πατέρα ἡμῶν, ἵν', ὅσα ἐξελέγχοιτο ἔχων, κεκομίσθαι φαίη. ὑμεῖς δ' ἴσως αὐτὸν ὑπειλήφατε, ὅτι σολοικίζει τῇ φωνῇ, βάρβαρον καὶ εὐκαταφρόνητον εἶναι. ἔστι δὲ βάρβαρος οὗτος τῷ μισεῖν οὓς αὐτῷ [r]προσῆκε τι- 1111 μᾶν· τῷ δὲ κακουργῆσαι καὶ [s]διορύξαι πράγματα οὐδενὸς λείπεται. λαβὲ [t]δὴ τὴν μίσθωσιν, καὶ λέγε, ἣν τὸν αὐτὸν τρόπον διὰ προκλήσεως ἐνεβάλοντο.

39 ΜΙΣΘΩΣΙΣ [u]ΤΡΑΠΕΖΗΣ.

[x]Κατὰ τάδε ἐμίσθωσε Πασίων τὴν τράπεζαν Φορμίωνι· μίσθωσιν φέρειν Φορμίωνα τῆς τραπέζης τοῖς παισὶ τοῖς Πασίωνος δύο τάλαντα καὶ [y]τετταράκοντα μνᾶς τοῦ ἐνιαυτοῦ ἑκάστου, χωρὶς τῆς καθ' ἡμέραν διοικήσεως· μὴ ἐξεῖναι δὲ τραπεζιτεῦσαι χωρὶς Φορμίωνι, ἐὰν μὴ πείσῃ τοὺς παῖδας τοὺς Πασίωνος. ὀφείλει δὲ Πασίων ἐπὶ τὴν τράπεζαν ἕνδεκα τάλαντα εἰς τὰς παρακαταθήκας.

40 Ἃς μὲν τοίνυν παρέσχετο συνθήκας ὡς κατὰ ταύτας μισθωσάμενος τὴν τράπεζαν, αὗταί εἰσιν, ὦ ἄνδρες δικασταί. ἀκούετε δ' ἐν ταύταις ἀναγιγνωσκομέναις μίσθωσιν μὲν φέρειν τοῦτον, ἄνευ τῆς καθ' ἡμέραν διοικήσεως, δύο τάλαντα καὶ τετταράκοντα μνᾶς τοῦ ἐνιαυτοῦ ἑκάστου, μὴ ἐξεῖναι δὲ τραπεζιτεύειν αὐτῷ, ἐὰν μὴ ἡμᾶς πείσῃ. προσγέγραπται δὲ τελευταῖον "ὀφείλει δὲ Πασίων
41 "ἕνδεκα τάλαντα εἰς τὰς παρακαταθήκας." ἔστιν οὖν ὅστις ἂν τοῦ ξύλου καὶ τοῦ χωρίου καὶ [z]τῶν γραμματείων τοσαύτην ὑπέμεινε [a]φέρειν μίσθωσιν; ἔστι δ' ὅστις ἄν, δι' ὃν [b]ὠφειλήκει τοσαῦτα χρήματα ἡ τράπεζα, τούτῳ τὰ λοιπὰ ἐπέτρεψεν; εἰ γὰρ ἐνεδέησε τοσούτων χρημάτων, τούτου διοικοῦντος ἐνεδέησεν. ἴστε γὰρ πάντες, καὶ ὅτ' ἦν ὁ πατὴρ ἐπὶ τοῦ τραπεζιτεύειν, τοῦτον καθήμενον καὶ διοικοῦντα ἐπὶ τῇ τραπέζῃ, ὥστε ἐν τῷ μύλωνι προσῆκεν αὐ-

[r] προσῆκε] προσήκει Q. [s] διορύξαι] διορῦξαι S. [t] δὴ] δή μοι F. [u] ΤΡΑΠΕΖΗΣ om. S. [x] Formulam locationis om. S. [y] τετταράκοντα] τεττεράκοντα Q. [z] τῶν γραμματείων S. Legebatur τοῦ γραμματείου. τῶν[οῦ] γραμματείων[ου] F. [a] φέρειν additum ex B.F.S.Q. [b] ὠφειλήκει] ὠφλήκει Q.

42 τὸν εἶναι μᾶλλον ἢ τῶν λοιπῶν κύριον γενέσθαι. ἀλλ' ἐῶ 1112
ταῦτα καὶ τἄλλ', ὅσ' ἂν περὶ τῶν ἕνδεκα ταλάντων ἔχοιμι
εἰπεῖν, ὡς οὐκ ὤφειλεν ὁ πατήρ, ἀλλ' οὗτος ὑφῄρηται.
ἀλλ' οὗ ἀνέγνων [c] ἕνεκα, τοῦ τὴν διαθήκην ψευδῆ δεῖξαι,
τοῦθ' ὑμᾶς ἀναμνήσω. γέγραπται γὰρ αὐτόθι, μὴ ἐξεῖναι
43 [d] δὲ τραπεζιτεύειν Φορμίωνι, ἐὰν μὴ ἡμᾶς πείσῃ. τοῦτο
τοίνυν τὸ γράμμα [e] παντελῶς δηλοῖ ψευδῆ τὴν διαθήκην
οὖσαν. τίς γὰρ [f] ἂν ἀνθρώπων, ἃ μὲν ἤμελλε τραπεζιτεύων
οὗτος [g] ἐργάζεσθαι, ταῦθ' ὅπως ἡμῖν τοῖς αὑτοῦ παισὶν,
ἀλλὰ μὴ τούτῳ γενήσεται προὐνοήθη, καὶ διὰ τοῦτο μὴ
ἐξεῖναι τούτῳ τραπεζιτεύειν [h] ἔγραψεν, ἵνα μὴ ἀφίστηται
ἀφ' ἡμῶν· ἃ δ' αὐτὸς εἰργασμένος ἔνδον [i] κατέλειπε,
44 ταῦθ' ὅπως οὗτος λήψεται παρεσκεύασεν; καὶ τῆς μὲν
ἐργασίας ἐφθόνησεν, ἧς οὐδὲν αἰσχρὸν ἦν μεταδοῦναι· τὴν
δὲ γυναῖκα ἔδωκεν, οὗ μεῖζον οὐδὲν ἂν [k] κατέλιπεν ὄνει-
δος; τυχών γε τῆς παρ' ὑμῶν δωρεᾶς, εἶτα ὥσπερ ἂν
δοῦλος δεσπότῃ διδοὺς, ἀλλ' οὐ τοὐναντίον, εἴπερ ἐδίδου,
δεσπότης οἰκέτῃ. προστιθεὶς προῖκα ὅσην οὐδεὶς τῶν ἐν τῇ
45 πόλει φαίνεται. καίτοι τούτῳ μὲν αὐτὸ τοῦτο ἀγαπητὸν
ἦν, [l] τὸ τῆς δεσποίνης ἀξιωθῆναι· τῷ πατρὶ δὲ οὐδὲ [m] λαμ-
βάνοντι τοσαῦτα χρήματα, ὅσα φασὶ διδόντα [n] οὗτοι, εὔ-
λογον ἦν πρᾶξαι ταῦτα. ἀλλ' ὅμως ἃ τοῖς εἰκόσι, τοῖς
χρόνοις, τοῖς πεπραγμένοις ἐξελέγχεται ψευδῆ, ταῦτα
μαρτυρεῖν οὐκ ὤκνησεν οὑτοσὶ Στέφανος.

46 Εἶτα λέγει περιιὼν ὡς ἐμαρτύρησε μὲν Νικοκλῆς ἐπι-
τροπεῦσαι κατὰ τὴν διαθήκην, ἐμαρτύρησε δὲ Πασικλῆς
ἐπιτροπευθῆναι κατὰ τὴν διαθήκην. ἐγὼ δὲ αὐτὰ ταῦτ'
οἶμαι τεκμήρια εἶναι τοῦ μήτ' ἐκείνους τἀληθῆ μήτε 1113

[c] ἕνεκα] Scribebatur εἵνεκα. [d] δὲ addidi ex S. Vid. p. 1111, 10. [e] παντελῶς hoc loco B.F.S.Q.; post ψευδῆ vulgo. In S. δηλοι παντελως. [f] ἂν addidit Schæferus. [g] ἐργάζεσθαι om. S. [h] ἔγραψεν] ἔδειξεν Q. [i] κατέλειπε] κατελιπε F.Q. et rec. S. [k] κατέλιπεν] κατελειπεν pr. S. κατελιπεν rec. S. [l] τὸ om. F. [m] λαμβάνοντι] λαμβανοντα S. [n] οὗτοι] οὗτοι S.

τούσδε μεμαρτυρηκέναι. ὁ γὰρ ἐπιτροπεῦσαι κατὰ δια-
θήκας μαρτυρῶν δῆλον ὅτι καθ᾽ ὁποίας ἂν εἰδείῃ, [o] καὶ ὁ
ἐπιτροπευθῆναι κατὰ διαθήκας μαρτυρῶν δῆλον ὅτι καθ᾽
47 ὁποίας ἂν εἰδείῃ. τί οὖν [p] μαθόντες ἐμαρτυρεῖτε ὑμεῖς ἐν
προκλήσει διαθήκας, ἀλλ᾽ οὐκ ἐκείνους εἰᾶτε; εἰ γὰρ αὖ
μὴ φήσουσιν εἰδέναι τὰ γεγραμμένα ἐν αὐταῖς, πῶς ὑμᾶς
οἷόν τ᾽ εἰδέναι τοὺς μηδαμῇ μηδαμῶς τοῦ πράγματος ἐγ-
γύς; τί ποτ᾽ οὖν οἱ μὲν ἐκεῖνα, οἱ δὲ ταῦτα ἐμαρτύρησαν;
ὅπερ εἴρηκα καὶ πρότερον, διείλοντο τἀδικήματα, καὶ
ἐπιτροπεῦσαι μὲν κατὰ διαθήκην οὐδὲν δεινὸν ἡγεῖτο μαρ-
τυρεῖν ὁ μαρτυρῶν, οὐδ᾽ ἐπιτροπευθῆναι κατὰ διαθήκην,
48 ἀφαιρῶν [q] ἑκάτερος τὸ μαρτυρεῖν τὰ ἐν ταῖς διαθήκαις
ὑπὸ τούτου γεγραμμένα, οὐδὲ καταλιπεῖν τὸν πατέρα
αὐτῷ ἐπιγεγραμμένον γραμματεῖον διαθήκην, οὐδὲ τὰ
τοιαῦτα· διαθήκας δὲ μαρτυρεῖν, ἐν αἷς χρημάτων τοσού-
των κλοπὴ, γυναικὸς διαφθορὰ, γάμοι δεσποίνης, πρά-
γματα αἰσχύνην καὶ ὕβριν τοσαύτην ἔχοντα, οὐδεὶς ἤθελε
πλὴν οὗτοι, πρόκλησιν κατασκευάσαντες, παρ᾽ ὧν δίκαιον
τῆς ὅλης τέχνης καὶ κακουργίας δίκην λαβεῖν.

49 Ἵνα τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, μὴ μόνον ἐξ ὧν ἐγὼ
κατηγορῶ καὶ ἐλέγχω δῆλος ὑμῖν γένηται τὰ ψευδῆ με-
μαρτυρηκὼς οὑτοσὶ Στέφανος, ἀλλὰ καὶ ἐξ ὧν πεποίηκεν
ὁ παρασχόμενος αὐτὸν, τὰ πεπραγμένα ἐκείνῳ βούλομαι
πρὸς ὑμᾶς εἰπεῖν. ὅπερ δ᾽ εἶπον [r] ἀρχόμενος τοῦ λόγου,
50 δείξω κατηγόρους γιγνομένους αὑτοὺς ἑαυτῶν. τὴν γὰρ
δίκην, ἐν ᾗ ταῦτα ἐμαρτυρήθη, παρεγράψατο Φορμίων
πρὸς ἐμὲ μὴ εἰσαγώγιμον εἶναι ὡς ἀφέντος ἐμοῦ τῶν ἐγ- 1114
κλημάτων αὐτόν. τοῦτο τοίνυν ἐγὼ μὲν οἶδα ψεῦδος ὂν,
καὶ ἐλέγξω [s] δὲ, ὅταν εἰσίω πρὸς τοὺς ταῦτα μεμαρτυρη-
κότας· τούτῳ δὲ οὐχ οἷόν τε τοῦτ᾽ εἰπεῖν. εἰ τοίνυν ἀληθῆ

[o] καὶ ὁ—εἰδείῃ addita ex B.F.Q. non habet S. [p] μαθόντες] παθόντες Wolfius. [q] ἑκάτερος τὸ Wolfius. ἑκάτερος τῶι S.Q. ἑκατέροις τῷ B.F. et vulgo. [r] ἀρχόμενος om. Q. [s] δὲ addidi ex S.

[t] πιστεύσαιτ' εἶναι τὴν ἄφεσιν, οὕτω καὶ μάλιστ' ἂν οὗτος φανείη ψευδῆ μεμαρτυρηκὼς καὶ κατεσκευασμένης
51 διαθήκης μάρτυς γεγονώς. τίς γὰρ οὕτως ἄφρων ὥστε ἄφεσιν μὲν ἐναντίον μαρτύρων ποιήσασθαι, τοῦ βεβαίαν αὐτῷ τὴν ἀπαλλαγὴν εἶναι, τὰς δὲ συνθήκας καὶ τὰς διαθήκας καὶ τἄλλα, ὑπὲρ ὧν ἐποιεῖτο τὴν ἄφεσιν, σεσημασμένα ἐᾶσαι καθ' αὑτοῦ κεῖσθαι; οὐκοῦν ἐναντία μὲν ἡ παραγραφὴ πᾶσι τοῖς μεμαρτυρημένοις, ἐναντία δὲ, ἣν ἀνέγνων ὑμῖν ἄρτι, [u] μίσθωσις, τῇδε τῇ διαθήκῃ· οὐδὲν δὲ τῶν πεπραγμένων οὔτ' εὔλογον οὔθ' ἁπλοῦν οὔθ' ὁμολογούμενον [x] αὐτὸ ἑαυτῷ φαίνεται. ἐκ δὲ τούτου τοῦ τρόπου πάντα πεπλασμένα καὶ κατεσκευασμένα ἐλέγχεται.

52 Ὡς μὲν τοίνυν ἐστὶν ἀληθῆ τὰ μεμαρτυρημένα, οὔτ' αὐτὸν τοῦτον οὔτ' ἄλλον ὑπὲρ τούτου δεῖξαι δυνήσεσθαι νομίζω. ἀκούω δ' αὐτὸν τοιοῦτόν τι παρεσκευάσθαι λέγειν, ὡς προκλήσεώς ἐστιν ὑπεύθυνος, οὐχὶ μαρτυρίας, καὶ δυοῖν αὐτῷ προσήκει δοῦναι λόγον, οὐ πάντων τῶν γεγραμμένων, εἴτε προὐκαλεῖτό με ταῦτα Φορμίων ἢ μὴ, καὶ εἰ μὴ ἐδεχόμην ἐγώ· ταῦτα μὲν γὰρ ἁπλῶς [y] αὐτὸς μεμαρτυρηκέναι φήσει, τὰ δ' ἄλλα ἐκεῖνον προκαλεῖσθαι, εἰ δ'
53 ἐστὶν ἢ μὴ ταῦτα, οὐδὲν [z] προσήκειν [a] αὐτῷ σκοπεῖν. πρὸς δὴ τὸν λόγον τοῦτον καὶ τὴν ἀναίδειαν [b] βέλτιόν ἐστι μικρὰ [c] προειπεῖν ὑμῖν, ἵνα μὴ λάθητε ἐξαπατηθέντες. πρῶτον μὲν, ὅταν ἐγχειρῇ λέγειν τοῦτο, ὡς ἄρα οὐ πάντων 1115
ὑπεύθυνός ἐστιν, ἐνθυμεῖσθε ὅτι διὰ ταῦτα ὁ νόμος μαρτυρεῖν ἐν γραμματείῳ κελεύει, ἵνα μήτ' ἀφελεῖν ἐξῇ μήτε προσθεῖναι τοῖς γεγραμμένοις μηδέν. τότ' οὖν αὐτὸν ἔδει ταῦτ' ἀπαλείφειν κελεύειν, ἃ νῦν οὔ [d] φησι μεμαρτυρη-
54 κέναι, οὐ νῦν ἐνόντων ἀναισχυντεῖν. ἔπειτα καὶ τόδε σκο-

[t] πιστεύσαιτ' S. πιστεύσετ' F.Q. [u] μίσθωσις S.Q. μίσθωσιν B. Legebatur μίσθωσιν. [x] αὐτὸ] αὐτῶι F.Q. [y] αὐτὸς] αὐτὸ B.S.Q. [z] προσήκειν αὐτῷ] αὐτῶι προσήκει F.Q. [a] αὐτῷ] αὐτὸν pr. S. [b] βέλτιόν S. βέλτιστόν vulgo. [c] προειπεῖν] προσειπειν F. [d] φησι] φησει pr. S.

πεῖτε, εἰ ἐάσαιτ' ἂν ἐναντίον ὑμῶν ἐμὲ προσγράψαι τι
λαβόντα τὸ γραμματεῖον. οὐ δήπου. οὔκουν οὐδὲ τοῦτον
ἀφαιρεῖν τῶν γεγραμμένων ἐᾶν προσήκει· τίς γὰρ ἁλώ-
σεται [e] ἔτι ποτὲ ψευδομαρτυριῶν, εἰ μαρτυρήσει τε ἃ βού-
55 λεται καὶ λόγον ὧν βούλεται δώσει; ἀλλ' οὐχ οὕτω.
ταῦτα οὔθ' ὁ νόμος διεῖλεν οὔθ' ὑμῖν ἀκούειν προσήκει·
ἀλλ' ἐκεῖνο ἁπλοῦν καὶ δίκαιον. τί γέγραπται; τί με-
μαρτύρηκας; ταῦθ' ὡς ἀληθῆ δείκνυε. καὶ γὰρ ἀντιγέ-
γραψαι ταῦτα "[f] ἀληθῆ μεμαρτύρηκα, μαρτυρήσας τὰ
"ἐν τῷ γραμματείῳ γεγραμμένα," οὐ τὸ καὶ τὸ τῶν ἐν
τῷ γραμματείῳ. ὅτι δ' οὕτω ταῦτ' ἔχει, λαβὲ τὴν ἀντι-
γραφὴν αὐτήν μοι. λέγε.

ΑΝΤΙΓΡΑΦΗ.

56 [g] Ἀπολλόδωρος Πασίωνος Ἀχαρνεὺς [h] Στεφάνῳ Μενεκλέους Ἀχαρνεῖ ψευδομαρτυριῶν, τίμημα τάλαντον. τὰ ψευδῆ μου κατεμαρτύρησε Στέφανος μαρτυρήσας τὰ ἐν τῷ γραμματείῳ γεγραμμένα.

[i] Στέφανος Μενεκλέους Ἀχαρνεὺς τἀληθῆ ἐμαρτύρησα μαρτυρήσας τὰ ἐν τῷ γραμματείῳ γεγραμμένα.

57 Ταῦτα οὗτος [k] αὐτὸς ἀντεγράψατο, ἃ χρὴ μνημονεύειν 1116
ὑμᾶς, καὶ μὴ [l] τοὺς ἐπ' ἐξαπάτῃ νῦν λόγους ὑπὸ [m] τούτου
ῥηθησομένους πιστοτέρους ποιεῖσθαι τῶν νόμων καὶ τῶν
ὑπὸ τούτου γραφέντων εἰς τὴν ἀντιγραφήν.

58 Πυνθάνομαι τοίνυν αὐτοὺς καὶ περὶ ὧν ἔλαχον τὴν ἐξ
ἀρχῆς δίκην, ἐρεῖν καὶ κατηγορήσειν, ὡς [n] συκοφαντήματα
ἦν. ἐγὼ δ' ὃν μὲν τρόπον ἐσκευωρήσατο τὴν μίσθωσιν,
ὅπως τὴν ἀφορμὴν τῆς τραπέζης [o] κατάσχοι, εἶπον καὶ
διεξῆλθον ὑμῖν, ὑπὲρ δὲ τῶν ἄλλων οὐκ ἂν οἷός τ' [p] εἴην

[e] ἔτι ποτὲ] Legebatur πώποτε. [f] ἀληθῆ μεμαρτύρηκα] ὡς ἀληθῆ μεμαρτύρηκα γρ. Q. [g] Utramque formulam om. S. [h] Στεφάνῳ Μενεκλέους Wolfius. στέφανος μενεκλεὺς libri. [i] Στέφανος Μενεκλέους Ἀχαρνεὺς Reiskius addidit. [k] αὐτὸς om. S. [l] τοὺς ἐπ' om. S. sed addidit in marg. librarius. ἐπ' om. F.Q. [m] τούτου] τουτ' ουν pr. S. [n] συκοφάντηματα S.Q. Legebatur συκοφάντημα. [o] κατάσχοι S. κατασχῇ vulgo. κατάσχῃ B. [p] εἴην] ἦν F.

λέγειν ἅμα καὶ τούτους ἐλέγχειν περὶ τῆς μαρτυρίας· οὐ
59 γὰρ ἱκανόν μοι τὸ ὕδωρ ἐστίν. ὅτι δ' οὐδ' ὑμεῖς ἐθέλοιτ'
ἂν εἰκότως ἀκούειν περὶ τούτων αὐτῶν, ἐκεῖθεν εἴσεσθε, ἂν
λογίσησθε πρὸς ὑμᾶς αὐτοὺς ὅτι οὔτε νῦν ἐστὶ χαλεπὸν
περὶ ὧν μὴ κατηγόρηται λέγειν, οὔτε ψευδεῖς ἀναγνόντα
μαρτυρίας ἀποφεύγειν. ἀλλ' οὐδέτερόν γε δίκαιον τού-
των οὐδ' ἂν εἷς φήσειεν εἶναι, ἀλλ' ὃ ἐγὼ προκαλοῦμαι
60 νῦν. σκοπεῖτε δὲ ἀκούσαντες. ἐγὼ γὰρ ἀξιῶ, οὓς μὲν
ἀφείλοντό με ἐλέγχους περὶ τῶν ἐγκλημάτων, οὓς προσ-
ῆκον ἦν ῥηθῆναι, μὴ ζητεῖν αὐτοὺς νῦν, αἷς δὲ ἀφείλοντο
μαρτυρίαις, ὡς εἰσὶν ἀληθεῖς, δεικνύναι. εἰ δ' ὅταν μὲν
τὴν δίκην εἰσίω, τὰς μαρτυρίας με ἐλέγχειν ἀξιώσουσιν,
ὅταν δὲ ταύταις ἐπεξίω, περὶ τῶν ἐξ ἀρχῆς ἐγκλημάτων
λέγειν με κελεύσουσιν, οὔτε δίκαια οὔτε [q] ὑμῖν συμφέροντα
61 ἐροῦσιν. δικάσειν γὰρ ὀμωμόκατε ὑμεῖς οὐ περὶ ὧν ἂν ὁ
φεύγων ἀξιοῖ, ἀλλ' ὑπὲρ αὐτῶν ὧν ἂν ἡ δίωξις ᾖ. ταύτην
δ' ἀνάγκη τῇ τοῦ διώκοντος λήξει δηλοῦσθαι, ἣν ἐγὼ
τούτῳ ψευδομαρτυριῶν εἴληχα. μὴ δὴ τοῦτ' ἀφεὶς περὶ 1117
ὧν οὐκ ἀγωνίζεται λεγέτω· μηδ' ὑμεῖς ἐᾶτε, ἐὰν ἄρα οὗτος
ἀναισχυντῇ.

62 Οἴομαι τοίνυν αὐτὸν οὐδὲν οὐδαμῇ δίκαιον ἔχοντα
λέγειν ἥξειν καὶ ἐπὶ τοῦτο, ὡς ἄτοπον ποιῶ, παραγρα-
φὴν ἡττημένος, τοὺς διαθήκην μαρτυρήσαντας διώκων, καὶ
τοὺς δικαστὰς τοὺς τότε [r] φήσειν διὰ τοὺς ἀφεῖναι με-
μαρτυρηκότας ἀποψηφίσασθαι μᾶλλον ἢ διὰ τοὺς διαθή-
63 κην μαρτυρήσαντας. ἐγὼ δ', ὦ ἄνδρες Ἀθηναῖοι, νομίζω
πάντας ὑμᾶς εἰδέναι ὅτι οὐχ ἧττον τὰ πεπραγμένα εἰώ-
θατε σκοπεῖν ἢ τὰς ὑπὲρ τούτων παραγραφάς· περὶ δὴ
τῶν πραγμάτων αὐτῶν τὰ ψευδῆ καταμαρτυρήσαντες
οὗτοί μου ἀσθενεῖς τοὺς περὶ τῆς [s] παραγραφῆς ἐποίησαν
64 λόγους. χωρὶς δὲ τούτων ἄτοπον, πάντων τὰ ψευδῆ μαρ-

[q] ὑμῖν] ἡμῖν pr. S. [r] φήσειν Reiskius. φήσει libri. [s] παραγραφῆς] γραφῆς F.

τυρησάντων, τίς μάλιστα ἔβλαψεν ἀποφαίνειν, ἀλλ' οὐχ ὡς αὐτὸς ἕκαστος [t]ἀληθῆ μεμαρτύρηκε δεικνύναι. οὐ γὰρ, ἂν ἕτερον δείξῃ δεινότερα εἰργασμένον, ἀποφεύγειν αὐτῷ προσήκει, ἀλλ' ἂν αὐτὸς ὡς [u]ἀληθῆ μεμαρτύρηκεν ἀποφήνῃ.

65 Ἐφ' ᾧ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, μάλιστ' ἀπολω-
λέναι δίκαιός ἐστιν οὑτοσὶ Στέφανος, τοῦτ' ἀκούσατέ μου.
δεινὸν μὲν γάρ ἐστιν εἰ καὶ καθ' ὅτου τις [x]οὖν τὰ ψευδῆ
μαρτυρεῖ, πολλῷ δὲ δεινότερον καὶ πλείονος ὀργῆς ἄξιον,
εἰ κατὰ τῶν συγγενῶν· οὐ γὰρ τοὺς γεγραμμένους νόμους
ὁ τοιοῦτος ἄνθρωπος [y]μόνον, ἀλλὰ καὶ τὰ τῆς φύσεως οἰ-
κεῖα ἀναιρεῖ. τοῦτο τοίνυν ἐπιδειχθήσεται πεποιηκὼς [z]οὑ-
66 τοσί. ἔστι γὰρ ἡ τούτου μήτηρ καὶ ὁ τῆς ἐμῆς γυναικὸς
πατὴρ ἀδελφοὶ, ὥστε τὴν μὲν γυναῖκα τὴν ἐμὴν ἀνεψιὰν
εἶναι τούτῳ, τοὺς δὲ παῖδας τοὺς [a]ἐκείνου καὶ τοὺς ἐμοὺς 1118
ἀνεψιαδοῦς. ἆρ' οὖν δοκεῖ ποτ' ἂν ὑμῖν οὗτος, εἴ τι δι' ἔν-
δειαν εἶδε ποιούσας ὧν οὐ χρὴ τὰς αὑτοῦ συγγενεῖς, ὅπερ
ἤδη πολλοὶ πεποιήκασι, παρ' αὑτοῦ προῖκα ἐπιδοὺς ἐκ-
67 δοῦναι, ὃς ὑπὲρ τοῦ μηδ' ἃ προσήκει κομίσασθαι ταύτας
τὰ ψευδῆ μαρτυρεῖν ἠθέλησε, καὶ περὶ πλείονος ἐποιήσατο
τὸν Φορμίωνος πλοῦτον ἢ τὰ τῆς συγγενείας ἀναγκαῖα;
ἀλλὰ μὴν ὅτι ταῦτ' ἀληθῆ λέγω, λαβέ [b]μοι τὴν μαρτυρίαν
τὴν Δεινίου καὶ ἀναγίγνωσκε, καὶ κάλει Δεινίαν.

68 ΜΑΡΤΥΡΙΑ.

[c]Δεινίας [d]Θεομνήστου Ἀθμονεὺς μαρτυρεῖ τὴν θυγατέρα αὑτοῦ ἐκδοῦναι Ἀπολλοδώρῳ κατὰ τοὺς νόμους γυναῖκα ἔχειν, καὶ μηδεπώποτε παραγενέσθαι, μηδὲ αἰσθέσθαι ὅτι Ἀπολλόδωρος ἀφῆκε τῶν ἐγκλημάτων ἁπάντων Φορμίωνα.

69 Ὅμοιός γε ὁ Δεινίας, ὦ ἄνδρες δικασταὶ, τούτῳ, ὃς ὑπὲρ τῆς θυγατρὸς καὶ τῶν θυγατριδῶν καὶ ἐμοῦ τοῦ κη-

[t] ἀληθῆ codices. τἀληθῆ vulgo. [u] ἀληθῆ] ἀληθῶς F. [x] οὖν τὰ additum ex B.F.S.Q. [y] μόνον] μόνος pr. S. [z] οὑτοσί] οὗτος S. [a] ἐκείνου] ἐκεινῆς (ου superscr.) S. (ου a m. recentissima.) ἐκείνης Q. [b] μοι om. S. [c] Testimonium om. S. [d] θεομνήστου Q. θεομνήτου F. Θεοδμήτου vulgo.

δεστοῦ διὰ τὴν συγγένειαν οὐδὲ τἀληθῆ μαρτυρεῖν ἐθέλει
κατὰ τούτου. ἀλλ' οὐχ [e] οὑτοσὶ Στέφανος. οὐκ ὤκνησε
καθ' ἡμῶν τὰ ψευδῆ μαρτυρεῖν, οὐδ', εἰ μηδένα τῶν ἄλ-
λων, τὴν αὑτοῦ μητέρα ᾐσχύνθη τοῖς ἀπ' ἐκείνης οἰκείοις
τῆς ἐσχάτης ἐνδείας αἴτιος γενόμενος.

70 Ὃ τοίνυν ἔπαθον δεινότατον καὶ ἐφ' ᾧ μάλιστα ἐξε-
πλάγην, ὅτ' ἠγωνιζόμην, ὦ ἄνδρες δικασταὶ, τοῦθ' ὑμῖν
εἰπεῖν βούλομαι· τήν τε γὰρ τούτου πονηρίαν ἔτι μᾶλλον
ὑμεῖς ὄψεσθε, καὶ ἐγὼ τῶν γεγενημένων ἀποδυράμενος τὰ
πλεῖστα πρὸς ὑμᾶς [f] ὥσπερ ῥᾴων ἔσομαι. τὴν γὰρ μαρ-
τυρίαν, ἣν ᾤμην εἶναι καὶ δι' ἧς ἦν ὁ πλεῖστος ἔλεγχός 1119
71 μοι, ταύτην οὐχ εὗρον ἐνοῦσαν ἐν τῷ ἐχίνῳ. τότε μὲν δὴ
τῷ κακῷ πληγεὶς οὐδὲν ἄλλο εἶχον ποιῆσαι πλὴν ὑπο-
λαμβάνειν τὴν ἀρχὴν ἠδικηκέναι με καὶ τὸν ἐχῖνον κεκι-
νηκέναι. νῦν δὲ ἀφ' ὧν ὕστερον πέπυσμαι, πρὸς αὐτῷ τῷ
διαιτητῇ Στέφανον τουτονὶ αὐτὴν ὑφῃρημένον εὑρίσκω, πρὸς
72 μαρτυρίαν τινὰ, ἵν' ἐξορκώσαιμι, ἀναστάντος ἐμοῦ. καὶ
ὅτι ταῦτ' ἀληθῆ λέγω, πρῶτον μὲν ὑμῖν μαρτυρήσουσι τῶν
τούτοις παρόντων οἱ ἰδόντες. οὐ γὰρ ἐξομνύναι ἐθελήσειν
αὐτοὺς οἴομαι. ἐὰν δ' ἄρα τοῦτο ποιήσωσιν ὑπ' ἀναιδείας,
πρόκλησιν ὑμῖν ἀναγνώσεται, ἐξ ἧς τούτους τ' ἐπιορκοῦν-
τας ἐπ' αὐτοφώρῳ λήψεσθε, καὶ τοῦτον ὁμοίως ὑφῃρη-
μένον τὴν μαρτυρίαν εἴσεσθε. καίτοι ὅστις, ὦ ἄνδρες Ἀθη-
ναῖοι, κακῶν ἀλλοτρίων κλέπτης ὑπέμεινεν ὀνομασθῆναι,
τί ἂν ἡγεῖσθε ποιῆσαι τοῦτον [g] ὑπὲρ αὑτοῦ; λέγε τὴν μαρ-
τυρίαν, εἶτα τὴν πρόκλησιν ταύτην.

73 ΜΑΡΤΥΡΙΑ.

[h] Μαρτυροῦσι φίλοι εἶναι καὶ ἐπιτήδειοι Φορμίωνι, καὶ παρεῖναι πρὸς τῷ διαιτητῇ Τισίᾳ, ὅτε ἦν [i] ἀπόφασις τῆς διαίτης Ἀπολλοδώρῳ πρὸς Φορμίωνα, καὶ εἰδέναι τὴν μαρτυρίαν ὑφῃρημένον Στέφανον, ἣν αἰτιᾶται αὐτὸν Ἀπολλόδωρος ὑφελέσθαι.

e οὑτοσὶ] οὑτωσὶ F. f ὥσπερ ῥᾴων] ὡσπερεὶ ῥᾷον S.Q. ῥάων correctus S. g ὑπὲρ αὑτοῦ γρ. F.Q. ἄλλου του F.S.Q. h Hoc et proximum testimonium om. S. i ἀπόφασις B.F. Legebatur ἀπόφανσις.

[k] Ἢ μαρτυρεῖτε, ἢ ἐξομόσασθε.

ΕΞΩΜΟΣΙΑ.

74 Οὐκ ἄδηλον ἦν, ὦ ἄνδρες δικασταὶ, ὅτι τοῦτο [l] ἔμελλον ποιήσειν, προθύμως ἐξομεῖσθαι. ἵνα τοίνυν παραχρῆμα ἐξελεγχθῶσιν ἐπιωρκηκότες, λαβέ μοι ταύτην τὴν μαρτυρίαν καὶ τὴν πρόκλησιν. ἀναγίγνωσκε.

75 ΜΑΡΤΥΡΙΑ. ΠΡΟΚΛΗΣΙΣ. 1120

Μαρτυροῦσι παρεῖναι, ὅτε Ἀπολλόδωρος προὐκαλεῖτο Στέφανον παραδοῦναι τὸν παῖδα τὸν ἀκόλουθον εἰς βάσανον περὶ τῆς ὑφαιρέσεως τοῦ γραμματείου, καὶ γράμματα ἦν ἕτοιμος γράφειν Ἀπολλόδωρος, καθ' ὅ τι ἔσται ἡ βάσανος. ταῦτα δὲ προκαλουμένου Ἀπολλοδώρου οὐκ ἐθελῆσαι παραδοῦναι Στέφανον, ἀλλὰ [m] ἀποκρίνασθαι Ἀπολλοδώρῳ δικάζεσθαι, εἰ βούλοιτο, εἴ τί φησιν ἀδικεῖσθαι ὑφ' ἑαυτοῦ.

76 Τίς ἂν οὖν ὑπὲρ τοιαύτης αἰτίας, ὦ ἄνδρες δικασταὶ, εἴπερ ἐπίστευεν αὑτῷ, [n] οὐκ ἐδέξατο τὴν βάσανον; οὐκοῦν τῷ φεύγειν τὴν βάσανον ὑφῃρημένος ἐξελέγχεται. ἆρ' οὖν ἂν ὑμῖν αἰσχυνθῆναι [o] δοκεῖ τὴν τοῦ τὰ ψευδῆ μαρτυρεῖν δόξαν ὁ τὴν τοῦ κλέπτης φανῆναι μὴ φυγών; ἢ δεηθέντος [p] ὀκνῆσαι τὰ ψευδῆ μαρτυρεῖν, ὃς ἃ μηδεὶς [q] ἐκέλευεν ἐθελοντὴς πονηρὸς [r] ἦν;

77 Δικαίως τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, τούτων ἁπάντων [s] δοὺς δίκην, πολὺ μᾶλλον ἂν εἰκότως διὰ τἄλλα κολασθείη παρ' ὑμῖν. σκοπεῖτε δὲ, τὸν βίον ὃν βεβίωκεν ἐξετάζοντες. οὗτος γὰρ, ἡνίκα [t] μὲν συνέβαινεν εὐτυχεῖν Ἀριστολόχῳ τῷ τραπεζίτῃ, ἴσα βαίνων ἐβάδιζεν ὑποπεπτωκὼς ἐκείνῳ, καὶ ταῦτα ἴσασι πολλοὶ τῶν ἐνθάδ' ὄντων ὑμῶν. ἐπειδὴ δ' ἀπώλετ' ἐκεῖνος καὶ τῶν ὄντων ἐξέστη, οὐχ ἥκιστα ὑπὸ τούτου καὶ τῶν τοιούτων διαφορη-
78 θεὶς, τῷ μὲν υἱεῖ τῷ τούτου πολλῶν πραγμάτων ὄντων οὐ

[k] Ἢ] ἤμεν (ει superscr.) S. (ει ab alia m.) ἤμεν γρ. F. [l] ἔμελλον] ἔμελλον οὗτοι γρ. Q. [m] ἀποκρίνασθαι] ὑποκρίνασθαι F.Q. [n] οὐκ] οὐκ ἂν F.Q. [o] δοκεῖ] δοκῇ F. [p] ὀκνῆσαι S. Legebatur του ὀκνῆσαι ἄν. [q] ἐκέλευεν] ἐκέλευσεν S. [r] ἦν] εἶναι pr. S. [s] δοὺς S. Legebatur δοὺς ἄν. [t] μὲν om. F.

παρέστη πώποτε οὐδ' ἐβοήθησεν, ἀλλ' Ἀπόληξις καὶ
Σόλων καὶ πάντες ἄνθρωποι μᾶλλον βοηθοῦσι· Φορμίωνα
δὲ πάλιν [u] ἑόρακε, καὶ [x] τούτῳ γέγονεν οἰκεῖος, ἐξ Ἀθη-
ναίων ἁπάντων τοῦτον ἐκλεξάμενος, καὶ ὑπὲρ τούτου 1121
πρεσβευτὴς μὲν ᾤχετο εἰς Βυζάντιον πλέων, ἡνίκα ἐκεῖνοι
τὰ πλοῖα [y] τὰ τούτου κατέσχον, τὴν δὲ δίκην [z] ἔλεγε τὴν
πρὸς Καλχηδονίους, τὰ ψευδῆ δ' ἐμοῦ φανερῶς οὕτω
79 καταμεμαρτύρηκεν. εἶθ' ὃς εὐτυχούντων ἐστὶ κόλαξ, κἂν
ἀτυχῶσι, τῶν αὐτῶν τούτων προδότης, καὶ τῶν μὲν ἄλ-
λων πολιτῶν πολλῶν καὶ καλῶν κἀγαθῶν ὄντων μηδενὶ
μηδ' ἐξ ἴσου χρῆται, τοῖς δὲ τοιούτοις ἐθελοντὴς ὑπο-
πίπτει, καὶ [a] μήτ' εἴ τινα τῶν οἰκείων ἀδικήσει μήτ' εἰ
παρὰ τοῖς ἄλλοις φαύλην δόξαν ἕξει ταῦτα ποιῶν [b] μήτ'
ἄλλο μηδὲν [c] σκοπεῖ, πλὴν [d] ὅπως [e] τι πλέον ἕξει, τοῦτον οὐ
μισεῖν ὡς κοινὸν ἐχθρὸν τῆς φύσεως ὅλης τῆς ἀνθρωπίνης
80 προσήκει; ἔγωγ' ἂν φαίην. ταῦτα μέντοι τὰ τοσαύτην
ἔχοντα αἰσχύνην, ὦ ἄνδρες Ἀθηναῖοι, ἐπὶ τῷ τὴν πόλιν
[f] φεύγειν καὶ τὰ [g] ὄντα ἀποκρύπτεσθαι προῄρηται πράτ-
τειν, ἵν' ἐργασίας ἀφανεῖς διὰ τῆς τραπέζης ποιῆται καὶ
μήτε χορηγῇ μήτε τριηραρχῇ μήτ' ἄλλο μηδὲν ὧν προσή-
81 κει ποιῇ. καὶ κατείργασται τοῦτο. τεκμήριον δέ· ἔχων
γὰρ οὐσίαν τοσαύτην ὥστε ἑκατὸν μνᾶς ἐπιδοῦναι τῇ θυ-
γατρὶ, οὐδ' ἡντινοῦν [h] ἑώραται λειτουργίαν ὑφ' ὑμῶν λει-
τουργῶν, οὐδὲ τὴν ἐλαχίστην. καίτοι πόσῳ κάλλιον φι-
λοτιμούμενον ἐξετάζεσθαι καὶ προθυμούμενον εἰς ἃ δεῖ τῇ
πόλει, ἢ κολακεύοντα καὶ τὰ ψευδῆ μαρτυροῦντα; ἀλλ'
82 ἐπὶ τῷ κερδαίνειν πᾶν ἂν οὗτος ποιήσειεν. καὶ μὴν, ὦ
ἄνδρες Ἀθηναῖοι, μᾶλλον ἄξιον ὀργίλως ἔχειν τοῖς μετ'

[u] ἑόρακε] Scribebatur ἑώρακε. [x] τούτῳ] τούτων Q. [y] τὰ additum ex S. [z] ἔλεγε] ἔλεγον S. [a] μήτ' εἴ τινα] μὴ τινα S. [b] μήτ' ἄλλο S. μὴ ἄλλο F.Q. [c] σκοπεῖ] σκοπεῖν Q. [d] ὅπως] Post ο literæ duæ erasæ in S. Videtur ὅτι fuisse. [e] τι addidi ex S. [f] φεύγειν] φυγειν S. (ε superscr.) ε a pr. m. [g] ὄντα] χρήματα S. [h] ἑώραται λειτουργίαν] λειτουργίαν ἑώραται F., non S.

εὐπορίας πονηροῖς ἢ τοῖς μετ᾽ ἐνδείας. τοῖς μὲν γὰρ ἡ τῆς 1122
[i]ἀνάγκης χρεία φέρει τινὰ συγγνώμην παρὰ τοῖς ἀνθρω-
πίνως λογιζομένοις· οἱ δ᾽ ἐκ περιουσίας, ὥσπερ οὗτος,
83 πονηροὶ οὐδεμίαν πρόφασιν δικαίαν ἔχοιεν ἂν εἰπεῖν, ἀλλ᾽
[k]αἰσχροκερδείᾳ καὶ πλεονεξίᾳ καὶ ὕβρει καὶ τῷ τὰς αὐ-
τῶν συστάσεις κυριωτέρας τῶν νόμων ἀξιοῦν εἶναι ταῦτα
φανήσονται πράττοντες. ὑμῖν δὲ οὐδὲν τούτων συμφέρει,
ἀλλὰ τὸν ἀσθενῆ παρὰ τοῦ πλουσίου δίκην, ἂν ἀδικῆται,
δύνασθαι λαβεῖν. ἔσται δὲ τοῦτο, ἐὰν κολάζητε τοὺς φα-
νερῶς οὕτως ἐξ εὐπορίας πονηρούς.
84 Οὐ τοίνυν οὐδ᾽ ἃ πέπλασται καὶ βαδίζει οὗτος παρὰ
τοὺς [l]τοίχους ἐσκυθρωπακὼς, σωφροσύνης ἄν τις ἡγήσαι-
το [m]εἰκότως εἶναι σημεῖα, ἀλλὰ μισανθρωπίας. ἐγὼ
γὰρ, ὅστις αὐτῷ μηδενὸς συμβεβηκότος δεινοῦ μηδὲ τῶν
ἀναγκαίων σπανίζων ἐν ταύτῃ τῇ σχέσει διάγει τὸν βίον,
τοῦτον ἡγοῦμαι [n]συνεορακέναι καὶ λελογίσθαι παρ᾽ αὑτῷ
85 ὅτι τοῖς μὲν ἁπλῶς, ὡς πεφύκασι, βαδίζουσι καὶ φαι-
δροῖς καὶ προσέλθοι τις ἂν καὶ δεηθείη καὶ [o]ἐπαγγεί-
λειεν οὐδὲν ὀκνῶν, τοῖς δὲ πεπλασμένοις καὶ σκυθρωποῖς
[p]ὀκνήσειέ τις ἂν προσελθεῖν πρῶτον. οὐδὲν οὖν ἄλλο ἢ
πρόβλημα τοῦ τρόπου τὸ σχῆμα τοῦτ᾽ ἔστι, καὶ τὸ τῆς
86 διανοίας ἄγριον καὶ πικρὸν ἐνταῦθα δηλοῖ. σημεῖον δέ·
τοσούτων γὰρ ὄντων τὸ πλῆθος [q]Ἀθηναίων, πράττων πολὺ
βέλτιον ἢ σὲ προσῆκον ἦν, τῷ πώποτε εἰσήνεγκας, ἢ τίνι
συμβέβλησαί πω, [r]ἢ τίνα εὖ πεποίηκας; [s]οὐδέν᾽ ἂν
εἰπεῖν ἔχοις· ἀλλὰ τοκίζων καὶ τὰς τῶν ἄλλων συμφο-
ρὰς καὶ χρείας εὐτυχήματα σαυτοῦ νομίζων ἐξέβαλες
μὲν τὸν σαυτοῦ θεῖον Νικίαν ἐκ τῆς πατρῴας οἰκίας, 1123

[i] ἀνάγκης χρεία S. et Stobæus Flor. 46, 72. Legebatur χρείας ἀνάγκη. [k] αἰσχροκερδείᾳ] αἰσχροκερδίᾳ pr. S. [l] τοίχους] τύχους Q. [m] εἰκότως ante ἄν F.Q. [n] συνεορακέναι] Scribebatur συνεωρακέναι. [o] ἐπαγγείλειεν Wolfius. ἀπαγγείλειεν libri. [p] ὀκνήσειέ τις ἂν] Legebatur ὀκνήσειεν ἄν τις. οκνησει τις ἂν S. [q] Ἀθηναίων codices. τῶν Ἀθηναίων vulgo. [r] ἢ τίνα εὖ πεποίηκας om. S. [s] οὐδέν᾽] οὐδὲν F.

ἀφῄρησαι δὲ τὴν σαυτοῦ πενθερὰν ταῦτα ἀφ᾽ ὧν ἔζη. ἀοί-
κητον δὲ [t] τὸν Ἀρχεδήμου παῖδα τὸ σαυτοῦ μέρος πε-
87 ποίηκας. οὐδεὶς δὲ πώποτε οὕτω πικρῶς οὐδ᾽ ὑπερήμερον
εἰσέπραξεν, ὡς σὺ τοὺς ὀφείλοντας τοὺς τόκους. εἶτα ὃν
ὁρᾶτε ἐπὶ πάντων οὕτως ἄγριον καὶ μιαρὸν, τοῦτον ὑμεῖς
ἠδικηκότα ἐπ᾽ αὐτοφώρῳ λαβόντες οὐ τιμωρήσεσθε;
δεινὰ ἄρα, ὦ ἄνδρες δικασταὶ, ποιήσετε καὶ οὐχὶ δίκαια.
88 Ἄξιον τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ Φορμίωνι τῷ
παρασχομένῳ τουτονὶ νεμεσῆσαι τοῖς πεπραγμένοις, τὴν
ἀναίδειαν τοῦ τρόπου καὶ τὴν [u] ἀχαριστίαν ἰδόντας. οἶμαι
γὰρ ἅπαντας ὑμᾶς εἰδέναι ὅτι τοῦτον, ἡνίκ᾽ ὤνιος ἦν, εἰ
συνέβη μάγειρον ἢ τινος ἄλλης τέχνης δημιουργὸν πρία-
σθαι, τὴν τοῦ δεσπότου τέχνην ἂν μαθὼν πόρρω τῶν νῦν
89 παρόντων ἦν ἀγαθῶν. ἐπειδὴ δὲ ὁ πατὴρ ὁ ἡμέτερος τρα-
πεζίτης ὢν ἐκτήσατ᾽ αὐτὸν καὶ γράμματα ἐπαίδευσε
καὶ τὴν τέχνην ἐδίδαξε καὶ χρημάτων ἐποίησε κύριον
πολλῶν, εὐδαίμων γέγονε, τὴν τύχην, [x] ᾗ πρὸς ἡμᾶς
ἀφίκετο, ἀρχὴν λαβὼν πάσης τῆς νῦν παρούσης εὐδαι-
90 μονίας. οὔκουν δεινὸν, ὦ γῆ καὶ θεοὶ, καὶ [y] πέρα δεινοῦ,
τοὺς Ἕλληνα μὲν ἀντὶ βαρβάρου ποιήσαντας, γνώριμον
δ᾽ ἀντ᾽ ἀνδραπόδου, [z] τοσούτων ἀγαθῶν [a] ἡγεμόνας, τού-
τους περιορᾶν ἐν ταῖς ἐσχάταις ἀπορίαις ὄντας ἔχοντα
καὶ πλουτοῦντα, καὶ εἰς τοῦθ᾽ ἥκειν ἀναιδείας ὥστε, ἧς
παρ᾽ ἡμῶν τύχης μετέσχε, ταύτης ἡμῖν μὴ τολμᾶν μετα-
91 δοῦναι. ἀλλ᾽ αὐτὸς μὲν οὐκ ὤκνησε τὴν δέσποιναν γῆμαι,
καὶ ᾗ τὰ καταχύσματα αὐτοῦ κατέχεε τόθ᾽ ἡνίκα ἐωνή- 1124
θη, ταύτῃ [b] συνοικεῖν, οὐδὲ προῖκα πέντε τάλαντα αὐτῷ
γράψαι, χωρὶς ὧν οὔσης τῆς μητρὸς κυρίας οὗτος ἐγ-
κρατὴς γέγονε πολλῶν χρημάτων (τί γὰρ αὐτὸν οἴεσθε
εἰς τὰς διαθήκας ἐγγράψαι "καὶ τἄλλα, ὅσα ἐστὶν.

[t] τὸν] τοῦ Q. [u] ἀχαριστίαν] ἀχαριστείαν S. ι a m. antiqua. [x] ᾗ] ἣ F. [y] πέρα] πατέρα Q. [z] τοσούτων S. Legebatur τοσούτων δ᾽. [a] ἡγεμόνας Reiskius. ἡγεμόνα libri. [b] συνοικεῖν] συνοικει S.

“Ἀρχίππῃ δίδωμι;”) τὰς δ' ἡμετέρας θυγατέρας μελ-
λούσας δι' ἔνδειαν ἀνεκδότους ἔνδον γηράσκειν περιορᾷ.
92 καὶ εἰ μὲν πένης οὗτος ἦν, ἡμεῖς δ' εὐποροῦντες ἐτυγχά-
νομεν, καὶ συνέβη τι παθεῖν, οἷα πολλά, ἐμοί, οἱ παῖδες
ἂν οἱ τούτου τῶν ἐμῶν θυγατέρων [c] ἐδικάζοντο, οἱ τοῦ δού-
λου τῶν τοῦ δεσπότου· θεῖοι γάρ εἰσιν αὐταῖς διὰ τὸ τὴν
μητέρα τὴν ἐμὴν τοῦτον λαβεῖν· ἐπειδὴ δὲ ἀπόρως ἡμεῖς
ἔχομεν, τηνικαῦτα οὐ συνεκδώσει ταύτας, ἀλλὰ λέγει
93 καὶ λογίζεται τὸ πλῆθος ὧν ἐγὼ χρημάτων ἔχω. καὶ
γὰρ τοῦτο ἀτοπώτατον πάντων. ὧν μὲν ἀπεστέρηκεν
ἡμᾶς χρημάτων, οὐδέπω καὶ τήμερον ἠθέλησεν ὑποσχεῖν
[d] τὸν λόγον, ἀλλὰ [e] μὴ εἰσαγωγίμους εἶναι τὰς δίκας
παραγράφεται· [f] ἃ δὲ τῶν πατρῴων ἐνειμάμην ἐγώ,
ταῦτα λογίζεται. καὶ τοὺς μὲν ἄλλους ἄν τις ἴδοι τοὺς
οἰκέτας ὑπὸ τῶν δεσποτῶν ἐξεταζομένους· οὗτος δ' αὖ
τοὐναντίον τὸν δεσπότην ὁ δοῦλος ἐξετάζει, ὡς δῆτα
94 πονηρὸν καὶ ἄσωτον ἐκ τούτων ἐπιδείξων. ἐγὼ δ', ὦ ἄν-
δρες Ἀθηναῖοι, τῆς μὲν ὄψεως τῇ φύσει καὶ τῷ ταχέως
βαδίζειν καὶ λαλεῖν μέγα οὐ τῶν εὐτυχῶς πεφυκότων
ἐμαυτὸν κρίνω· ἐφ' οἷς γὰρ οὐδὲν ὠφελούμενος λυπῶ
τινάς, ἔλαττον ἔχω πολλαχοῦ· τῷ μέντοι μέτριος κατὰ
πάσας τὰς εἰς ἐμαυτὸν δαπάνας εἶναι πολὺ τούτου καὶ
95 τοιούτων ἑτέρων εὐτακτότερον ζῶν ἂν φανείην. τὰ δ' εἰς
τὴν πόλιν καὶ ὅσα εἰς ὑμᾶς, ὡς δύναμαι λαμπρότατα,
[g] ὡς ὑμεῖς σύνιστε, ποιῶ· οὐ γὰρ ἀγνοῶ τοῦθ', ὅτι τοῖς
μὲν γένει πολίταις ὑμῖν ἱκανόν ἐστι λειτουργεῖν ὡς οἱ
νόμοι προστάττουσι, τοὺς δὲ ποιητοὺς ἡμᾶς, ὡς ἀποδι-
δόντας χάριν, οὕτω προσήκει φαίνεσθαι λειτουργοῦντας.
μὴ οὖν μοι ταῦτ' ὀνείδιζε, ἐφ' οἷς ἐπαίνου τύχοιμ' ἂν δι-
96 καίως, ἀλλὰ τίνα, ὦ Φορμίων, τῶν πολιτῶν ἑταιρεῖν,

[c] ἐδικάζοντο] πε adscriptum in marg. S. a m. pr. Hoc est ἐπεδικάζοντο.
[d] τὸν λόγον om. S. [e] μὴ] μηδ' F.Q. [f] ἃ] οὐ Q. [g] ὡς ὑμεῖς] καὶ ὡς ὑμεῖς F.Q.

ὥσπερ σὺ, μεμίσθωμαι; δεῖξον. τίνα τῆς πόλεως, ἧς
αὐτὸς ἠξιώθην, καὶ τῆς ἐν αὐτῇ παρρησίας ἀπεστέρηκα,
ὥσπερ σὺ τοῦτον ὃν κατῄσχυνας; τίνος γυναῖκα διέφ-
θαρκα, ὥσπερ σὺ πρὸς πολλαῖς ἄλλαις ταύτην, ᾗ τὸ
μνῆμα ᾠκοδόμησεν ὁ θεοῖς ἐχθρὸς οὗτος πλησίον τοῦ τῆς
δεσποίνης, ἀνηλωκὼς πλέον ἢ τάλαντα δύο; καὶ οὐκ
ᾐσθάνετο ὅτι οὐχὶ τοῦ τάφου μνημεῖον ἔσται τὸ οἰκοδόμη-
μα τοιοῦτον ὄν, ἀλλὰ τῆς ἀδικίας ἧς τὸν ἄνδρα ἠδίκηκεν
97 ἐκείνη διὰ τοῦτον. εἶτα τοιαῦτα ποιῶν καὶ τηλικαύτας
μαρτυρίας ἐξενηνοχὼς τῆς ὕβρεως τῆς σαυτοῦ σὺ τὸν
[h]ἄλλου του βίον ἐξετάζειν τολμᾷς; μεθ' ἡμέραν εἶ σὺ
σώφρων, τὴν δὲ νύκτα, ἐφ' οἷς θάνατος ἡ ζημία, ταῦτα
ποιεῖς. πονηρὸς, ὦ ἄνδρες Ἀθηναῖοι, πονηρὸς οὗτος ἄνω-
θεν ἐκ τοῦ ἀνακείου [i]κἄδικος. σημεῖον δέ· εἰ γὰρ ἦν
δίκαιος, πένης ἂν ἦν τὰ τοῦ δεσπότου διοικήσας. νῦν δὲ
τοσούτων χρημάτων τὸ πλῆθος κύριος καταστὰς, ὥστε
τοσαῦτα λαθεῖν ἀπ' αὐτῶν κλέψας ὅσα νῦν κέκτηται,
98 οὐκ ὀφείλειν ταῦτα, ἀλλὰ πατρῷα ἔχειν ἡγεῖται. καίτοι
πρὸς θεῶν, εἰ κλέπτην σε ἀπῆγον ὡς ἐπ' αὐτοφώρῳ εἰλη- 1126
φὼς, τὴν οὐσίαν ἣν ἔχεις, εἴ πως οἷόν τ' ἦν, ἐπιθείς σοι,
εἶτά σε ἠξίουν, εἰ μὴ φῂς ὑφῃρημένος ταῦτ' ἔχειν, ἀνά-
γειν ὅθεν εἴληφας, [k]εἰς τίνα ἂν αὐτὰ ἀνήγαγες; οὔτε
γάρ σοι πατὴρ παρέδωκεν, οὔθ' εὗρες, οὔτε λαβὼν ποθεν
99 ἄλλοθεν ἦλθες ὡς ἡμᾶς· βάρβαρος γὰρ ἐωνήθης. εἶθ' ᾧ
δημοσίᾳ προσῆκεν ἐπὶ τοῖς εἰργασμένοις τεθνάναι, σὺ, τὸ
σῶμα σεσωκὼς καὶ πόλιν ἐκ τῶν ἡμετέρων σαυτῷ κτη-
σάμενος καὶ παῖδας ἀδελφοὺς τοῖς [l]σεαυτοῦ δεσπόταις
ἀξιωθεὶς ποιήσασθαι, παρεγράψω μὴ εἰσαγώγιμον εἶναι
100 τὴν δίκην τῶν ἐγκαλουμένων χρημάτων ὑφ' ἡμῶν; εἶτα
κακῶς ἡμᾶς ἔλεγες, καὶ τὸν ἡμέτερον πατέρα ἐξήταζες
ὅστις ἦν; ἐφ' οἷς τίς οὐκ ἄν, ὦ ἄνδρες Ἀθηναῖοι, χαλε-

[h] ἄλλου του S. et γρ. Q. ἄλλου F.Q. [i] κἄδικος Bekkerus. καιδικος S. καὶ ἄδικος vulgo. [k] εἰς] ἐς S. [l] σεαυτοῦ] ἑαυτοῦ F.

πῶς ἤνεγκεν; ἐγὼ γάρ, εἰ πάντων τῶν ἄλλων ὑμῶν ἔλαττον προσήκει μοι φρονεῖν, τούτου γε μεῖζον, οἶμαι, καὶ τούτῳ γε εἰ μηδενὸς τῶν ἄλλων ἔλαττον, ἐμοῦ γε ἔλαττον· ὄντων γὰρ ἡμῶν τοιούτων, ὁποίους τινὰς ἂν καὶ σὺ κατασκευάσῃς τῷ λόγῳ, σὺ δοῦλος ἦσθα.

101 Τάχα τοίνυν ἂν ἴσως καὶ τοῦτό τις αὐτῶν εἴποι, ὡς ἀδελφὸς ὢν ἐμὸς Πασικλῆς οὐδὲν ἐγκαλεῖ τῶν αὐτῶν τούτῳ πραγμάτων. ἐγὼ δ', ὦ ἄνδρες Ἀθηναῖοι, καὶ περὶ Πασικλέους, παραιτησάμενος καὶ δεηθεὶς ὑμῶν συγγνώμην ἔχειν, εἰ προεληλυθὼς εἰς τοῦτο ὥστε ὑπὸ τῶν ἐμαυτοῦ δούλων ὑβρισθεὶς οὐ δύναμαι κατασχεῖν, ἃ τέως οὐδὲ τῶν ἄλλων λεγόντων ἀκούειν ἐδόκουν, ἐρῶ καὶ οὐ
102 σιωπήσομαι. ἐγὼ γὰρ ὁμομήτριον μὲν ἀδελφὸν ἐμαυτοῦ Πασικλέα νομίζω, ὁμοπάτριον δ' οὐκ οἶδα, δέδοικα μέντοι μὴ τῶν Φορμίωνος [m] ἁμαρτημάτων εἰς ἡμᾶς ἀρχὴ 1127
Πασικλῆς ᾖ. ὅταν γὰρ τῷ δούλῳ συνδικῇ τὸν ἀδελφὸν ἀτιμῶν, καὶ παραπεπτωκὼς θαυμάζῃ τούτους ὑφ' ὧν αὐτῷ θαυμάζεσθαι προσῆκε, τίν' ἔχει δικαίαν ταῦθ' ὑποψίαν; ἄνελε οὖν ἐκ μέσου μοι Πασικλέα, καὶ σὸς μὲν υἱὸς ἀντὶ δεσπότου καλείσθω, ἐμὸς δὲ ἀντίδικος (βούλεται γὰρ) ἀντ' ἀδελφοῦ.

103 Ἐγὼ δὲ τούτῳ μὲν χαίρειν λέγω, οὓς δ' ὁ πατήρ μοι παρέδωκε βοηθοὺς καὶ φίλους, εἰς τούτους ἥκω, εἰς ὑμᾶς, ὦ ἄνδρες δικασταί. καὶ δέομαι καὶ ἀντιβολῶ καὶ ἱκετεύω, μὴ ὑπερίδητέ με καὶ τὰς θυγατέρας δι' ἔνδειαν τοῖς ἐμαυτοῦ δούλοις καὶ τοῖς τούτου κόλαξιν ἐπίχαρτον
104 γενόμενον. ὁ ἐμὸς ὑμῖν πατὴρ χιλίας ἔδωκεν ἀσπίδας, καὶ [n] πολλὰ χρήσιμον αὐτὸν παρέσχε, καὶ πέντε τριήρεις ἐθελοντὴς ἐπιδοὺς καὶ παρ' αὑτοῦ πληρώσας ἐτριηράρχησε τριηραρχίας. καὶ ταῦτα, οὐκ ὀφείλειν ὑμᾶς νομίζων χάριν ἡμῖν, ὑπομιμνήσκω· ἡμεῖς γὰρ ὀφείλομεν ὑμῖν·

[m] ἁμαρτημάτων] ἀδικημάτων marg. Q. [n] πολλὰ] πολλὰ ἄλλα γρ. Q.

ἀλλ' ἵνα μὴ λάθω τι παθὼν τούτων ἀνάξιον· οὐδὲ γὰρ ὑμῖν ἂν γένοιτο καλόν.

105 Πολλὰ δ' ἔχων εἰπεῖν περὶ ὧν ὕβρισμαι, οὐχ ἱκανὸν ὂν τὸ ὕδωρ ὁρῶ μοι. ὡς οὖν μάλιστ' ἂν ἅπαντας ὑμᾶς ἡγοῦμαι γνῶναι τὴν ὑπερβολὴν ὧν ἠδικήμεθ' ἡμεῖς, φράσω· εἰ σκέψαιτο πρὸς ἑαυτὸν ἕκαστος ὑμῶν, τίν' οἴκοι κατέλιπεν οἰκέτην, εἶθ' ὑπὸ τούτου πεπονθόθ' ἑαυτὸν θείη ταῦθ' ἅπερ ἡμεῖς ὑπὸ τούτου. μὴ γὰρ εἰ Σύρος ἢ Μάνης ἤ τις ἕκαστος ἐκείνων, οὗτος δὲ Φορμίων· ἀλλὰ τὸ πρᾶγμα τὸ αὐτό· δοῦλοι μὲν ἐκεῖνοι, δοῦλος δ' οὗτος ἦν,
106 δεσπόται δ' ὑμεῖς, δεσπότης δ' ἦν ἐγώ. ἣν [o] τοίνυν ὑμῶν ἂν ἕκαστος δίκην ἀξιώσειε λαβεῖν, ταύτην νομίζετε [p] κἀ-
μοὶ προσήκειν νῦν· καὶ τὸν ἀφῃρημένον τῷ μαρτυρῆσαι 1128
τὰ ψευδῆ καὶ ὑπὲρ τῶν νόμων καὶ ὑπὲρ τῶν ὅρκων, οὓς ὀμωμοκότες δικάζετε, τιμωρήσασθε καὶ παράδειγμα ποιήσατε τοῖς ἄλλοις, μνημονεύοντες πάντα ὅσα ἀκηκόατε ἡμῶν, καὶ φυλάττοντες, ἐὰν παράγειν ἐπιχειρῶσιν ὑμᾶς, [q] καὶ πρὸς ἕκαστον ἀπαντῶντες, ἐὰν μὴ φῶσιν ἅπαντα μεμαρτυρηκέναι, "τί οὖν ἐν τῷ γραμματείῳ "γέγραπται; [r] τί οὖν οὐ τότε ἀπηλείφου; [s] τίς ἡ παρὰ
107 "τοῖς ἄρχουσιν ἀντιγραφή;" [t] ἐὰν μεμαρτυρηκέναι τὸν μὲν ἐπιτροπευθῆναι κατὰ διαθήκας, τὸν δ' ἐπιτροπεῦσαι, τὸν δ' ἔχειν, ποίας; ἐν αἷς τί γέγραπται; ταῦτ' ἐρωτᾶτε· ἃ γὰρ οὗτοι μεμαρτυρήκασιν, οὐδεὶς ἐκείνων προσμεμαρτύρηκεν. ἐὰν δ' ὀδύρωνται, τὸν πεπονθότα ἐλεεινότερον τῶν δωσόντων δίκην ἡγεῖσθε. ταῦτα γὰρ ἂν ποιῆτε, ἐμοί τε βοηθήσετε, καὶ τούτους [u] τῆς ἄγαν κολακείας ἐπισχήσετε, καὶ αὐτοὶ τὰ εὔορκα ἔσεσθε ἐψηφισμένοι [x].

[o] Post *τοίνυν* duæ tresve literæ erasæ in S. [p] *κἀμοὶ*] *και μοι* S. [q] *καὶ πρὸς*] *καὶ* om. F.S.Q. [r] *τί οὖν οὐ*] *καὶ τί οὐ γρ.* Q. [s] *τίς*] *τίς οὖν* F. [t] *ἐὰν*] *ἐὰν φῶσι γρ.* Q. [u] *τῆς*] *τὰς* F.S.Q. [x] In S. subscriptum *κατὰ στεφάνου ψευδομαρτυριῶν* |Η|ΗΗ|Δ|ΔΔΔΔΙΙΙ (superscript *α*). Superscripta litera *α* numerum significat orationis.

Μϛ.

ΚΑΤΑ ΣΤΕΦΑΝΟΥ ΨΕΥΔΟΜΑΡΤΥΡΙΩΝ Β.

ΥΠΟΘΕΣΙΣ.

Ἐν τούτῳ τῷ λόγῳ καὶ τῶν φθασάντων τινὰ ἐπικατασκευάζεται, καὶ ἕτερα [y]προσεισάγεται, εἰ καὶ παράνομοι [z]αἱ διαθῆκαι.

ΟΤΙ μὲν οὐκ ἀπορήσειν ἔμελλε Στέφανος οὑτοσὶ ὅ τι 1129
ἀπολογήσεται περὶ τῆς μαρτυρίας, παράγων τῷ λόγῳ, ὡς οὐ πάντα μεμαρτύρηκε τὰ ἐν τῷ γραμματείῳ γεγραμμένα, καὶ ἐξαπατῶν ὑμᾶς, καὶ αὐτὸς σχεδόν τι ὑπενόουν, ὦ ἄνδρες δικασταί. πανοῦργός τε γάρ ἐστι καὶ οἱ γράφοντες καὶ οἱ συμβουλεύοντες ὑπὲρ Φορμίωνος πολλοί· ἅμα τ' εἰκός ἐστι τοὺς ἐγχειροῦντας τὰ ψευδῆ μαρτυρεῖν καὶ τὴν ἀπολογίαν εὐθέως ὑπὲρ αὐτῶν μελετᾶν.

2 ὅτι δ' ἐν τοσούτῳ λόγῳ οὐδαμοῦ μάρτυρας παρέσχετο ὑμῖν, ὡς ἢ διατιθεμένῳ τῷ πατρὶ τῷ ἐμῷ παρεγένετό που αὐτὸς ταύτην [a]τὴν διαθήκην, ὥστ' εἰδέναι ταῦτα ὅτι ἀντίγραφά ἐστιν ὧν ὁ πατήρ μου διέθετο, ἢ ἀνοιχθὲν εἶδε τὸ γραμματεῖον ὅ φασι διαθέμενον ἐκεῖνον καταλιπεῖν, ταῦ-
3 τα συμμέμνησθέ μοι. ἀλλὰ μὴν ὁπότε μεμαρτύρηκεν ἀντίγραφα εἶναι τῶν διαθηκῶν τῶν Πασίωνος τὰ ἐν τῷ γραμματείῳ γεγραμμένα, [b]τὰς δὲ διαθήκας μὴ ἔχει ἐπιδεῖξαι μήθ' ὡς ὁ πατὴρ διέθετο ἡμῶν, μήθ' ὡς αὐτὸς [c]εἶδε παραγενόμενος αὐταῖς διατιθεμένου τοῦ πατρός, πῶς οὐ περιφανῶς οὗτος ἐξελέγχεται τὰ ψευδῆ μεμαρτυρηκώς;

[y] *προσεισάγεται* Wolfius. *προεισάγεται* vulgo. [z] *αἱ* addidit Bekkerus.
[a] *τὴν* om. Q. [b] *τὰς δὲ διαθήκας μὴ ἔχει* Schæferus. *τὰς δὲ διαθήκας μὴ ἔχειν* F.S.Q. *τὰς διαθήκας μὴ ἔχων* vulgo. [c] *εἶδε*] *οἶδε* B. *οἶδεν* S.

4 Εἰ τοίνυν πρόκλησίν φησιν εἶναι καὶ μὴ μαρτυρίαν,
οὐκ ἀληθῆ λέγει· ἅπαντα γὰρ ὅσα παρέχονται εἰς τὸ
δικαστήριον προκαλούμενοι ἀλλήλους οἱ ἀντίδικοι, διὰ 1130
μαρτυρίας παρέχονται. οὐ γὰρ ἂν εἰδείηθ' ὑμεῖς εἴτ'
ἐστὶν ἀληθῆ εἴτε ψευδῆ ἅ φασιν ἑκάτεροι, εἰ μή τις καὶ
τοὺς μάρτυρας παρέχοιτο. ὅταν δὲ παράσχηται, τούτοις
πιστεύοντες ὑποδίκοις οὖσι [d] ψηφίζεσθε ἐκ τῶν λεγο-
μένων καὶ μαρτυρουμένων ἃ ἂν ὑμῖν δοκῇ δίκαια εἶναι.
5 βούλομαι τοίνυν καὶ τὴν μαρτυρίαν ἐξελέγξαι, ὅτι οὐ
πρόκλησίς ἐστι, καὶ ὡς ἔδει μαρτυρεῖν αὐτούς, εἴπερ
ἐγίγνετο ἡ πρόκλησις, ὡς οὐκ ἐγίγνετο. μαρτυροῦσι παρ-
εἶναι πρὸς τῷ διαιτητῇ Τισίᾳ, ὅτε προὐκαλεῖτο Φορμίων
Ἀπολλόδωρον ἀνοίγειν τὸ γραμματεῖον, ὃ παρεῖχεν [e] Ἀμ-
φίας ὁ Κηφισοφῶντος κηδεστής, Ἀπολλόδωρον δ' οὐκ
6 ἐθέλειν ἀνοίγειν. οὕτω μὲν ἂν μαρτυροῦντες ἐδόκουν ἀληθῆ
μαρτυρεῖν· ἀντίγραφα δὲ τῶν διαθηκῶν τῶν Πασίωνος
μαρτυρεῖν εἶναι τὰ ἐν τῷ γραμματείῳ [f] ἃ παρείχετο
Φορμίων, μήτε παραγενομένους ἐκείνῳ διατιθεμένῳ, μήτ'
εἰδότας εἰ διέθετο, πῶς [g] οὐ περιφανῶς ἀναισχυντία δοκεῖ
ὑμῖν εἶναι;

7 Ἀλλὰ μὴν εἰ φησὶ Φορμίωνος λέγοντος πιστεύειν ταῦτ'
ἀληθῆ εἶναι, τοῦ αὐτοῦ ἀνδρός ἐστι πιστεύειν τε λέγοντι
τούτῳ ταῦτα καὶ κελεύοντι μαρτυρεῖν. οἱ δέ γε νόμοι οὐ
ταῦτα λέγουσιν, ἀλλ', [h] ἃ ἂν εἰδῇ τις καὶ οἷς ἂν παρα-
γένηται πραττομένοις, ταῦτα μαρτυρεῖν κελεύουσιν ἐν
γραμματείῳ γεγραμμένα, ἵνα μήτ' ἀφελεῖν ἐξῇ μηδὲν
8 μήτε προσθεῖναι τοῖς γεγραμμένοις. ἀκοὴν δ' οὐκ ἐῶσι
ζῶντος μαρτυρεῖν, ἀλλὰ τεθνεῶτος. τῶν δὲ ἀδυνάτων καὶ
ὑπερορίων, ἐκμαρτυρίαν γεγραμμένην ἐν [i] τῷ γραμματείῳ·
καὶ ἀπὸ τῆς αὐτῆς ἐπισκήψεως τήν τε μαρτυρίαν καὶ 1131

[d] ψηφίζεσθε] ψηφίζεσθε (αι suprascr.) F. [e] Ἀμφίας margo Q. Ἀμφίων vulgo.
[f] ἃ] ὃ Reiskius. [g] οὐ] οὖν pr. S. [h] ἃ om. pr. S. unde crasin ἂν restituit Bekkerus. [i] τῷ delevit Reiskius.

ἐκμαρτυρίαν ἀγωνίζεσθαι ἅμα, ἵν᾽ ἐὰν μὲν ἀναδέχηται ὁ ἐκμαρτυρήσας, ἐκεῖνος ὑπόδικος ᾖ τῶν ψευδομαρτυριῶν, ἐὰν δὲ μὴ ἀναδέχηται, οἱ [j] μαρτυρήσαντες τὴν ἐκμαρτυ-
9 ρίαν. Στέφανος τοίνυν οὑτοσὶ, οὔτ᾽ εἰδὼς διαθήκας καταλιπόντα τὸν πατέρα ἡμῶν, οὔτε παραγενόμενος πώποτε διατιθεμένῳ τῷ πατρὶ ἡμῶν, ἀκούσας δὲ Φορμίωνος, μεμαρτύρηκεν ἀκοὴν τὰ ψευδῆ τε καὶ παρὰ τὸν νόμον. καὶ ταῦθ᾽ ὅτι ἀληθῆ λέγω, αὐτὸν ὑμῖν τὸν νόμον ἀναγνώσεται.

[k]ΝΟΜΟΣ.

Ἀκοὴν εἶναι μαρτυρεῖν τεθνεῶτος, ἐκμαρτυρίαν δὲ ὑπερορίου καὶ ἀδυνάτου.

10 Ὡς τοίνυν καὶ παρ᾽ ἕτερον νόμον μεμαρτύρηκεν, ἐπιδεῖξαι ὑμῖν βούλομαι, ἵνα εἰδῆτε ὅτι μεγάλων ἀδικημάτων οὐκ ἔχων καταφυγὴν ὁ Φορμίων, πρόφασιν λαβὼν λόγῳ τὴν πρόκλησιν, ἔργῳ αὐτὸς αὑτῷ μεμαρτύρηκε προστησάμενος τούτους, δι᾽ ὧν οἱ μὲν δικασταὶ ἐξηπατήθησαν ὡς ἀληθῆ τούτων μαρτυρούντων, ἐγὼ δὲ ἀπεστερήθην ὧν ὁ πατήρ μοι κατέλιπε χρημάτων καὶ τοῦ δίκην
11 λαβεῖν περὶ ὧν ἀδικοῦμαι. μαρτυρεῖν γὰρ οἱ νόμοι οὐκ ἐῶσιν αὐτὸν αὑτῷ οὔτ᾽ ἐπὶ ταῖς γραφαῖς οὔτ᾽ ἐπὶ ταῖς δίκαις οὔτ᾽ ἐν ταῖς εὐθύναις. ὁ τοίνυν Φορμίων αὐτὸς αὑτῷ μεμαρτύρηκεν, ὁπότε φασὶν οὗτοι ἀκούσαντες ἐκείνου ταῦτα μεμαρτυρηκέναι. ἵνα δὲ εἰδῆτε ἀκριβῶς, αὐτὸν τὸν νόμον μοι ἀνάγνωθι.

ΝΟΜΟΣ.

12 Τοῖν ἀντιδίκοιν ἐπάναγκες εἶναι ἀποκρίνασθαι ἀλλήλοις τὸ ἐρωτώμενον, μαρτυρεῖν δὲ μή.

Σκέψασθε τοίνυν τουτονὶ τὸν νόμον, ὃς κελεύει ὑποδί- 1132
κους εἶναι τῶν ψευδομαρτυριῶν καὶ κατ᾽ αὐτὸ τοῦτο, ὅτι μαρτυρεῖ παρὰ τὸν νόμον.

[j] μαρτυρήσαντες Reiskius. ἐκμαρτυρήσαντες libri. [k] Leges et testimonia in hac oratione om. S.

ΝΟΜΟΣ.

Ἔστω δὲ καὶ ὑπόδικος τῶν ψευδομαρτυριῶν ὁ μαρτυρήσας αὐτοῦ τούτου, ὅτι μαρτυρεῖ παρὰ τὸν νόμον· καὶ ὁ [l]προβαλόμενος κατὰ ταὐτά.

13 Ἔτι τοίνυν [m]κἂν ἀπὸ τοῦ γραμματείου γνοίη τις, ἐν ᾧ
ἡ μαρτυρία γέγραπται, ὅτι τὰ ψευδῆ μεμαρτύρηκεν.
λελευκωμένον τε γάρ ἐστι καὶ οἴκοθεν κατεσκευασμένον.
καίτοι τοὺς μὲν τὰ πεπραγμένα μαρτυροῦντας προσήκει
οἴκοθεν τὰς μαρτυρίας κατεσκευασμένας μαρτυρεῖν, τοὺς
δὲ τὰς προκλήσεις μαρτυροῦντας τοὺς ἀπὸ ταὐτομάτου
προστάντας [n]ἐν μάλθῃ [o]γεγραμμένην τὴν μαρτυρίαν, [p]ἵν᾽
ἄν τι προσγράψαι ἢ ἀπαλεῖψαι βουληθῇ, ῥᾴδιον [q]ᾖ.
14 Οὐκοῦν κατὰ μὲν ταῦτα πάντα ἐξελέγχεται τὰ ψευ-
δῆ μεμαρτυρηκὼς καὶ παρὰ τὸν νόμον· βούλομαι δ᾽
ὑμῖν καὶ αὐτὸ τοῦτο ἐπιδεῖξαι, ὡς οὔτε διέθετο ὁ πατὴρ
ἡμῶν διαθήκην οὐδεμίαν οὔθ᾽ οἱ νόμοι ἐῶσιν. εἰ γάρ τις
ἔροιτο ὑμᾶς καθ᾽ ὁποίους νόμους δεῖ πολιτεύεσθαι ἡμᾶς,
15 δῆλον ὅτι ἀποκρίναισθ᾽ ἂν κατὰ τοὺς κειμένους. ἀλλὰ
μὴν οἵ γε νόμοι ἀπαγορεύουσι μηδὲ νόμον [z]ἐξεῖναι ἐπ᾽
ἀνδρὶ θεῖναι, ἂν μὴ τὸν αὐτὸν ἐφ᾽ ἅπασιν Ἀθηναίοις. οὐκ-
οῦν ὁ μὲν νόμος οὑτοσὶ τοῖς αὐτοῖς νόμοις πολιτεύεσθαι
ἡμᾶς κελεύει καὶ οὐκ [s]ἄλλοις. ὁ δὲ πατὴρ ἐτελεύτησεν
ἐπὶ Δυσνικήτου ἄρχοντος, ὁ δὲ Φορμίων Ἀθηναῖος ἐγένετο
ἐπὶ Νικοφήμου ἄρχοντος, δεκάτῳ ἔτει ὕστερον ἢ ὁ πατὴρ
16 ἡμῶν ἀπέθανεν. πῶς ἂν οὖν μὴ εἰδὼς ὁ πατὴρ αὐτὸν
Ἀθηναῖον ἐσόμενον ἔδωκεν ἂν τὴν ἑαυτοῦ γυναῖκα, καὶ
προεπηλάκισε μὲν ἂν ἡμᾶς, κατεφρόνησε δ᾽ ἂν τῆς δω- 1133
ρεᾶς ἧς παρ᾽ ὑμῶν ἔλαβε, παρεῖδε δ᾽ ἂν [t]τοὺς νόμους;

[l] *προβαλόμενος* Reiskius. *προβαλλόμενος* libri. [m] *κἂν*] *καὶ* Q. [n] *ἐν* Reiskius. Legebatur *καὶ ἐν*. [o] *γεγραμμένην*] *γεγραμμένην* (*ους* supra) F. *γεγραμμένους* Q. [p] *ἵν᾽ ἐὰν* Schæferus. Legebatur *ἵν᾽ εἰ*. [q] *ᾖ* Wolfius. Legebatur *ἦν*. [r] *ἐξεῖναι ἐπ᾽ ἀνδρὶ* S. *ἐπ᾽ ἀνδρὶ ἐξεῖναι* vulgo. [s] *ἄλλοις* codices (quorum B. *ἄλλοὺς*). *ἄλλους* vulgo. *ἄλλοις ἄλλους* Wolfius. [t] *τοὺς νόμους*] *καὶ τοὺς νόμους* F.Q.

πότερα δὲ κάλλιον ἦν αὐτῷ ζῶντι πρᾶξαι ταῦτα, εἴπερ ἠβούλετο, ἢ ἀποθανόντα διαθήκας καταλιπεῖν, ἃς οὐ κύριος ἦν; ἀλλὰ μὴν αὐτῶν τῶν νόμων ἀκούσαντες, γνώσεσθε ὡς οὐ κύριος ἦν διαθέσθαι. λέγε τὸν νόμον.

17 ΝΟΜΟΣ.

Ὅσοι μὴ ἐπεποίηντο, ὥστε μήτε ἀπειπεῖν μήτ' ἐπιδικάσασθαι, ὅτε Σόλων εἰσῄει τὴν ἀρχὴν, τὰ ἑαυτοῦ διαθέσθαι εἶναι, ὅπως ἂν ἐθέλῃ, ἂν μὴ παῖδες ὦσι γνήσιοι ἄρρενες, ἂν μὴ μανιῶν ἢ γήρως ἢ φαρμάκων ἢ νόσου ἕνεκεν, ἢ γυναικὶ πειθόμενος, ὑπὸ [u]τούτων του παρανοῶν, ἢ ὑπ' ἀνάγκης, ἢ ὑπὸ δεσμοῦ καταληφθείς.

18 Τοῦ μὲν νόμου τοίνυν ἀκηκόατε, ὃς οὐκ ἐᾷ διαθήκας
διαθέσθαι, ἐὰν παῖδες ὦσι γνήσιοι. οὗτοι δέ φασι ταῦτα
διαθέσθαι τὸν πατέρα, ὡς δὲ [x]παρεγένοντο [y]οὐκ ἔχουσιν
19 [z]ὑποδεῖξαι. ἄξιον δὲ καὶ τόδε ἐνθυμηθῆναι, ὅτι ὅσοι μὴ
ἐπεποίηντο, ἀλλ' ἦσαν πεφυκότες γνήσιοι, τούτοις ὁ νόμος
δίδωσιν, [a]ἐὰν ἄπαιδες ὦσι, διαθέσθαι τὰ ἑαυτῶν. ὁ τοίνυν
πατὴρ ἡμῶν ἐπεποίητο ὑπὸ τοῦ δήμου πολίτης, ὥστε
οὐδὲ κατὰ τοῦτο ἐξῆν αὐτῷ διαθέσθαι διαθήκην, ἄλλως τε
καὶ περὶ τῆς γυναικὸς, ἧς οὐδὲ κύριος ἐκ τῶν νόμων ἦν,
20 παῖδές τε ἦσαν αὐτῷ. σκέψασθε δὲ καὶ διότι οὐδ' ἂν
ἄπαις τις ᾖ, κύριός ἐστι τὰ αὑτοῦ διαθέσθαι, ἐὰν μὴ εὖ
φρονῇ· νοσοῦντα δὲ ἢ φαρμακῶντα ἢ γυναικὶ πειθόμενον
ἢ ὑπὸ γήρως ἢ ὑπὸ μανιῶν ἢ ὑπὸ ἀνάγκης τινὸς [b]καταληφθέντα ἄκυρον κελεύουσιν εἶναι οἱ νόμοι. σκοπεῖτε [c]δὴ,
εἰ δοκοῦσιν ὑμῖν εὖ φρονοῦντος ἀνδρὸς εἶναι [d]αἱ διαθῆκαι, 1134
21 ἃς φασι διαθέσθαι οὗτοι τὸν πατέρα. μὴ πρὸς ἄλλο δέ
[e]τι παράδειγμα σκέψησθε ἢ πρὸς τὴν μίσθωσιν, εἰ δοκεῖ ὑμῖν ἀκόλουθον εἶναι τῷ τὴν τέχνην μὴ ἐξουσίαν δόντι

[u] τούτων του παρανοῶν Wesselingius ad Petiti Leg. Att. p. 580. τούτων τοῦ παρανόμων libri. [x] παρεγένοντο Wolfius. παρεγένετο libri. [y] οὐκ ἔχουσιν] ουχεκουσιν pr. S. literis κ et χ a pr. m. superscriptis. [z] ὑποδεῖξαι pr. S. Legebatur ἐπιδεῖξαι. Illud pariter ex S. restitui p. 1405, 21. et ex duobus aliis libris p. 1366, 4. [a] ἐὰν ἄπαιδες ὦσι om. S. [b] καταληφθέντα] καταλειφθέντα F. [c] δὴ correctus S. δὲ vulgo et pr. S. [d] αἱ διαθῆκαι S. et γρ. Q. διαθήκας vulgo. [e] τι om. F.Q.

ἐν τῷ αὐτῷ ἡμῖν ἐργάζεσθαι, τούτῳ τὴν γυναῖκα δοῦναι τὴν αὑτοῦ καὶ τῶν παίδων ἐᾶσαι κοινωνὸν αὑτῷ γενέσθαι.

22 καὶ μὴ θαυμάζετε, εἰ τἄλλα σκευωρουμένους αὐτοὺς τὰ ἐν τῇ μισθώσει τοῦτο παρέλαθεν. ἴσως μὲν γὰρ οὐδὲ προσεῖχον ἄλλῳ οὐδενὶ ἢ τῷ τὰ χρήματα ἀποστερῆσαι καὶ τῷ προσοφείλοντα τὸν πατέρα ἐγγράψαι· εἶτα [f] δὲ οὐδὲ ἐδόκουν ἐμὲ οὕτω δεινὸν ἔσεσθαι, ὥστε ταῦτα ἀκριβῶς ἐξετάσαι.

23 Σκέψασθε τοίνυν καὶ τοὺς νόμους, παρ' ὧν κελεύουσι τὰς ἐγγύας ποιεῖσθαι, ἵν' εἰδῆτε καὶ ἐκ τούτων ὡς κατεσκευασμένης διαθήκης ψευδὴς μάρτυς γέγονε Στέφανος οὑτοσί. [g] λέγε.

24 NOMOΣ.

Ἣν ἂν ἐγγυήσῃ ἐπὶ δικαίοις δάμαρτα εἶναι ἢ πατὴρ ἢ ἀδελφὸς ὁμοπάτωρ ἢ πάππος ὁ πρὸς πατρὸς, ἐκ ταύτης εἶναι παῖδας γνησίους. ἐὰν δὲ μηδεὶς ᾖ τούτων, ἐὰν μὲν [h] ἐπίκληρός τις ᾖ, τὸν κύριον ἔχειν, ἐὰν δὲ [i] μὴ, ὅτῳ ἂν ἐπιτρέψῃ, τοῦτον κύριον εἶναι.

25 Οὗτος μὲν τοίνυν ὁ νόμος οὓς ἐποίησε κυρίους εἶναι, ἀκηκόατε· ὅτι δ' οὐδεὶς ἦν τούτων τῇ μητρὶ, οἱ ἀντίδικοί μοι αὐτοὶ μεμαρτυρήκασιν. εἰ γὰρ ἦν, παρείχοντ' ἄν. ἢ μάρτυρας μὲν ψευδεῖς οἴεσθ' ἂν παρασχέσθαι καὶ διαθήκας οὐκ οὔσας, ἀδελφὸν δὲ ἢ πάππον ἢ πατέρα οὐκ ἄν, εἴπερ ἦν δυνατὸν ἕνεκα χρημάτων; ὁπότε τοίνυν μηδεὶς φαίνεται ζῶν τούτων, τότε ἀνάγκη ἐπίκληρον τὴν μητέρα ἡμῶν εἶναι. τῆς τοίνυν ἐπικλήρου σκοπεῖτε τίνας 1135 κελεύουσιν οἱ νόμοι κυρίους εἶναι. λέγε τὸν νόμον.

26 NOMOΣ.

Καὶ ἐὰν ἐξ ἐπικλήρου τις γένηται, καὶ ἅμα ἡβήσῃ ἐπὶ δίετες, κρατεῖν τῶν χρημάτων, τὸν δὲ σῖτον μετρεῖν τῇ μητρί.

Οὐκοῦν ὁ μὲν νόμος κελεύει τοὺς παῖδας ἡβήσαντας κυρίους τῆς μητρὸς εἶναι, τὸν δὲ σῖτον μετρεῖν τῇ μητρί.

[f] δὲ addidi ex S. et γρ. Q. [g] λέγε om. S. [h] ἐπίκληρός] ἐπίκλητός B.Q.
[i] μὴ Baiterus et Sauppius. Legebatur μὴ ᾖ.

ἐγὼ δὲ φαίνομαι στρατευόμενος καὶ τριηραρχῶν ὑμῖν, ὅτε
27 οὗτος συνῴκησε τῇ μητρί. ἀλλὰ μὴν ὅτι ἐγὼ μὲν ἀπεδήμουν τριηραρχῶν, τετελευτήκει δ' ὁ πατὴρ πάλαι, ὅτε οὗτος ἔγημε, τὰς δὲ θεραπαίνας αὐτὸν ἐξήτουν καὶ ἠξίουν περὶ αὐτοῦ τούτου βασανίζεσθαι αὐτάς, εἰ ταῦτ' ἀληθῆ ἐστὶ, καὶ ὡς προεκαλούμην, λαβέ μοι τὴν μαρτυρίαν.

28 ΜΑΡΤΥΡΙΑ.

Μαρτυροῦσι παρεῖναι, ὅτε προὐκαλεῖτο Ἀπολλόδωρος Φορμίωνα, ὅτε ἠξίου ἀποδοῦναι Ἀπολλόδωρος Φορμίωνα τὰς θεραπαίνας εἰς βάσανον, εἰ μή φησι Φορμίων καὶ πρότερον διεφθαρκέναι τὴν μητέρα τὴν ἐμὴν, πρὶν οὗ ἀποφαίνει Φορμίων γῆμαι ἐγγυησάμενος αὐτὴν παρὰ Πασίωνος. ταῦτα δὲ προκαλουμένου Ἀπολλοδώρου οὐκ ἠθέλησε Φορμίων παραδοῦναι τὰς θεραπαίνας.

29 Τὸν τοίνυν νόμον ἐπὶ τούτοις ἀνάγνωθι, ὃς κελεύει ἐπιδικασίαν εἶναι τῶν ἐπικλήρων ἁπασῶν, καὶ ξένων [k] καὶ ἀστῶν, καὶ περὶ μὲν τῶν πολιτῶν τὸν ἄρχοντα εἰσάγειν καὶ ἐπιμελεῖσθαι, περὶ δὲ τῶν μετοίκων τὸν πολέμαρχον, καὶ ἀνεπίδικον μὴ ἐξεῖναι ἔχειν μήτε [l] κλῆρον μήτε ἐπίκληρον.

ΝΟΜΟΣ. 1136

Κληροῦν δὲ [m] τὸν ἄρχοντα [n] κλήρων καὶ ἐπικλήρων, ὅσοι εἰσὶ μῆνες, πλὴν τοῦ σκιροφοριῶνος. [o] ἀνεπίδικον δὲ κλῆρον μὴ ἔχειν.

30 Οὐκοῦν αὐτὸν, εἴπερ [p] ἠβούλετο ὀρθῶς διαπράττεσθαι, λαχεῖν ἔδει τῆς ἐπικλήρου, εἴτε κατὰ δόσιν αὐτῷ [q] προσῆκεν εἴτε κατὰ γένος, εἰ μὲν ὡς ὑπὲρ ἀστῆς, πρὸς τὸν ἄρχοντα, [r] εἰ δὲ ὑπὲρ ξένης, πρὸς τὸν πολέμαρχον, καὶ τότε, εἴπερ τι λέγειν εἶχε δίκαιον, πείσαντα ὑμῶν τοὺς λαχόντας μετὰ τῶν νόμων καὶ τῆς ψήφου κύριον εἶναι, καὶ μὴ αὐτὸν αὐτῷ νόμους ἰδίους θέμενον διαπράξασθαι ἃ ἐβούλετο.

[k] καὶ om. F. [l] κλῆρον μήτε ἐπίκληρον] καιρον μητε κλῆρον S. [m] τὸν ἄρχοντα additum ex Q. [n] κλήρων] κλῆρον Q. τὸν κλῆρον B.F. et vulgo. τῶν κλήρων Reiskius, recte, nisi quod articulus cum Q. omittendus fuit. [o] ἀνεπίδικον Wolfius. ἐπίδικον libri. [p] ἠβούλετο S. ἐβούλετο vulgo. [q] προσῆκεν Schæferus. προσήκειν libri. [r] εἰ δὲ] εἰ δ' ὡς γρ. Q.

31 Σκέψασθε [s] δὴ καὶ τονδὶ τὸν νόμον, ὃς κελεύει τὴν διαθήκην, ἣν ἂν παίδων ὄντων γνησίων ὁ πατὴρ [t] διαθῆται, ἐὰν ἀποθάνωσιν οἱ παῖδες πρὶν ἡβῆσαι, κυρίαν εἶναι.

ΝΟΜΟΣ.

Ὅ τι ἂν γνησίων ὄντων υἱῶν ὁ πατὴρ διαθῆται, ἐὰν ἀποθάνωσιν οἱ υἱεῖς πρὶν ἐπὶ δίετες ἡβᾶν, τὴν τοῦ πατρὸς διαθήκην κυρίαν εἶναι.

32 Οὐκοῦν ὁπότε ζῶσιν, ἄκυρος μὲν ἡ διαθήκη ἐστὶν, ἥν φασιν οὗτοι τὸν πατέρα καταλιπεῖν, παρὰ πάντας δὲ τοὺς νόμους μεμαρτύρηκε Στέφανος οὑτοσὶ τὰ ψευδῆ, ὡς ἀντίγραφά ἐστι τῆς διαθήκης τῆς Πασίωνος· πῶς γὰρ σὺ οἶσθα, καὶ ποῦ παραγενόμενος διατιθεμένῳ τῷ πατρί;
33 κακοτεχνῶν δὲ [u] φαίνει περὶ τὰς [x] διαθήκας, τὰ ψευδῆ μὲν αὐτὸς μαρτυρῶν ἑτοίμως, κλέπτων δὲ τὰς [y] ἀληθεῖς μαρτυρίας, ἐξαπατῶν δὲ τοὺς δικαστὰς, συνιστάμενος δ' ἐπὶ ταῖς [z] δίκαις. [a] οἱ δὲ νόμοι καὶ περὶ τῶν τοιούτων γραφὴν πεποιήκασιν. καί μοι ἀνάγνωθι τὸν νόμον.

34 ΝΟΜΟΣ. 1137

Ἐάν τις συνίστηται ἢ [b] συνδεκάζῃ τὴν ἡλιαίαν ἢ τῶν δικαστηρίων τι τῶν Ἀθήνησιν ἢ τὴν βουλὴν ἐπὶ δωροδοκίᾳ χρήματα [c] διδοὺς ἢ δεχόμενος, ἢ [d] ἑταιρείαν συνίστῃ ἐπὶ καταλύσει τοῦ δήμου, ἢ συνήγορος ὢν λαμβάνῃ [e] χρήματα ἐπὶ ταῖς δίκαις ταῖς ἰδίαις ἢ δημοσίαις, τούτων εἶναι τὰς γραφὰς πρὸς τοὺς θεσμοθέτας.

35 Ἡδέως ἂν τοίνυν ὑμᾶς ἐροίμην ἐπὶ τούτοις ἅπασι, κατὰ ποίους νόμους ὀμωμοκότες δικάζετε. πότερα κατὰ τοὺς τῆς πόλεως ἢ καθ' οὓς Φορμίων [f] αὑτῷ νομοθετεῖ. ἐγὼ μὲν τοίνυν τούτους παρέχομαι ὑμῖν, καὶ ἐξελέγχω αὐτοὺς ἀμφοτέρους παραβεβηκότας, Φορμίωνα μὲν ἐξ ἀρχῆς ἀδικήσαντα ἡμᾶς καὶ ἀποστερήσαντα τὰ χρήματα, ἃ ὁ πατὴρ ἡμῖν κατέλιπε καὶ ἐμίσθωσε τούτῳ

[s] δὴ codices. δὲ vulgo. [t] διαθῆται Q. διάθηται vulgo. [u] φαίνει] φαίνῃ B. [x] διαθήκας] δίκας S. [y] ἀληθεῖς] ἀληθείας pr. S. [z] δίκαις] διαθήκαις S. et γρ. Q. [a] Ante οἱ literæ tres (και ut videtur) erasæ in S. [b] συνδεκάζῃ Wolfius. συνδικάζῃ libri. [c] διδοὺς ἢ Wolfius. διδούσῃ libri. [d] ἑταιρείαν F. Scribebatur ἑταιρίαν. [e] χρήματα] τὰ χρήματα F. [f] αὑτῷ] αὐτῶν F.

μετὰ τῆς τραπέζης καὶ τοῦ ἐργαστηρίου, Στέφανον δὲ τουτονὶ τὰ ψευδῆ μεμαρτυρηκότα καὶ παρὰ τὸν νόμον.

36 Ἄξιον τοίνυν, ὦ ἄνδρες δικασταί, καὶ τόδε ἐνθυμηθῆναι, ὅτι [g] διαθηκῶν οὐδεὶς πώποτε ἀντίγραφα ἐποιήσατο, ἀλλὰ συγγραφῶν μέν, ἵνα εἰδῶσι καὶ μὴ παραβαίνωσι, διαθηκῶν δὲ οὔ. τούτου γὰρ ἕνεκα καταλείπουσιν οἱ διατιθέμενοι, ἵνα μηδεὶς εἰδῇ ἃ διατίθενται. πῶς οὖν ὑμεῖς ἴστε ὅτι ἀντίγραφά ἐστι τῶν διαθηκῶν τῶν Πασίωνος τὰ ἐν τῷ γραμματείῳ γεγραμμένα;

37 Δέομαι [h] δ' ὑμῶν ἁπάντων, ὦ ἄνδρες δικασταί, καὶ ἱκετεύω βοηθῆσαι μὲν ἐμοί, τιμωρήσασθαι δὲ τοὺς ἑτοίμως [i] οὕτω τὰ ψευδῆ μαρτυροῦντας, ὑπέρ τε ὑμῶν αὐτῶν καὶ ἐμοῦ καὶ τοῦ δικαίου καὶ τῶν νόμων.

[g] διαθηκῶν margo ed. Paris. διαθήκης S.Q. διαθήκας F. [h] δ'] οὖν γρ. Q.
[i] οὕτω] οὕτως S.